24. Μετὰ δέ τινας ἡμέρας αὐτομόλου διασαφήσαντος ὅτι θυσίαν ἄγουσι πάνδημον οἱ κατὰ τὴν πόλιν ἐφ' ἡμέρας ἤδη τρεῖς Ἀρτέμιδι καὶ τοῖς μὲν σίτοις λιτοῖς χρῶνται διὰ τὴν σπάνιν, τῷ δὲ οἴνῳ δαψιλεῖ, πολὺν μὲν Ἐπικύδου δεδωκότος, πολὺν δὲ Συρακουσίων, τότε προσαναλαβὼν ὁ Μάρκος τὸ τεῖχος καθ' ὃ μέρος ἦν ταπεινότερον, καὶ νομίσας εἰκὸς εἶναι τοὺς ἀνθρώπους μεθύειν διὰ τὴν ἄνεσιν καὶ τὴν ἔνδειαν τῆς ξηρᾶς τροφῆς, ἐπεβάλετο καταπειράζειν τῆς ἐλπίδος· ταχὺ δὲ κλιμάκων δυοῖν συντεθεισῶν εὐαρμόστων πρὸς τὸ τεῖχος, ἐγένετο περὶ τὰ συνεχῆ τῆς πράξεως, καὶ τοῖς μὲν ἐπιτηδείοις πρὸς τὴν ἀνάβασιν καὶ τὸν ἐπιφανέστατον καὶ πρῶτον κίνδυνον ἐκοινολογεῖτο περὶ τοῦ μέλλοντος, μεγάλας ἐλπίδας αὐτοῖς ἐνδιδούς, τοὺς δὲ τούτοις ὑπουργήσοντας καὶ προσοίσοντας κλίμακας ἐξέλεξε, διασαφῶν οὐδὲν πλὴν ἑτοίμους εἶναι πρὸς τὸ παραγγελλόμενον. (25) Πειθαρχησάντων δὲ κατὰ τὸ συνταχθέν, λαβὼν τὸν ἁρμόζοντα καιρὸν νυκτὸς ἤγειρε τοὺς πρώτους· προπέμψας δὲ τοὺς ἅμα ταῖς κλίμαξι μετὰ σημαίας καὶ χιλιάρχου, καὶ προσαναμνήσας τῶν ἐσομένων δωρεῶν τοῖς ἀνδραγαθήμασι, μετὰ δὲ ταῦτα πᾶσαν τὴν δύναμιν ἐξεγείρας, τοὺς μὲν πρώτους ἐν διαστήματι κατὰ σημαίαν ἐξαποστέλλει, ἑνωμένων δὲ τούτων εἰς χιλίους, βραχὺ διαλιπὼν αὐτὸς εἵπετο μετὰ τῆς ἄλλης στρατιᾶς. Ἐπεὶ δὲ οἱ φέροντες τὰς κλίμακας ἔλαθον ἀσφαλῶς τῷ τείχει προσερείσαντες, ἐξαυτῆς ὥρμησαν ἀπροφασίστως οἱ πρὸς τὴν ἀνάβασιν ἀποτεταγμένοι. (26) Λαθόντων δὲ καὶ τούτων καὶ στάντων ἐπὶ τοῦ τείχους βεβαίως, οὐκέτι κατὰ τὴν ἐξ ἀρχῆς τάξιν, ἀλλὰ κατὰ δύναμιν ἅπαντες ἔμελλον διὰ τῶν κλιμάκων [ἐπαναβαίνειν]. Κατὰ μὲν οὖν τὰς ἀρχὰς ἐπιπορευόμενοι τὴν ἐφοδείαν ἔρημον εὕρισκον· οἱ γὰρ ἐς τοὺς πύργους ἠθροισμένοι διὰ τὴν θυσίαν οἱ μὲν ἐς ἀκμὴν ἔπινον, οἱ δὲ ἐκοιμῶντο πάλαι μεθυσκόμενοι. Διὸ καὶ τοῖς μὲν πρώτοις καὶ τοῖς ἑξῆς ἐπιστάντες ἄφνω καὶ μεθ' ἡσυχίας, ἔλαθον τοὺς πλείστους αὐτῶν ἀποκτείναντες. (27) Ἐπειδὴ δὲ τοῖς Ἑξαπύλοις ἤγγιζον καταβαίνοντες, ἐνῳκοδομημένην τινὰ πυλίδα διεῖλον, δι' ἧς τόν τε στρατηγὸν καὶ τὸ λοιπὸν ἐδέξαντο στράτευμα. Οὕτω δὴ τὰς Συρακούσας εἷλον Ῥωμαῖοι.

(Cf. Suidas : Λιτοῖς, ὀλίγοις, ψιλοῖς, εὐτελέσι. Πολύβιος· « Μαθὼν δ' ἐξ αὐτομόλου διασαφήσαντος ὅτι ἑορτὴν ἄγουσι πάνδημον καὶ τοῖς σιτίοις λιτοῖς χρῶνται διὰ τὴν σπάνιν, τῷ δὲ οἴνῳ δαψιλεῖ, ἐπολιόρκει. »

Idem : Προσανανεωσάμενος, ἀνακαινίσας καὶ ἀνεγείρας· « Ὁ δὲ Μάρκος προσανανεωσάμενος τὴν τοῦ τείχους ταπεινότητα ἐπεβάλετο καταπειράζειν τῆς ἐλπίδος. »

Anonym. de obsid. p. 319 sq. : Τὰς γὰρ Συρακούσας μηδέποτε ληφθῆναι δυναμένας διὰ τὴν τοῦ Ἀρχιμήδους εὐμήχανον σοφίαν, ἐπιτηρήσαντες οἱ Ῥωμαῖοι καιρόν, ὅτε ἑορτὴν ἦγον οἱ Συρακούσιοι, αὐτομόλου τοῦτο αὐτοῖς διασαφήσαντος ὅτι θυσίαν ἄγουσι πανδημεὶ οἱ κατὰ τὴν πόλιν ἐφ' ἡμέρας τρεῖς, καὶ τοῖς μὲν σιτίοις ὀλίγοις χρῶνται διὰ σπάνιν, τῷ δ' οἴνῳ χρῶνται δαψιλεῖ, ταχὺ δὲ καὶ κλιμάκων δύο συντεθεισῶν, ἐγένοντο κύριοι τῶν πύργων· εἰς γὰρ τοὺς πύργους ἠθροισμένοι διὰ τὴν θυσίαν, οἱ μὲν ἀκμὴν ἔπινον, οἱ δὲ ἐκοιμῶντο πάλαι μεθυσκόμενοι· καὶ ἔλαθον αὐτοὺς ἀποκτείναντες.)

---

§ 24. Ex his nonnulla habes apud Suidam et Anonymum, quæ infra subjunxi. || — θυσίαν] ἑορτὴν Suid. || — σίτοις] σιτίοις Anon. et Suidas et haud dubio Polybius. || — πάνδημον] sic etiam Suidas, πανδημεὶ An. || — προσαναλαβὼν...ταπεινότερον] Polybii verba servavit Suidas : προσανανεωσάμενος τὴν τοῦ τείχους ταπεινότητα. || — κλίμακας] τὰς κλ.? || — § 25. τοὺς ἅμα] τούτους ἅμα? || — σημαίας] σημείας cod., ut mox σημείαν. || — στρατιᾶς] στρατείας cod. || — § 26. ἐπαναβαίνειν] addidi vocem. In codice post v. κλιμάκων scriba spatium vacuum reliquit. Mox ἐφοδίαν codex. || — 27. τινὰ πυλίδα] τὴν απυλιδα codex; τὴν πρώτην πυλίδα Wescherus ingeniose sed parum verisimiliter, laudato Hasio qui in St. Thes. pro ἀσπαθαρίῳ in Phot. ep. 69, 2 emendavit πρωτοσπαθαρίῳ. Per ejusmodi portulam olim clausam, inter portas Ligneam et Charsiæ sitam, etiam Turci in Const. urbem irruperunt. V. Critob. I, 60 p. 95. || — οὕτω δὴ τ. Συρ. εἷλον Ῥ.] Effracta ista portula nondum capta urbs erat, neque πολιορκιῶν enarrator omittere potuit quæ multis exponit Livius 25, c. 25-31. Vix igitur dubium quin hoc quoque loco excerpta uberiora ab auctore codicis Paris. truncata sint. Pauca quædam, quæ huc pertinent in Suida supersunt.

Suidas v. Ἐπιπολάς.

28. Τοὺς δὲ Ῥωμαίους θαρρεῖν συνέβαινε, κρατοῦντας τοῦ περὶ τὰς Ἐπιπολὰς τόπου. Cf. Liv. 25, 24 : *Ad Epipolas, frequentem custodiis locum, perventum erat, terrendique magis hostes erant quam fallendi.*

Idem v. Ἀπόστασις.

29. Πολύβιος· Οὐδενὸς ἐπεγνωκότος τῶν πολιτῶν τὸ συμβαῖνον διὰ τὴν ἀπόστασιν, ἅτε μεγάλης οὔσης τῆς πόλεως. Cf. Livius l. l. : *Magna pars tamen ignara tanti mali erat, et in vastæ magnitudinis urbe partium sensu non satis pertinente in omnia.*

His addere liceat fragmentum Appiani, quod Emanuel Millerus, vir de promovendis literis græcis meritissimus, e codice nescio quo nuper edidit in *Revue archéol.* 1869, p. 53. Depromtum est ex Arriani historiarum libro ultimo sive vicesimo quarto, qui, testante Photio, Ἀράβιος inscribitur. Cf. Em. Hannak *Appian und seine Quellen. Wien.* 1869, p. 24.

EX APPIANI LIBRO XXIV.

Περὶ Ἀράβων μαντείας.

Ἀππιανός φησι τῷ τέλει τοῦ κδ' βιβλίου· « Φεύγοντί μοί ποτε τοὺς Ἰουδαίους ἀνὰ τὸν πόλεμον τὸν ἐν Αἰγύπτῳ γενόμενον καὶ ἰόντι διὰ τῆς Πετραίας Ἀραβίας ἐπὶ ποταμὸν, ἔνθα με σκάφος περιμένον ἔμελλε διοίσειν ἐς Πηλούσιον, Ἄραψ ἀνὴρ διηγεῖτό (*) μοι τῆς ὁδοῦ νυκτός· οἰομένῳ [δ' ἤδη?] πλησίον εἶναι τοῦ σκάφους, κρωζούσης ἄρτι πρὸς ἕω κορώνης, ἔφη συνταραχθεὶς « πεπλανήμεθα », καὶ κρωζούσης αὖθις, εἶπεν « ἄγαν πεπλανήμεθα. » Θορυβουμένῳ δέ μοι καὶ σκοποῦντι εἴ τις ὁδοιπόρος ὀφθήσεται, καὶ οὐδένα ὁρῶντι ὡς ἐν ὄρθρῳ ἔτι πολλῷ καὶ γῇ πολεμουμένῃ, τὸ τρίτον ὁ Ἄραψ τοῦ ὀρνέου πυθόμενος εἶπεν ἡσθεὶς « ἐπὶ συμφέροντι πεπλανήμεθα καὶ ἐχόμεθα τῆς ὁδοῦ. » Ἐγὼ δὲ ἐγέλων μὲν εἰ καὶ * ἐξόμεθα τῆς πλανωμένης, καὶ ἀπεγίνωσκον ἐμαυτοῦ, πάντων πολεμίων ὄντων, οὐκ ὂν μοι δυνατὸν οὐδ' ἀναστρέψαι διὰ τοὺς ὄπισθεν, οὓς δὴ καὶ φεύγων ἠρχόμην, ὑπὸ δὲ ἀπορίας εἰπόμην ἐκδοὺς ἐμαυτὸν τῷ μαντεύματι. Οὕτω δὲ ἔχοντί μοι παρὰ δόξαν ἕτερος ποταμὸς ἐκφαίνεται ὁ ἀγχοτάτω μάλιστα τοῦ Πηλουσίου καὶ τριήρης ἐς τὸ Πηλούσιον παραπλέουσα, ἧς ἐπιβὰς διεσωζόμην, τὸ σκάφος δὲ, ὃ μὲν ἐν τῷ ἑτέρῳ ποταμῷ ὑπέμεινεν, ὑπὸ Ἰουδαίων ἐλήφθη. Τοσοῦτον ὠνάμην τῆς τύχης καὶ τοσοῦτον ἐθαύμασα τοῦ μαντεύματος. Οὗτοι μὲν οὖν εἰσὶ θρησκευτικοὶ, μαντικοὶ, γεωργοὶ, φαρμάκων ἐπιστήμονες, οὓς εἰκὸς ἐν Αἰγύπτῳ γῆν εὑρόντας ἀγαθὴν, οἷα γεωργοὺς καὶ ἔθνος ὁμοίως θεοσεβές τε καὶ μαντικὸν καὶ φαρμάκων οὐκ ἄπειρον οὐδ' ἄστρων, ἐμμεῖναι χαίροντας ὡς παρ' ὁμοίοις.

---

§. 28. Apud Suidam legitur Ἐπιπολάς, τὰ ὤνια. Τοὺς δὲ Ῥωμαίους etc. In quibus quid sibi velit istud τὰ ὤνια, quæritur. Confudisse auctorem voces Ἐπιπολαί et ἐμπολαί, *merces*, censet Bernhardyus. Τὰ ἐπάνω conjecit Gaisfordius. In mentem venerat τὰ ἄνω Νεα [πόλεως], quum Epipolæ imminerent Neapoli et Tychæ urbis Syracusanæ. Manu lenissima, sed conjectura audaciori scripseris τὰ Ὄνεια, adeo ut jugum montanum quod a situ editiore vulgo Ἐπιπολαί vocabatur, proprio quodam nomine τὰ Ὄνεια dictum sit, idque vocabulum Corinthiorum coloni e regione Corinthia in Syracusanam transtulerint. Τὰ Ὄνεια ditionis Corinthiæ a multis memorantur.

(*) Διηγεῖτο h. l. eodem sensu usurpatur quo vulgo dicitur ἡγεῖτο, *viæ mihi dux erat.* In seqq. nescio an auctor scripserit : ἐγὼ δὲ ἐγέλων μὲν, εἰ καὶ [δεδοικὼς μὴ] ἐξόμεθα τῆς πλανωμένης. Melius etiam oratio procederet si scriptum esset : ἐγὼ δὲ διετέλουν μὲν [δεδοικὼς μὴ] ἐξόμεθα etc. || — De regione ubi hæc accidisse putanda sint, E. Millerus exponit hunc in modum l. l. p. 109 : Prenons la carte de la partie basse de l'Égypte, et dirigeons nos regards sur l'endroit où le Nil, se séparant en plusieurs branches, forme ce qu'on appelle le Delta et va se jeter dans la mer Méditerranée. Le grand cours d'eau le plus oriental se sépare en deux dans les environs d'Aphroditopolis et forme deux branches qui vont se jeter l'une à Tanis et l'autre à Péluse, d'où les noms de Tanitique et Pélusiaque. Appien venait de l'Arabie Pétrée, qui confinait à ce grand cours d'eau. La barque qui l'attendait se trouvait probablement au-dessus du canal qui conduit à la branche Tanitique. Il n'est pas à supposer qu'elle devait descendre jusqu'à Tanis pour aller à Péluse. Il est probable, au contraire, qu'elle devait descendre jusqu'à la séparation indiquée plus haut, et prendre le cours d'eau qui conduisait à Péluse. Appien pendant la nuit, n'ayant pas reconnu son chemin, aura dévié vers la droite et rencontré la portion du fleuve qui se dirigeait vers Péluse, et où se trouvait une trirème faisant voile pour le port. » Statuere etiam licet Arrianum versatum esse in illo regionis angulo qui est inter Trajanum amnem atque amnem qui versus Pelusium defluit.

FRAGMENTA LEXICI GEOGRAPHICI.

Appendicis loco sint fragmenta duo Lexici geographici, quæ publici juris fecit Franciscus Lenormant in Philologi tomo XXV, p. 147 sq. 1867.

« Quum Athenis degerem, vir doctissimus inquit, anno 1863 accepi a capnopola quodam Agoræ folia duo chartacea quibus herba Nicotiana involuta erat. Horum textum hodie publici juris facio. Scriptura sæculi XIV, diligenti manu exarata; pagina quæque in duas columnas divisa. Insunt fragmenta lexici geographici aliunde non noti, ubi nomina in classes distincta erant, ut in libro latino Vibii Sequestris. Quod primum hic ponitur, ad urbium catalogum pertinet, alterum fluviorum nomina complectitur, inter quæ nonnulla sunt plane nova atque hucusque inedita. »

Urbes in primo fragmento recensentur 67. Inter eas 27 occurrunt, quæ apud Stephanum Byz. non commemorantur (N. 2. 3. 5. 6. 8. 9. 10. 11. 12. 13. 15. 16. 19. 20. 29. 32. 37. 39. 42. 44. 48. 56. 62. 66), at urbium nomina in ea Stephani lexici particula, quæ cum nostro fragmento componenda est, enumerata Anonymus quoque habet omnia (*). Porro quinque urbes quibus Μέγαρα nomen erat, et tres urbes quæ Μεδεών vocabantur, eodem prorsus ordine exhibentur apud utrumque. Quod quum casu fieri vix potuerit, dubium non est quin Anonymus usus sit Stephano. Num vero quæ in nostra Stephani epitome non leguntur, ex eodem opere integro depromserit, an aliunde adsciverit, in medio relinquendum est. Ceterum non desunt in quibus Anonymus a nostro Stephano recedat.

I.

Μάσταυρα, Λυδίας. Τὸ ἐθνικὸν Μασταυρίτης καὶ Μασταυρεύς.
Μάστη, Αἰθιοπίας. Τὸ ἐθνικὸν Μαστίτης.
Μάσθαλα, Ἀραβίας. Τὸ ἐθνικὸν Μασθαλεύς.
Μαστραμέλλη, Γαλλίας Ναρβωνησίας. Τὸ ἐθνικὸν Μαστραμελληνός.
Μάστρον, Παφλαγονίας. Τὸ ἐθνικὸν Μάστριος.
Μαστύη, Παφλαγονίας. Ὁ πολίτης Μαστυεύς.
Μασχάνη, Ἀραβίας. Ὁ πολίτης Μασχανεύς.
Μάταλον, Κρήτης. Τὸ ἐθνικὸν Ματαλεύς.
Μάταυρος, Σικελίας. Τὸ ἐθνικὸν Ματαυρῖνος.

(*) Quod ap. Steph. ed. Mein. legitur : Μελανίππειον, πόλις Παμφυλίας, id sane ap. Anonymum non legitur. Verum quum vox πόλις e conjectura introducta sit pro v. ποταμός, quam codices præbent, ex fragmento nostro consequitur potius vocem ποταμὸν recte habere et vitium latere in v. Μελανίππειον, quod corrigendum fuerit in Μελανίππειος vel in Μελανιππίων. Simili vitio in secundo Anonymi fragmento inter fluviorum nomina codex habet Κάρνειον pro Καρνιων.

1. Μάσταυρα] Duas nominis gentilis formas Stephanus quoque habet. || — 2. Μάστη] Memoratur ap. Ptolem. 4, 7, 25. || — 3. Μάσθαλα] Ptolem. 6, 7, 33 p. 409, 23 ed. Wilb. || — 4. Μαστραμέλλη] Sic etiam codex Aldinus Stephani, sed Μαστραμέλη ceteri codd. et Plinius 3, 34 et Avienus Ora marit. 691. || — 5 et 6. Μάστρον et Μαστύα sunt formæ nominis ejusdem (cf. μαστεία, μαστὺς, μαστρία, μάστρος, μαστήρ). Vulgo urbs dicitur Ἄμαστρις, Ἀμάστρα, Ἀμάστριον (V. Wesseling ad Hierocl. p. 696. Parthey in Indice ad Notitias gr. Episcopatuum, Berolin. 1866, p. 334). *Mastrum* præbet Tab. Peuting., dum Geogr. Rav. p. 100, 3 in eodem Tabulæ Itinerario habet *Amastra*. Altera forma Μαστύη occurrit apud Plinium 5, 2 : *Oppidum Tium,.,. fluvius Billis; ultra quem gens Paphlagonia;... oppidum Mastya Milesiorum ; dein Cromna*, in quibus *Mastyam* esse Amastrim urbem ex serie locorum patet, quamquam id latuit Plinium qui in seqq. præter ordinem ex alio fonte memorat *Sesamon quod nunc Amastris*. Μαστιέων in nummo Paphlagoniæ habes ap. Mionnet *Supplem*. vol. 4, p. 568, n. 103. Litera A nominis Ἀμάστριον abjicitur sicut pro Ἄλυκος etiam Λύκος dicebatur. || — 8. Μάταλον] Sic legitur etiam ap. Strabonem p. 411, 6 et 47 ed. Didot., ubi plurimi codices Μέταλον, Μέταλλον, Μάρταλον. Apud Ptolem. 3, 15, p. 243, 18 ed. Wilb. codices Μεταλία. In Stadiasmo Maris magni (G. Min. I, p. 507) codex : εἰς Ματάλαν... ἀπὸ Ματάλης. Hodie *Matala*. || — 9. Μάταυρος] Cf. St. Byz. : Μάταυρος, πόλις Σικελίας, Λοκρῶν κτίσμα. Τὸ ἐθνικὸν Ματαυρῖνος. Στησίχορος Εὐφήμου παῖς Ματαυρῖνος γένος ὁ τῶν μελῶν ποιητής. Strabo 6, 2, 9, p. 228, 35 ed. Did. commemorat τὸ περὶ Μάταυρον σπήλαιον. Quum aliunde hic Siciliæ locus non notus sit, Strabonis verba mendam traxisse cum Cluvero suspicabar in Ind. Strabon. p. 979. Stephanus enim Italiæ urbem in Locrorum ditione sitam perperam in Siciliam transtulisse videri possit, quoniam Suidas dicit : Στησίχορος... Ἱμεραῖος, οἱ δὲ ἀπὸ Ματαυρίας τῆς ἐν Ἰταλίᾳ. Testimonium Anonymi, quippe qui e Stephano pendere videatur, nullius auctoritatis esse putaveris. Nihilominus

Ματέλγη, Γαραμαντικῆς. Τὸ ἐθνικὸν Ματελγεύς.
Ματιλική, Ὀμβρίας. Ὁ πολίτης Ματιλικίτης.
Ματισκών, Γαλλίας Κελτικῆς. Τὸ ἐθνικὸν Ματισκωνήσιος.
Ματούσαρον, Λουσιτανίας. Τὸ ἐθνικὸν Ματουσαρεύς.
Μαυσός, κώμη Κορίνθου. Ὁ πολίτης Μαυσεύς.
Μαυσώκη, Ὑρκανίας. Τὸ ἐθνικὸν Μαυσωκεύς.
Μάφαρις, Ἀραβίας. Τὸ ἐθνικὸν Μαφαρίτης.
Μαχαιροῦς, Ἰουδαίας. Ὁ πολίτης Μαχαιρούντιος.
Μαχάνη, Ἰουδαίας. Τὸ ἐθνικὸν Μαχανεύς.
Μαχμάς, Ἰουδαίας. Τὸ ἐθνικὸν Μαχμάσιος.
Μαχόρβη, Ἀραβίας. Τὸ ἐθνικὸν Μαχορβίτης.
Μεγαλόπολις, Ἀρκαδίας. Ὁ πολίτης Μεγαλοπολίτης.
Μέγαρα, μεταξὺ Πελοποννήσου, Βοιωτίας καὶ Ἀττικῆς. Ὁ πολίτης Μεγαρεύς.
Μέγαρα, Θετταλίας. Τὸ ἐθνικὸν Μεγαρίτης.
Μέγαρα, Πόντου. Τὸ ἐθνικὸν Μεγαρεύς.
Μέγαρα Ἰλλυρίας.
Μέγαρα, Μολοσσίδος.
Μέγαρα, Σικελίας, ἡ πρότερον Ὕβλα. Ὁ πολίτης Μεγαρεύς.
Μέγαρα, Συρίας Ἀπαμηνῆς.
Μεγαρικόν, Βιθυνίας. Τὸ ἐθνικὸν Μεγαρικηνός.
Μέγασα, Λιβύης. Τὸ ἐθνικὸν Μεγασεύς.
Μεγίστη, Λυκίας. Ὁ πολίτης Μεγιστεύς.
Μεδάβη, Ἰουδαίας. Τὸ ἐθνικὸν Μεδαβεύς.
Μεδάμη, Βρεττίων. Τὸ ἐθνικὸν Μεδαμαῖος.

---

omnia hæc in meris versantur conjecturis. || — 10. Ματέλγη] Nomen hoc non notum nisi e Plinio (5, 35), qui *Ultra eum* (sc. *Atrum montem*) *deserta*, *Matelgæ*, *oppidum Garamantum itemque Dedris*. Sic enim e codice Borbonico (*N* ap. Sillig.) legendum est. Silligius e codice Θ dedit *mox Talgæ*; in aliis codd. *Moxthelgæ*, *mox thegle*, *mathelge*. De situ loci v. conjecturam viri doctissimi *Vivien de St-Martin* (*Le Nord de l'Afrique dans l'antiquité*, 1863, p. 118). || — 11. Ματιλική] *Matelica* apud Frontin. De colon. p. 106. Etiamnum locus sic vocatur. *Matelicates* ap. Plin. 3, 113. || — 12. Ματισκών] *Matisco* Cæsar. B. G. 7, 90; Itin. Ant. p. 359; Tab. Peut.; hodie *Mâcon*. || — 13. Ματούσαρον] Memoratur in Itin. Ant. p. 419, 2; in Geogr. Rav. p. 316, 15 corruptum est in *Massusaria*. || — 14. Μαυσός] V. St. Byz. s. h. v. et v. Ἀσαί. || — 15. Μαυσώκη] Μαυσύκα in Ptolemæi edit. principe, Μαίσοκα, Μαισύκα, Μέσοκα codd. nostri. || — 16. Μάφαρις] Μαφαρῖτις χώρα Periplus mar. Erythr. 22 (G. Min. I, p. 274); τῷ Μαφαρείτῃ τυράννῳ codex ib. § 16, ὁ Μοφαρείτης τύραννος ib. § 8. Μαφωρῖται, Μαφωρεῖται, Μαφορῖται codd. Ptolemæi 6, 7, p. 407, 21. || — 17 et 18 habet Stephan. || — 19. Μαχμάς] Cf. Jesaias 10, 28; Sam. 13, 2 et 5. 14, 5 et 31; Josephus B. Jud. 6, 6, 1, 13, 1, 6. || — 20. Μαχόρβη] Plinius, 6, 149: *Eblitæi montes*, *insula Omœnus* (*om* = insula; œnus = Αἶνος Ptolemæi), *portus Mochorbe*. Sic codices Silligii præter duos, qui *Nochorbe*. Ceterum *Machorbe* habet ed. Broterii. || — 21. Stephanus præter Arcadiæ Megalopolim memorat alteram Cariæ, quæ deinde Aphrodisias, antea Lelegôn polis et Ninoe dicta sit. Hanc noster Anonymus s. v. Ἀφροδισιάς fort. nominaverat. || — 23-28. Priora Megara quinque eodem ordine habes apud Stephanum, qui omittit Megara Syriæ Apamenæ, de quibus vid. Strabo p. 752. || — 29. Μεγαρικηνός] Μεγαρικός Steph. Byz. in codd. Rav. et Voss.; in ceteris gentile omissum. || — 30. Μέγασα] Μέγοσα... Μεγοσεὺς codex; quod, postulante literarum ordine, mutavi e Stephano, ubi Μέγασα, ὡς Γέρασα. || — 31. Μεγίστη] Cf. St. Byz. || — 32. Μεδάβη]. Præstaret Μήδαβα. Urbs e libris sacris nota. Apud Josephum codices inter Μήδαβα et Μηδάβη fluctuant. || — 33. Μεδάμη] Μέδμη...Μεδμαῖος Steph. Byz. ex Hecatæo. Apud Strabonem p. 256 (213, 24 Did.) codices habent Μέδαμα, cui in cod. *A* adscriptum Μέδμα, in sequentibus vero omnes codices τῆς Μέδμης. Quare in antecc. quoque Cramerus Μέδμα scripsit. Utraque nominis forma in usu fuerit. Similiter vicina urbs Τέμεσα et Τέμψα dicebatur, testante Strabone, p. 255. Alia nominis forma erat Μέσμα, quæ in nummis exstat et apud St. Byz. (ex Apollodoro) s. v. Μέσμα et Etym. M p. 581, 15 et Scylacem § 12, ubi codex Μέσα. In periegesi iambica Μέδμα corruptum est in Μέδνα. *Medma* legitur etiam in Plinii editt. 3, 73, ex codicibus, ut videtur; varia lectio ibi a Sillígio affertur: *Meddua*, *Medua*, *Medina*, *Medara*. In Pomponio Mela, 2, 4, 9 Vossius et Tzschukke ediderunt: *Hinc* (a Metauro) *Medama*, *Hippo nunc Vibon*. *Temesa*. At codices: *Maticana* (*Matichana* cod. Vat. 3), *ionium*, *Vibone* (V. Mela ed. Parthey. 1868). Horum postrema refingenda sunt in *Hipponium Vibone*. In primo verbo latere *Medaba* a veri specie abhorret. Fuisse suspicor *Vaticana* vel *Manticlana*. Nam promontorium quod est inter Metaurum et Vibonem hod. vocatur *Cap Vaticano*. Ei adjacebat Herculis portus et Herculis insula (Tab. Peut.), quæ hodie audit *Mantineo*. Ni fallor, sacra erat Herculi Manticlo, quem Messanæ cultum esse novimus e Pausania, 4, 23, 10, et qui apud Latinos abire potuit in Herculem Vaticanum. Apud Diodorum 14, 78, 5 pro Μεδμναίους legendum esse Μεδμαίους statuitur pro-

Μεδεών, Βοιωτίας. Ὁ πολίτης Μεδεώνιος.
Μεδεών, Φωκίδος.
Μεδεών, Δαλματίας. Τὸ ἐθνικὸν Μεδεωνίτης.
Μεδιόλανον, Γαλλίας τῆς ἐντὸς τῶν Ἄλπεων. Τὸ ἐθνικὸν Μεδιολανήσιος.
Μεδιόλανον, Γαλλίας Ἀκυτανικῆς.
Μεδιόλανον, Γαλλίας Κελτικῆς
Μεδιόλανον, Βρεττανίας.
Μεδίων, Αἰτωλίας. Ὁ πολίτης Μεδιώνιος.
Μεδοβρίγα, Λουσιτανίας. Τὸ ἐθνικὸν Μεδοβριγεύς.
Μεδυλλία, Λατίνης. Τὸ ἐθνικὸν Μεδυλλῖνος.
Μέθανα, Ἀργολίδος. Ὁ πολίτης Μεθαναῖος.
Μεθύδριον, Ἀρκαδίας. Ὁ πολίτης Μεθυδριεύς.
Μεθώνη, Μακεδονίας. Ὁ πολίτης Μεθωναῖος.
Μεθώνη, Λακωνίας. Ὁ πολίτης Μεθωναιεύς.
Μελάγγη, Ἰνδικῆς. Τὸ ἐθνικὸν Μελαγγεύς.
Μέλαιναι, Ἀρκαδίας. Ὁ πολίτης Μελαινεύς.
Μελαινεῖς, δῆμος Ἀττικῆς.
Μελάμπεια, Λυδίας. Τὸ ἐθνικὸν Μελαμπεύς.
Μελαντιάς, Θρᾴκης. Τὸ ἐθνικὸν Μελαντιάδειος.
Μελία, Καρίας. Ὁ πολίτης Μελινεύς.
Μελίβοια, Θετταλίας. Ὁ πολίτης Μελιβοεύς.
Μέλινα, κώμη Ἄργους. Ὁ πολίτης Μελινεύς.
Μελιόδουνον, Γερμανίας. Τὸ ἐθνικὸν Μελιοδουνήσιος.
Μέλισσα, Λιβύης. Τὸ ἐθνικὸν Μελισσαῖος.
Μελιταία, Θετταλίας. Ὁ πολίτης Μελιταιεύς.
Μελιτεῖς, δῆμος Ἀττικῆς.
Μελιτηνή, Καππαδοκίας. Ὁ πολίτης Μελιτηνός.
Μελίτουσσα, Ἰλλυρίας. Τὸ ἐθνικὸν Μελιτουσσαῖος καὶ Μελιτούσσιος.
Μελλαρία, Βαιτικῆς. Τὸ ἐθνικὸν Μελλαριεύς.
Μελόδουνον, Γαλλίας Κελτικῆς. Τὸ ἐθνικὸν Μελοδουνήσιος.
Μελόκαβος, Γερμανίας. Τὸ ἐθνικὸν Μελοκαβηνός.
Μέλπεια, Ἀρκαδίας. Ὁ πολίτης Μελπειεύς.
Μέμβρησα, Ζευγιτανίας. Τὸ ἐθνικὸν Μεμβρησεύς.
Μέμφις, Αἰγύπτου. Ὁ πολίτης Μεμφίτης.

---

babiliter, quamquam fortasse satis est scripsisse Μεδιμαίους; nam quum oppidum situm erat ad fluvium qui hodie *Mesima* audit, fieri facile potest ut jam apud veteres juxta Μέδαμα, Μέδμα, Μέσμα exstaret forma Μέδιμα. In Thucydide 5, 5 legitur : ὁ πρὸς Ἰτωνέας καὶ Μελαίους πόλεμος ὁμόρους τε ὄντας καὶ ἀποίκους (sc. τῶν Λοκρῶν); legendum fuerit πρὸς Ἱππωνιέας καὶ Μεδμαίους. [Sæpius fit ut geographica nomina in Thucydidis codicibus corrupta sint. Nondum emendatum est quod legitur 6, 104 : Κατὰ τὸν Τεριναῖον κόλπον, ubi Ταραντῖνον legi vult Poppo, improbante Arnoldio, quum probabile non sit nomen notissimum sic esse corruptum; attamen patet partem aliquam Tarentini sinus intelligendam esse. Legi jubeo κατὰ τὸν [Λευ]τέρνιον vel fort. Λευτερνιαῖον κόλπον. Sic enim Tarentini sinus pars meridionalis dici potuit a Λευτερνίᾳ παραλίᾳ, quam novimus e Strabone p. 233 ed. Did.] || — 34-36. Eadem eodem ordine Stephanus, nisi quod pro Δαλματίας habet minus recte : ἔστι καὶ τῆς Ἠπείρου πόλις καὶ κώμη (ἢ κώμη?), ubi Meinekius post vocem κώμη excidisse aliquid putat. Apud Livium 44, 23-32 est *Meteon Labeatidis terræ urbs* in Dalmatia, non ita longe a finibus Epiri. || — 37-40. E quatuor Mediolanis Anonymi Stephanus non habet nisi urbem Aquitaniæ. || — 41. Μεδίων] Pro Αἰτωλίας rectius Stephanus πόλις πρὸς τῇ Αἰτωλίᾳ. Urbs erat Acarnaniæ. || — 42. Μεδοβρίγα] Deest in St. B. || — 43. Λατίνης] τῶν Ἀλβάνων. St. || — 43. Deest in St. || — 46. 47. Præter has Stephanus alias tres Methonas recenset. || — 48. Deest in Steph. V. Ptolem. 7, 1, 14. || — 49. Stephanus præter Arcadiæ etiam Lyciæ Melænas habet. || — 52. Μελαντιάς] Ap. Stephanum legitur : Μελανδία, χώρα Σιθωνίας. Θεόπομπος λγ' Φιλιππικῶν. Τὰ ἐθνικὰ Μελάνδιος καὶ Μελανδία (V. not. Meinekii). Nostro loco nescio an intelligenda fuerit Melantias quæ 18 m. p. a Constantinopoli distat, de qua vid. Itin. p. 138. 230. 323. 332; Ammian. 31, 11, 1, Tab. Peut. (ubi *Melantiana*), Agathias 5, p. 158; Chron. Pasch. p. 717, 10. Ab ea dicta Μελανδησία porta Constantinopolis. V. Ducang. Const. Chr. I, p. 30, IV, p. 130. || — 55. Μέλινα κώμη] M. πόλις Steph. || — 56. Non nota nisi e Pto

II.

Ἴναχος, Ἀργολίδος, ἀπὸ Ἰνάχου τοῦ βασιλέως. Ἔστι καὶ Ἀκαρνανίας.
Ἰνδός, ἀφ' οὗ ἡ Ἰνδικὴ ἐκλήθη.
Ἰνδός, Φρυγίης.
Ἰνωπός, ἐν Δήλῳ.
Ἶξος, ἐν Ῥόδῳ.
Ἰορδάνης, Ἰουδαίας.
Ἴρια, Λιγυστικῆς.
Ἶρις, Πόντου.
Ἶς, Βαβυλωνίας.
Ἰσάκα, Βρεταννίας.
Ἴσαρ, Γαλλίας Ναρβωνησίας.
Ἴσβουρος Σικελίας.
Ἶσις, Κολχίδος.
Ἰσμηνός, Βοιωτίας παρὰ ταῖς Θήβαις
Ἴστρος, Θρᾴκης.
Ἶτυς, Βρεττανίας.
Κάβειρος, Ἰνδικῆς.
Κάϊκος, Μυσίας.
Καινός, Γαλλίας Ναρβωνησίας.
Καιρίτης, Τυρρηνίας.
Κάλαμα, Γεδρωσίας, καὶ χώρα ὁμώνυμος.
Καλαών, Ἰωνίας.
Κάλβις, Καρίας.
Κάλιπος, Λουσιτανίας.
Κάλλας, Εὐβοίας.
Καλλίας, Θεσπρωτίας.
Καλλίχορος, Βιθυνίας.
Καλός, Κολχίδος.
Κάλωρ, ἐν Σαυνίταις.
Κάλπας, Βιθυνίας.
Καλύκαδνος, Κιλικίας.
Καμβύσης, Ἀλβανίας.
Κάμικος, Σικελίας, ἀφ' οὗ ἡ πόλις ἐκλήθη.
Κανέντελος, Γαλλίας Ἀκυτανικῆς
Κάντιος, Βρεττανικῆς.
Κανωπικόν, Νείλου στόμα.

---

lemæo 2, 11, 29. || — 57. Duas Melissas habet Stephanus, sicut mox duas Melitas. || — 62-66. Desunt in Stephano. De Mellaria v. Strabo, Plin., Plutarch., alii; de Meloduno Cæsar. B. G. 7, 58 etc.; de Mellocabo Ptolem. 2, 11, 29; de Melpia Pausan. 8, 38, 8; de Membresa Procop. B. V. 2, 15, Itin., Tab. Peut.

II, 3. Φρυγίης] sic codex, ut infra 38 Ἀσσυρίης et 66 Φρυγίης. De hoc Indo v. Liv. 38, 14. Plin. 5, 103. || — 5. Ixus fl. alibi non memoratur. Ἰξὸς λιμήν ap. St. v. Ἰξίαι. || — 7. Ἴρια] *Iria* s. *Hirias* ap. Paulum Diaconum in Hist. Miscell. 16, p. 554; adjacens oppidum Εἴρια ap. Ptolem., *Iria* in Itinerariis Ant. p. 288 et in Tab. Peutinger., in qua juxta urbem est *Fl. Odubria* (hod. *riv. Staffora* ad *Voghera* urbem). || — 10. Ἰσάκα] V. Ptolem. 2, 3, 4. || — 12. Ἴσβουρος] Ptolem. 3, 4, 6. || — 14. Ἶσις] Scylax, Plin., Arrian. || — 16. Ἶτυς] Ptol. 2, 3, 1. || — 17. Κάβειρος] Ignotus. Fort. ad Cabura. || — 19. Καινός] Ptol., 2, 10, 8. || — 20. Καιρίτης] *Cæritis amnis* (hod. *Vascina*) ap. Virgil. Æn. 8, 59. || — 21. Κάλαμα] nunc *Calami*. V. Arrian. Ind. 26, 6. Geogr. Min. I, p. 344. || — 22. Καλαών] prope Colophonem. Pausan. 7, 3, 5. 24. || — Κάλιπος] Ptol. 2, 5, 2; Marcian. Peripl. mar. ext. 2, 13. || — 25. Κάλλας] Strabo p. 445. || — 26. Καλλίας] Ignotus. || — 27. Scylax, Apoll. Rhod. 2, 906, Plin. || — 28. Arrian. et Anon. Peripl. Pont. in Geogr. Min. I, p. 30. || — Κάλπας] Κάλπης ap. Arrian. V. Geogr. m. 1, p. 30. || — 32. Plin. 6, 15; Dio Cass. 37, 3. || — 34. Ptolem. 2, 7. 2. || — 35. Κάντιος] Non memoratur alibi. Fuerit prope promont. Can-

Κάπρος, Φρυγίας.
Κάπρος ὁ καὶ Ζάβας, Ἀσσυρίης.
Κάρησος, Μυσίας.
Κάρμαλος, Καππαδοκίας.
Καρνίων, Ἀρκαδίας, ἀφ' οὗ ἡ πόλις ἐκλήθη.
Κάρπις, Παννωνίας.
Κάρρας, Μεσοποταμίας, καὶ πόλις Καρρῶν.
Καρσός, Κιλικίας.
Κάρτενος, Μαυρουσίας.
Κάσιος, Ἀλβανίας.
Κατάδας, Ζευγιτανίας.
Καταρράκτης, Παμφυλίας.
Κατάρρακτος, Κρήτης.
Καυκών, Ἀχαΐας.
Κάϋστρος, Ἰωνίας.
Κεβρήν, Τρωάδος, καὶ πόλις ὁμώνυμος.
Κέγχριος, Ἰωνίας.
Κέδρων, Ἰουδαίας, παρὰ Ἱεροσολύμοις.
Κεκίνας, Τυρρηνίας.
Κέλαδος, Ἱσπανίας Ταρρακωνησίας.
Κέλυδνος, Ὀρεστίδος.
Κέρατος, Κρήτης.
Κέρδυλος, Θράκης.
Κερυνίτης, Ἀχαΐας ἀπὸ τῆς Κερυνίας πόλεως.
Κέστρος, Παμφυλίας.
Κέφαλος, Λυκαονίας.
Κηφισσός, Ἀττικῆς. Ἔστι καὶ Κηφισσὸς παρὰ τῇ Ἐλευσῖνι, τρίτος ἐν Ἀργολίδι, τέταρτος ἐν Βοιωτίᾳ, πέμπτος ἐν Σαλαμῖνι, ἕκτος ἐν Σκύρῳ, ἕβδομος ἐν Φωκίδι.
Κίαβρος, Μυσίας.
Κίανος, Κολχίδος.
Κιβύρας, Φρυγίης.
Κίγγας, Ἱσπανίας Ταρρακωνησίας.
Κίκων, Θράκης.

---

tium. || — 40. Καππαδοκίας] sc. in Cataonia, Cappadociæ parte. V. Strabo p. 537. || — 41. Καρνίων] Κάρνειον codex; em. ex Pausania 8, 34, 5, Callimach. 1, 24. || — 42. V. Ptol. 2, 15, 4. Herodot. 4, 49. || — 43. Κάρρας] Καρρᾶς? Cf. St. B. v. Κάρρας. || — 44. V. Xenophon An. 1, 4, 4. || — 45. Κάρτεννος ap. Ptolem. 4, 2, 4. || — 46. Καίσιος ap. Ptolem. 5, 12, 2 p. 354, 8 dedit Wilberg., sed reponendum Κάσιος. *Casius* etiam ap. Plin. 6, 39. Idem nomen de conjectura in Melam 3, 5, 4 intulit Tzschukke. || — 47. V. Ptol. 4, 3 p. 262, 3 Wilb. || — 49. Ptolem. 3, 17, 4. || — 50. Strabo p. 342. 387. Steph. v. Δύμη. Καυκώνεια. || — 53. Strabo p. 639. Pausan. 7, 5, 10. Tacit. An. 3, 61. || — 54. Κεδρών? V. Joseph. B. Jud. 8, 1, 5. || — 55. *Cecina*, Plin. 3. 50. || — 56. Mela 3, 1. || — 57. Ptolem. 3, 12, p. 219, 5: Ὀρεστίδος· Ἀμαντία· Κελύδνου ποταμοῦ ἐκβολαί. Noster sua duxerit ex ipso Ptolemæo, qui miro errore Orestidem ad mare Adriaticum pertinere putavit. || — 58. Καίρατος Callimachus 3, 44, ex quo eadem scriptura illata in Strabonem p. 476, ubi codices Κέρατος. Apud Eustath. ad Dionys. 1, 498 codd. fluctuant. In usu fuerit utrumque. Cf. Hesych.: Καιρατιοῦσι, κερατιοῦσι. || — Κέρδυλος] Non noveramus nisi Cerdylium montem e Thuc. 5, 6 sqq. || — 60. Pausan. 7, 27, 5. || — 62. Cephalus ignotus. || — 63. Perperam distinguitur inter Cephissum Phocidis et C. Bœotiæ. Cephissos Atticæ, Phocidis, Salaminis, Scyri et Argolidis Strabo quoque componit p. 424, iisque addit Cephissum Sicyoniæ, quem non habet Noster, dum apud Strabonem desideratur Cephissus Eleusinius, quem præter Anonymum Pausanias, 1, 38, 4 commemorat. Salaminius Cephissus antea non notus erat nisi e Strabone, apud quem Leakius pro Σαλαμῖνι scribi voluit Ἐλευσῖνι. Conjectura Anonymi testimonio labefactatur. || — 64. Μυσίας] i. e. Mœsiæ superioris. V. Ptolem. 3, 9, p. 208, 25 Wilb. || — 65. Κίανος] *Cyanes* Tab. Peuting.; *Cyanees* Geogr. Rav., Γυηνός cod. Scylacis; Κυάνεος Ptolem. 5, 9, p. 350. Apud hos fluvius in mare exit. In Phasim incidit Κυάνεος (Κύανος cod. Voss.) ap. Steph. Byz, et ap. Plin. 6, 13, ubi codd. *Cyaneos*, *Cyanos*, *Tyanos*. || — 66. Κιβύρας] Κιβυρᾶς? Aliunde non notus. Intellige hodiernum *Horzoum Tchai*, cui adjacent ruinæ Cibyræ. || — 67. Κίγγας] Cæsar B. G. 1, 48; Lucan. 4, 21. Hodie *Cinca*. || — 68. Κίκων] Ignotus. || — 69. Κιλβια-

Κιλβιανός, Λυδίας.
Κίνυψ, Συρτικῆς Λιβύης.
Κινύρας, Κύπρου.
Κίος, Βιθυνίας, ἀφ' οὗ πόλις ὁμώνυμος. Ἔστι καὶ Μυσίας.
Κίσσας, Κολχίδος.
Κισσηνός, Θρᾴκης.
Κισσός, Μακεδονίας.
Κισθήνης, Μυσίας, καὶ πόλις Κισθήνη.
Κλάνις Τυρρηνίας. Ἔστι καὶ Λατίνης, ὃ καὶ Λῖρις καλεῖται· τρίτος ἐν Καμπανίᾳ.
Κλάρος, Ἰλλυρίας.

νός] Ignotus. Fuit τοῦ Κιλβιανοῦ πεδίου, de quo Strabo, p. 629. || — 71. Κινύρας] Ignotus. *Cinyria urbs* Cypri ap. Plin. 5, 130 et Nonnum, 13, 451. || — 72. Κίος] Memoratur a Plinio 5, 144. || — 73. Κίσσας] Ptolem. 5, 6, p. 335, 13, ubi fl. Cappadociæ assignatur. || — 74. Κισσηνός] Ignotus. Κίσσος, φρούριον Θρᾴκης ap. Ephraem. 8484. || — 75. Κισσός] Novimus ejus nominis urbem et montem Macedoniæ (Str. p. 330. Nic. Ther. 804. Lycophr. 1234), non item fluvium. || — 76. Κισθήνης] Urbem habes ap Strab., Plin., Melam; fluvium nemo memorat. || — 78. Κλάρος] Ignotus.

ARISTODEMUS.

I..., αἰτησάμενος γὰρ μίαν ἡμέραν μόνην ἔπεμψε κρύφα Σίκιννον τὸν ἑαυτοῦ παιδαγωγὸν πρὸς Ξέρξην, ἐγκελευσάμενος αὐτῷ ἐπιτίθεσθαι τοῖς Ἕλλησι καὶ ναυμαχεῖν, δηλῶν τὸν μέλλοντα δρασμὸν ἀπὸ Σαλαμῖνος. Ὁ δὲ Ξέρξης νομίσας τὸν Θεμιστοκλέα μηδίζοντα ταῦτα ἀπεσταλκέναι, ἔπεμψε τὰς ναῦς ἐπὶ Σαλαμῖνα καὶ ἐκυκλώσατο τοὺς Ἕλληνας εἰς τὸ μένειν αὐτούς. (2) Ἐσπούδασεν δὲ ὁ Ξέρξης ζεῦγμα κατασκευάσας πεζῇ ἐπιβῆναι ἐπὶ τὴν Σαλαμῖνα, ὃν τρόπον διῆλθεν (ἐπὶ) τὸν Ἑλλήσποντον· καὶ μέρος τι ἔχων ἧκεν κατὰ τὸ Ἡράκλειον· ἐπειδὴ δὲ ἀδύνατον ἦν τὸ πᾶν γεφυρωθῆναι, καθεζόμενος ἐπὶ τοῦ Πάρνηθος ὄρους

I..... Etenim *Themistocles*, qui unius solummodo diei moram expetiverat, Sicinno ipsius pædagogo ad Xerxem misso regem adhortatus est, ut adoriretur Græcos pugnamque navalem cum iis committeret, quippe qui a Salamine insula jamjam secessuri essent. Xerxes igitur, Themistoclem utpote Medorum partibus addictum hæc mandasse ratus, classe versus Salaminem missa cinctos Græcos in loco manere coegit. (2) Præterea pontem struere voluit, ut pedibus in Salaminem transiret, quemadmodum Hellespontum trajecerat. Ac parte copiarum assumta, ad Heracleum venit. Quum vero fieri omnino non posset ut ponte fretum jungeretur, in Parnethe monte, qui in pro-

Aristodemi fragmentum exstat in cod. Paris. 607 Supplementi inde a fol. 83 v. usque ad fol. 87 v. Haud omnia vero quæ in novem his paginis leguntur, Aristodemi sunt; nam in medium fragmentum locus Philostrati intrusus est, qui unam et dimidiam codicis paginam implet inde a fol. 85 v. linea 17 usque ad finem folii 86 v. Videlicet liber Parisinus ex complurium codicum particulis consarcinatus est. Unus horum continebat Philostrati opus de vita Apollonii et historias Aristodemi, descriptus vero erat e codice in quo ordo foliorum subinde turbatus erat, eamque perturbationem scriba parum attentus e prototypo in apographum transtulerat, deinde autem animadverso errore, signis quibusdam notisque lectorem de genuino particularum ordine restituendo admonuit. Sic in priore quoque codicis nostri parte nunc deperdita Aristodemi narrationem interposito Philostrati loco abruptam fuisse puta, fini autem hujus fragmenti appictum exstitisse hoc fere signum :

°—X—°

Hoc enim ex eo colligitur, quod ad initium nostri fragmenti idem signum appingitur, eique adscriptum legitur : καὶ (?) τὸ σημεῖον· τοῦτό ἐστι τὸ ζητούμενον τοῦ Ἀριστοδήμου, i. e. *Quare hoc signum in antecedentibus, ubi adscriptum ad locum, quo Aristodemi narratio abrupta est; nam quæ jam sequuntur, sunt Aristodemi illa quæ in antecc. l. l. desiderabantur.* Ceterum de codicis ratione videatur Præfatio.

§ 1. Post expugnatas Thermopylas Græcis ad Salaminem collectis et quid faciendum esset deliberantibus, plurimi hortabantur ut in Peloponnesum discederent; soli Athenienses et Æginetæ et Megarenses manendum esse et cum hoste confligendum censebant. Ἐνταῦθα, Herodotus 8, 75, ait, Θεμιστοκλέης, ὡς ἑσσοῦτο τῇ γνώμῃ ὑπὸ τῶν Πελοποννησίων, λαθὼν ἐξέρχεται ἐκ τοῦ συνεδρίου, ἐξελθὼν δὲ πέμπει ἐς τὸ στρατόπεδον τὸ Μήδων ἄνδρα κτλ. Similiter ceteri historici. Quod Aristodemus indicat verbis αἰτησάμενος μίαν ἡμέραν μόνην, id alibi non traditur. Ceterum nescio an auctor scripserit μιᾶς ἡμέρας μονήν vel μίαν ἡμέραν μένειν. || — Σίκιννον] Σίκινον codex, quæ nominis scriptura etiam in Herodoti codicibus nonnullis obvia. Vide Dindorf. in Thes. gr. s. v. Σίκιννος. Mentio Sicinni fit apud Herod. 8, 75 et 110, Plutarch. Them. c. 12, 4, Polyæn. 1, 30, 2, Clem. Alex. Pædag. p. 271, Themist. epist. 9, 21. Misso hominis nomine, historiam narrant Cornelius Nep. Them. 4, Justinus 2, 12, Diodorus 11, 17, 1, Frontinus 2, 2, 14.

§ 2. Ζεῦγμα κατασκευάσας] De hoc commento cum Aristodemo faciunt Ctesias et Strabo, quorum ille in Persic. c. 26 p. 51 ed. Didot. : ὁ δὲ Ξέρξης αὐτόθεν (Athenis) ἐλθὼν ἐπὶ στεινότατον τῆς Ἀττικῆς (Ἡράκλειον καλεῖται), ἐχώννυε χῶμα ἐπὶ Σαλαμῖνα, πεζῇ ἐπ' αὐτὴν διαβῆναι διανοούμενος. Strabo autem p. 395 : ὁ εἰς Σαλαμῖνα πορθμὸς ὅσον διστάδιος (Falsum hoc. Ni fallor, olim haud raro scribendi genere exaratum erat δ' στάδιος, i. e. τετραστάδιος, quod abiit in διστ.), ὃν διαχοῦν ἐπειρᾶτο Ξέρξης, ἔφθη δὲ ἡ ναυμαχία γενομένη καὶ φυγὴ τῶν Περσῶν. Sec. Herodotum 8, 97 Xerxes post cladem in Hellespontum abscessurus, ut hoc fugæ consilium celaret, aggerem istum ducere instituit : Ἐθέλων δὲ μὴ ἐπίδηλος εἶναι μήτε τοῖς Ἕλλησι μήτε τοῖσι ἑαυτοῦ, εἰς τὴν Σαλαμῖνα χῶμα ἐπειρᾶτο διαχοῦν, γαυλούς τε Φοινικηίους συνέδεε, ἵνα ἀντί τε σχεδίης ἔωσι καὶ τείχεος, ἀρτέετό τε ἐς πόλεμον ὡς ναυμαχίην ἄλλην ποιησόμενος. Plutarchus Themist. c. 16 : Μετὰ δὲ τὴν ναυμαχίαν ἔτι θυμομαχῶν πρὸς τὴν ἀπότευξιν, ἐπεχείρει διὰ χωμάτων ἐπάγειν τὸ πεζὸν εἰς Σαλαμῖνα τοῖς Ἕλλησιν, ἐμφράξας τὸν διὰ μέσου πόρον. || — μέρος τι ἔχων] Justinus 2, 12 : *Græci... prælium collatis viribus capessunt. Interea rex velut spectator pugnæ cum parte navium in litore remanet.* || — τὸ πᾶν] Licet interpretari *totum illud quod inter continentem et insulam interjectum est*. At facilis conjectura est disertius auctorem scripsisse : τὸν πόρον vel, quod in latinis expressi, τὸ πᾶν τὸν πόρον. — ἐπὶ τοῦ Πάρνηθος] Aut inepta Aristodemus narrat, aut omnem tractum montanum, qui a Parnethe versus meridiem ad fretum Salaminium descendit, Parnethis nomine comprehendit. Similiter Ægalei montis nomen modo arctiore modo laxiore sensu usurpatur. De loco, unde pugnam rex spectavit, ita Herodotus 8, 90 : κατήμενος ὑπὸ τῷ οὔρεϊ ἀντίον

(ἐγγὺς δὲ ἦν τοῦτο), ἑώρα τὴν ναυμαχίαν. (3) Ἤρξαντο δὲ τοῦ ναυμαχεῖν Ἀμεινίας Ἀθηναῖος, υἱὸς μὲν Εὐφορίωνος, ἀδελφὸς δὲ Κυνεγείρου καὶ Αἰσχύλου τοῦ τραγῳδοποιοῦ. Ἐνίκων μὲν οὖν πάντες οἱ Ἕλληνες, ἐκπρεπέστερον δὲ οἱ Ἀθηναῖοι. (4) Συνεστηκυίας δὲ τῆς μάχης, ὁ Ξέρξης ἱκανὰς μυριάδας ἐπεβίβασεν εἰς τὴν πλησίον νησῖδα παρακειμένην τῇ Σαλαμῖνι, ὀνομαζομένην Ψυττάλειαν, ἐκπληττόμενός τε τοὺς Ἕλληνας καὶ βουλόμενος τὰ προσφερόμενα ναυάγια τῶν βαρβάρων ἀνασώζεσθαι. Ἀριστείδης δὲ Ἀθηναῖος, υἱὸς Λυσιμάχου, καλούμενος δίκαιος, ἐξωστρακισμένος ἐκ τῶν Ἀθηνῶν καὶ ὑπάρχων ἐν Αἰγίνῃ τότε, συμμαχῶν καὶ αὐτὸς τοῖς Ἕλλησι παρεγένετο πρὸς Θεμιστοκλέα καὶ στρατὸν αὐτὸν ᾔτησεν εἰς τὸ ἀμύνασθαι τοὺς ἐν τῇ Ψυτταλείᾳ. Ὁ δε καίπερ ἐχθρὸς αὐτῷ γεγονὼς ὅμως ἔδωκε. Λαβὼν δὲ Ἀριστείδης ἐπέβη εἰς τὴν Ψυττάλειαν, καὶ πάντας τοὺς βαρβάρους ἐφόνευσε, καὶ μέγιστον τοῦτο τὸ ἔργον ἐπεδείξατο

pinquo erat, considens prœlium navale inde spectabat. (3) Initium pugnandi fecit Aminias Atheniensis, Euphorionis filius, frater Cynegiri et Æschyli poetæ tragici. Ad victoriam deportandam omnes quidem Græci contulerunt, insigniorem vero in modum Athenienses. (4) Conserto jam prœlio, Xerxes sat multa hominum millia in Psyttaleam insulam exiguam in propinquo juxta Salaminem sitam trajecit, ut terrorem Græcis incuteret, et naufragia barbarorum, quæ fluctu eo deferrentur, collecta servaret. Aristides vero Atheniensis, Lysimachi filius, justus ille cognominatus, qui tesserarum judicio Athenis ejectus in Ægina tum degebat, et ipse Græcis opitulaturus ad Themistoclem accessit ab eoque copias petivit, ut collocatos in Psyttalea insula hostes oppugnaret. Dedit ille licet inimico. Quibus assumtis Aristides in Psyttaleam egressus omnes ibi barbaros trucidavit ac clarissimo hoc

---

Σαλαμῖνος, τὸ καλέεται Αἰγάλεως. Plutarchus Themist. c. 13, 1 : Ἅμα δ' ἡμέρᾳ Ξέρξης μὲν ἄνω καθῆστο, τὸν στόλον ἐποπτεύων καὶ τὴν παράταξιν, ὡς μὲν Φανόδημός φησιν, ὑπὲρ τὸ Ἡράκλειον, ᾗ βραχεῖ πόρῳ διείργεται τῆς Ἀττικῆς ἡ νῆσος, ὡς δὲ Ἀκεστόδωρος, ἐν μεθορίᾳ τῆς Μεγαρίδος ὑπὲρ τῶν καλουμένων Κεράτων. Eodem referuntur verba anonymi poetæ (Callimachi in Hecale ut cum Heckero crediderim) apud Suidam v. μᾶσσον et ὑετός·

ἐπιπρὸ δε μᾶσσον ἐπ' ἄγοοι
Αἰγαλέω θυμόεντος ἄγων μέγαν ὑετὸν ἔστν.

In his verba ἄγ. μ. ὑετόν vertunt *adducens magnam pluviam*, Xerxem comparari putantes cum nube vel cum Jove νεφεληγερέτῃ. V. Leake *Die Demen von Attika* p. 212 ex versione Westermanni, et quos laudat Bernhardyus ad Suidam. Vereor ne hæc inepta sint. Ni fallor, mendosum codicem auctor Suidæ exscripsit. Pro ὑετόν legendum αἰετὸν sive ἀετόν; nam locus quo versabatur rex Persarum, indicari solebat aquila expansis alis conto infixa. Xenophon Cyrop. 7, 1, 4 · παρηγγύησε (Cyrus) δὲ παρορᾶν πρὸς τὸ σημεῖον... ἦν δ' αὐτῷ τὸ σημεῖον ἀετὸς χρυσοῦς ἐπὶ δόρατος μακροῦ ἀνατεταμένος. Καὶ νῦν δὲ ἔτι τοῦτο τὸ σημεῖον τῷ Περσῶν βασιλεῖ διαμένει. Idem Anab. 1, 10, 12 : γήλοφος ἦν, ἐφ' οὗ ἀνεστράφησαν οἱ ἀμφὶ βασιλέα,... καὶ τὸ βασίλειον σημεῖον ὁρᾶν ἔφασαν, ἀετόν τινα χρυσοῦν ἐπὶ πέλτης ἀνατεταμένον. Eadem docet Philostratus Imagg. p. 100 ed. Jac. — Heracleum memorant etiam Diodorus 11, 18, 3 et Stephanus Byz., qui s. v. Ἐχελίδαι dicit Ἕλος τόπον esse μεταξὺ Πειραιέως καὶ τοῦ τετρακώμου Ἡρακλείου. His innitens Leakius l. l. p. 25 Heracleum agnoscit in templi ruinis, quas vidit in colle haud longe ab ora maritima prope viam quæ Athenis ducit ad locum, unde in Salaminem trajicere solebant. Eodem in tractu nunc sunt rudera vici *Cerasini* dicti et objacet *Ceratopyrgos* insula exigua. Itaque suspicor partem Ægalei, in qua Xerxes consedit, proprio nomine Κέρατα dictam esse, idque nomen ab Acestodoro vel ab ejus interprete miro errore in notiora Κέρατα, quæ in Megaridis confiniis erant, translatum esse.

§ 3. Ἀμεινίας Ἀθηναῖος] Diodor. 11, 27, 2 : Ἀμεινίαν Ἀθηναῖον, τὸν ἀδελφὸν Αἰσχύλου. Herodot. 8, 84 : Ἀμεινίας Παλληνεύς, ἀνὴρ Ἀθηναῖος. Plutarch. Them. 14, 3 : Ἀμεινίας ὁ Δεκελεύς. Vita Æschyli · Αἰσχύλος... Ἀθηναῖος, Ἐλευσίνιος (Δεκελεύς, ὡς ἔνιοι?) τὸν δῆμον, Κυνεγείρου ἀδελφὸς καὶ Ἀμεινίου. Ælian. V. H. 5, 19 : Ἀμεινίας ὁ νεώτερος (sc. Αἰσχύλου) ἀδελφός.

§ 4. Συνεστηκυίας δὲ τῆς μάχης] Fuerit ἐνεστηκυίας. Sec. Herodotum 8, 76 in Psyttaleam Persæ quidam trajecerunt noctu quæ præcessit diem pugnæ. || — ἱκανὰς μυριάδας] Inepte. Tanti numeri non capax insula exigua. Herodotus 8, 76 : ἐς τὴν νησῖδα τὴν Ψυττάλειαν... πολλοὺς τῶν Περσῶν ἀπεβίβασαν. Numerum eorum unus refert Pausanias 1, 36, 2 : ἐς ταύτην τῶν βαρβάρων ὅσον τετρακοσίους ἀποβῆναι λέγουσιν. || — Ψυττάλειαν] Ψυτάλ. codex h. l. et postea iterum. || — ἐκπληττόμενος] ἐκπληξόμενος, eodem sensu quo ἐκπλήξων? Fort. auctor scripsit : ἐκβληθησομένους τ. τ. Ἕ. καίνειν βουλόμενος καὶ τὰ etc., collato Herodot. 8, 76 : ἐς δὲ τὴν νησῖδα... ἀπεβίβαζον τῶν Περσέων, τῶνδε εἵνεκεν, ὡς, ἐπεὰν γένηται ναυμαχίη, ἐνταῦθα μάλιστα ἐξοισομένων τῶν τε ἀνδρῶν καὶ τῶν ναυηγίων (ἐν γὰρ δὴ πόρῳ τῆς ναυμαχίης τῆς μελλούσης ἔσεσθαι ἐκέετο ἡ νῆσος), ἵνα τοὺς μὲν περιποιέωσι, τοὺς δὲ διαφθείρωσι. Præcedunt apud Herodotum quæ nondum satis explicata esse mihi videntur. Itaque sententiam meam h. l. interponere liceat. De Persarum classe loquens Herodotus dicit : ἀνῆγον τὸ ἀπ' ἑσπέρας κέρας κυκλούμενοι πρὸς τὴν Σαλαμῖνα, ἀνῆγον δὲ οἱ ἀμφὶ τὴν Κέον τε καὶ τὴν Κυνόσουραν τεταγμένοι, κατεῖχόν τε μέχρι Μουνυχίης πάντα τὸν πορθμὸν τῇσι νηυσί. His respondent versus oraculi, quos mox Herodotus apponit :

ἀλλ' ὅταν Ἀρτέμιδος χρυσαόρου ἱερὸν ἀκτὴν
νηυσὶ γεφυρώσωσι καὶ εἰναλίην Κυνόσουραν.

Cynosuram ibi dici promontorium quod juxta Salaminem urbem in caudæ modum longe exporrigitur et hodie *Agia Barbara* vocatur, recte statuit Leakius l. l. p. 212, frustra obloquente Grotio in *Hist. of Gr.* 5, p. 173. Fortasse Callimachus poeta in Hecale de ipsa hac pugna Salaminia loquens nomen illud ad totam insulam retulit. Nam scho-

ὑπὲρ τῶν Ἑλλήνων. (5) Διασημότερον δὲ ἠγωνίσαντο τῇ ναυμαχίᾳ [Ἀθηναῖοι], καὶ ἠρίστευσεν Ἀμεινίας, τῶν δὲ βαρβάρων γυνὴ Ἁλικαρνασὶς τὸ γένος, ὄνομα δὲ Ἀρτεμισία, ἥτις, διωκομένης τῆς νεὼς αὐτῆς καὶ κινδυνεύουσα ἀπολέσθαι, τὴν ἔμπροσθεν ναῦν ἰδίαν οὖσαν ἐβύθισεν· ὁ δὲ Ἀμεινίας δόξας σύμμαχον εἶναι τῶν Ἑλλήνων, ἀπετράπη τοῦ διώκειν. Ὁ δὲ Ξέρξης θεασάμενος τὸ γενόμενον εἶπεν· « Οἱ μὲν ἄνδρες μοι γυναῖκες γεγόνασιν, αἱ δὲ γυναῖκες ἄνδρες.» (6) Ἠρίστευσαν δὲ τῶν Ἑλλήνων ἐκπρεπέστερον μετὰ Ἀθηναίους Αἰγινῆται, οἵτινες κατὰ τὸ στενὸν τοῦ πορθμοῦ κατατάξαντες ἑαυτοὺς, πολλὰς τῶν βαρβάρων νῆας φευγούσας εἰς τὸ στενὸν παραδεχόμενοι ἐβύθιζον. (7) Ἡττηθέντων δὲ τῶν βαρβάρων καὶ φυγόντων, οἱ Ἕλληνες ἐβούλοντο λύειν τὸ ἐπὶ τοῦ Ἑλλησπόντου ζεῦγμα καὶ καταλαμβάνεσθαι Ξέρξην ἐν τῇ Ἑλλάδι. Θεμιστοκλῆς δὲ οὐχ οἰόμενος ἀσφαλὲς εἶναι οὐδὲ τοῦτο, δεδοικὼς μήποτε, ἐὰν ἀπογνῶσι τὴν σωτηρίαν οἱ βάρβαροι, φιλοκινδυνώτερον ἀγωνίσονται ἐξ ὑποστροφῆς, ἀντέπρασσε· κεχυρωμένων δὲ οὐδὲν ἰσχύων, ἔπεμψε κρύφα Ξέρξῃ δηλῶν ὅτι μέλλουσιν οἱ Ἕλληνες λύειν τὸ ζεῦγμα. Ὁ δὲ φοβηθεὶς ἔφευγεν. (8) Ἐν δὲ τῇ ναυμαχίᾳ τῇ περὶ Σαλαμῖνα καὶ οἱ θεοὶ συνεμάχησαν τοῖς Ἕλλησιν. Ινεος* γὰρ ὁ Θεοκύδους, ἀνὴρ Ἀθηναῖος, ἔφη θεάσασθαι ἐν τῷ Θριασίῳ πεδίῳ κονιορτὸν ὡς δυσμυρίων ἀνδρῶν ἀναφερόμενον ἀπ'

facinore de salute Græcorum optime meritus est. (5) Insignius prœlio navali certarunt Athenienses, inter quos primas tulit Aminias; ex barbaris vero mulier Halicarnasensis genere, Artemisia dicta, quæ, quum navis ipsius ab instante hoste pressa summopere periclitaretur, in navem objectam, quæ et ipsa Artemisiæ erat, impegit eamque demersit. Quo viso Aminias, Artemisiæ navem sociam Græcorum esse putans, a persequendo destitit Xerxes vero ejus spectator dixisse fertur : « Viri mihi in mulieres, mulieres vero in viros abierunt.» (6) Secundo ab Atheniensibus loco inter Græcos excelluerunt Æginetæ, qui in angustiis freti collocati multas barbarorum naves in fauces istas fuga delapsas excipientes demerserunt. (7) Devictis barbaris et in fugam conversis, Græci pontem Hellesponti rescindere et Xerxem in Græcia continere voluerunt. Themistocles vero hoc quoque parum tutum esse existimans (timebat enim ne ad salutis desperationem adacti barbari nihil non audentes pugnam renovarent), obstitit, et quum contra decreta nihil valeret, misso clam nuntio Xerxem de Græcorum consilio dissolvendi pontis certiorem fecit. Tum metu rex perculsus fugam arripuit. (8) Ceterum Græci in prœlio ad Salaminem commisso etiam deos pugnæ socios habuerunt. Etenim Ineus (*Dicæus*), Theocydis filius, Atheniensis, dixit se in campo Thriasio pulverem tanquam a triginta mil-

---

lion ad Eusebii Præpar. Evangelicam quod e cod. Paris. 451 fol. 275 edidit E. Millerus in Marcian. p. 283 : Σάλαμις ἡ πρὸς Ἀθήναις Κούλουρις πάλαι ἐλέγετο, ὡς Καλλίμαχος ὁ Κυρηναῖος ἐν Ἑκάλῃ φησίν, sic vix recte habet. Κούλουρις Callimachus scripserit Κυνουρίς, quod in hodiernum insulæ nomen proclivi errore depravatum est. Jam quod τὴν Κέον Herodoti attinet, de Ceo (hod. *Zea*) insula cogitari non posse patebat; alii Salaminis, alii Atticæ locum aliquem aliunde non notum significari censent. Mihi dubium non est quin eadem regio indicetur quæ in oraculo Ἀρτέμιδος ἀκτή vocatur. Diana illa est Ἄρτεμις Μουνυχία λιμενοσκόπος (Callimach. in Dian. 259), sive Μουνυχία Ἑκάτη (Orph. Argon. 938), sive Ζέα Ἑκάτη (Hesych. s. v.), cujus fanum erat in colle Zeæ et Munychiæ portibus imminente. Itaque Herodotus τὴν Κέον dixit pro τὴν Ζέαν (sicuti inverso ordine Κέως sive Κέα insula nunc Ζέα vocatur), aut corrigendum est τὴν Ζέαν, quod quidam de Ceo insula intelligens in Κέον mutaverit. || — Ἀριστείδης δὲ etc.] Uberiora de his vide ap. Herodot. 8, 79. 95, Plutarch. Themist. 12, Aristid. 8 et 9, Polyæn. 1, 31, Pausan. 1, 36, 2.

§ 5. Ἀθηναῖοι] Vocem supplevi. Aliter Herodotus 8, 93, 2 : ἤκουσαν Ἑλλήνων ἄριστα Αἰγινῆται, μετὰ δὲ Ἀθηναῖοι. Idem 8, 122, 1 : ἀπαίτεε αὐτοὺς (τοὺς Αἰγινήτας) τὰ ἀριστήια τῆς ἐν Σαλαμῖνι ναυμαχίης. Similiter Ælianus V. H. 12, 10. Invidia Athenensium ducti Lacedæmonii primas Æginetis adjudicarunt, sec. Diodor II, 27, cum quo cf. Plutarch. Themist. 17, 1 et De Herodoti malign. 40 p. 1061, ed. Didot. V. Dunker *Gesch. d. Alterth.* 4, p. 813. || — Ἀρτεμισία] V. Herodot. 8, 87, Justin. 2, 12, Polyæn. 8, 53, 1.

§ 7. Quæ hoc segmine narrantur, eodem modo tradit Justinus 2, 13 : *Sed Græci audita regis fuga, consilium ineunt pontis interrumpendi quem ille Abydo veluti victor maris fecerat, ut intercluso reditu aut cum exercitu deleretur, aut desperatione rerum pacem victus petere cogeretur. Sed Themistocles, timens ne interclusi hostes desperationem in virtutem verterent, et iter, quod aliter non pateret, ferro patefacerent, satis multos hostes in Græcia remanere dictitans nec augeri numerum retinendo oportere, quum vincere consilio ceteros non posset, eundem servum ad Xerxem mittit, certioremque consilii facit et occupare transitum maturata fuga jussit. Ille perculsus nuntio tradit ducibus milites perducendos, ipse cum paucis Abydon contendit.* Aliter hæc efformavit Herodotus 8, 108 sqq. et ab Herodoto in nonnullis discedens Plutarchus Themist. 16. Paucis rem tangit Diodorus 11, 19, 5. Cf. etiam Polyæn. 1, 30, 3, Frontin. 2, 6, 8, Plutarch. Aristid. 9. Moral. p. 185, C. || — καταλαμβάνεσθαι] Velim ἀπολαμβάνεσθαι, *intercludere*, uti est ap. Herodot. 8, 108, 3 : Εἰ γὰρ ἀναγκασθείη ἀπολαφθεὶς ὁ Πέρσης μένειν ἐν τῇ Εὐρώπῃ. || — ἔπεμψε] Sicinnum sc., secundum Justinum l. l. et Diodor. 11, 19, 5; viros fidos inter eosque Sicinnum, sec. Herodot. 8, 110; Arsacem, sec. Polyæn. 1, 30, 3; Arnacem eunuchum captivum, sec. Plutarch. Aristid. 9 et Themist. 16.

§ 8. Ινεος] sic, absque accentu, codex. Nomen hoc aliunde, quantum scio, non notum; proxime accederet Δίνεως vel Δειναιός. Δικαῖος noster vir dicitur ap. Herodotum et Aristidem, quorum ille 8, 65 : Ἔφη ὁ Δικαῖος ὁ Θεοκύδεος, ἀνὴρ Ἀθηναῖος,... ἐν τῷ Θριασίῳ πεδίῳ ἰδέειν κονιορτὸν χωρέοντα απ' Ἐλευσῖνος ὡς ἀνδρῶν μάλιστα τρισμυρίων (δισχ. Aristod.), ... καὶ πρόκατε φωνῆς ἀκούειν, καί οἱ φαίνεσθαι τὴν φωνὴν εἶναι τὸν μυστικὸν ἴακχον... Ἐκ δὲ τοῦ κονιορτοῦ καὶ τῆς φωνῆς γενέσθαι νέφος, καὶ μεταρσιωθὲν φέρεσθαι ἐπὶ Σαλαμῖνος ἐς τὸ στρατόπεδον τῶν Ἑλλήνων. (Ex He-

Ἐλευσῖνος, βοώντων τὸν μυστικὸν Ἴαχχον, τὸν δὲ κονιορτὸν νεφωθέντα ἐμπεσεῖν ἐς τὰς ναῦς τῶν Ἑλλήνων.

II. Φεύγοντος δὲ τοῦ Ξέρξου, Μαρδόνιος, υἱὸς Γωβρύου τοῦ καὶ αὐτοῦ ἐπιθεμένου τοῖς [μά]γοις, συμ[πεπει]κὼς καὶ αὐτὸς Ξέρξην στρατεῦσαι ἐπὶ τὴν Ἑλλάδα, ᾐτιᾶτο τὸ πολὺ πλῆθος τῶν βαρβάρων ὡς αἴτιον γεγονὸς τῆς ἥττης, ὑπέσχετό τε νικήσειν τοὺς Ἕλληνας, εἰ λάβοι στρατοῦ μυριάδας λ'. (2) Λαβὼν δὲ ὁ Μαρδόνιος ἔπεμψε πρῶτον πρὸς Ἀθηναίους Ἀλέξανδρον τὸν Μακεδόνα, τὸν Φιλίππου πρόγονον, ὑπισχνούμενος δώσειν αὐτοῖς μύρια τάλαντα καὶ γῆν ὅσην ἂν αὐτοὶ βούλοιντο τῆς Ἑλλάδος, τηρήσειν τε ὑποσχόμενος καὶ τὴν ἐλευθερίαν αὐτοῖς καὶ τὴν αὐτονομίαν, εἰ ἕλοιντο μένειν ἐφ' ἑαυτῶν καὶ μὴ συμμαχεῖν τοῖς Ἕλλησιν. Ἐπειδὴ δὲ ὁ Ἀλέξανδρος παρεγένετο εἰς τὰς Ἀθήνας, καὶ ταῦτ' ἐδήλωσεν, οἱ Ἀθηναῖοι οὔτε τοὺς λόγους προσεδέξαντο, ὑβρίσαντές τε τὸν Ἀλέξανδρον ἀπεπέμψαντο. (3) Ὁ δὲ Μαρδόνιος ἀποτυχὼν ἐν τούτοις, ἐπῆλθεν εἰς τὰς Ἀθήνας καὶ τὰ ἔτι περιλειπόμενα μέρη προσενέπρησεν, παραγενόμενός

libus hominum mysticum Iacchum clamantium excitatum et ab Eleusine proficiscentem conspexisse, nubemque e pulvere ortam in naves Græcorum decidisse.

II. Xerxe fugam moliente, Mardonius, Gobryæ, unius ex iis qui contra magos conjuraverant, filius, qui et ipse expeditionem in Græciam Xerxi suaserat, nimiam barbarorum multitudinem causam cladis fuisse prætexebat, promisitque se Græcos debellaturum esse, si ipsi relinquerentur hominum millia triginta. (2) Quibus acceptis, Mardonius primum legato ad Athenienses Alexandro Macedone, uno ex Philippi majoribus, promisit iis daturum se decies mille talenta et quantam vellent Græciæ regionem, atque libertatem ipsis tuiturum esse et suis vivendi legibus potestatem pollicitus est, si quietem agere nec opitulari reliquis Græcis decreverint. Postquam vero Alexander Athenas venerat, nihil eorum quæ exposuit Athenienses admiserunt et contumelia affectum amandarunt. (3) Itaque Mardonius hac spe frustratus contra Athenas profectus est et partes urbis quæ post prius excidium adhuc supererant, igne vastavit. Inde ad The

rodoto sua sumsit schol. ad Aristoph. Nub. 302.) Aristides Panathen., t. 3, p. 185 Dindf. : Δικαῖος καὶ Δημάρατος Ἀθηναῖοι ὄντες καὶ πάλαι φυγάδες ἐκ τῆς πόλεως, ὄντες παρὰ Ξέρξῃ γενομένης τῆς συμπλοκῆς, καὶ κονιορτοῦ ἀρθέντος εἰς ἀέρα ἐξ Ἐλευσῖνος, ἔφασαν τῷ βασιλεῖ, ὡς καθ' ὧν ἂν ὁ κονιορτὸς πέσοι, ἡττηθήσονται. Πέπτωκε κατὰ Περσικῶν τριήρων, καὶ σκεδασθεὶς ἐν αὐταῖς εἰς φόβον ἐνῆκε τὸν βασιλέα ὧν ὕστερον ἔμελλε πείσεσθαι. Ἐν δὲ τῇ τοῦ κονιορτοῦ ἄρσει καὶ ὅσοι τῶν Ἀθηναίων ἦσαν μεμυημένοι, ἤκουσαν φωνῆς τινος ἐκ δαίμονός τινος, ἀφανῶς λεχθείσης, ὡς παρέσονται τῇ ναυμαχίᾳ Περσεφόνη καὶ Δημήτηρ.

II. § 1. [μά]γοις συμπε[πει]κὼς] Inclusa chartæ damno in codice perierunt. Ab his verbis incipit fol. 84 r.; in primis autem singularum paginarum versibus nonnulla lacera sunt. De Gobrya v. Herodot. 3, 70 sqq., de Mardonio expeditionis suasore, idem 3,100. || — μυριάδας λ'] Eundem numerum tradunt Herodot. 8,100, Plutarch. Aristide 10, 1 et 19, 5, Strabo p. 412. Apud Diodorum 9, 19, 6 legitur : ὁ σύμπας ἀριθμὸς ὑπῆρχεν οὐκ ἐλάττων τῶν τετταράκοντα μυριάδων, at legendum esse τριάκοντα μυρ. ex ipso Diodoro colligitur, qui c. 28, 5 ad Persicas copias accessisse e Thracia et Macedonia et aliunde dicit ducenta sociorum millia, c. 30, 1 autem totum barbarorum exercitum quingentorum millium fuisse perhibet. A vero propius abesse videtur Cornelius in Pausan. 1, ubi de prœlio Platæense loquens : *Mardonius*, ait, *cum ducentis peditum millibus, quos viritim legerat, et viginti millibus equitum fugatus est.*

ἄνδρα πολέμιον, καὶ ἐπὶ τῷ ἔργῳ τούτῳ μεγαλοφρονεόμενον προσθεῖναι καὶ δεύτερον· τῷ γὰρ βεβλημένῳ τῶν πολεμίων τινος παραστάντος καὶ τὸ βέλος ἐξαιρεομένου, τοξεῦσαι αὖτις, καὶ τυχόντα ἐπὶ τῷ προτέρῳ καὶ τοῦτον κατακτεῖναι. (3) Τοῦτο ἰδομένους τοῦ παιδὸς τὸ ἔργον τοὺς μὲν πολεμίους θώματι ἐνέχεσθαι μυρίῳ, τοὺς δὲ πολιήτας, καὶ ἐπὶ μέζον αὐτοῦ τῇ προθυμίῃ προερχομένου, ἐπισχεῖν καὶ ἀναρπάσαι μιν, φόβῳ σχομένους μή τινι ἄρα παλινκότῳ ἐπὶ παραδόξοις οὕτω ἐκ φθόνου δαίμονος ἐγκυρήσῃ. Καὶ ταῦτα μὲν δὴ οὕτως ἐγίνετο. (4) Πρὸς δὲ τὰ ἐπιφερόμενα ἐκ τῶν μηχανημάτων (καὶ) πολλὰ ἀντιτεχνησαμένων τῶν ἀπὸ τοῦ τείχεος, τὰ μάλιστα λόγου ἄξια καὶ ἀφηγήσιος ἐπυθόμην γενέσθαι τούτοισι, ταῦτα σημανέω. Τῇ μὲν ὦν ἀπὸ τῶν πυρφόρων βελέων ἐλπιζομένῃ ὠφελίῃ κατὰ πάντων ὁμοίως τῶν μηχανημάτων ἐχρέοντο· τὰ δὲ πυρφόρα ταῦτα βέλεα ἦν τοιάδε. (5) Ἀντὶ τῆς ἄρδιος τῆς πρὸς τῷ ἄκρῳ τοῦ ὀϊστοῦ εἶχε ταῦτα τάπερ μεμηχάνητο ὥστε τὸ πῦρ αὐτὸ ἐπιφέρειν· ταῦτα δὲ ἦν σιδήρεα, ἔχοντα ἔνερθεν ἐκ τοῦ πυθμένος κεραίας ἀπεκβεβλημένας· αἱ δὲ κεραῖαι χωρὶς ἐπ' ἑωυτέων ἐλαυνόμεναι, ἔπειτα καμπτόμεναι κατὰ κορυφὴν πρὸς ἀλλήλας ξυνήγοντο· συναφθεισέων δὲ τούτων ἐς ἄκρον ἀκὶς ἰθείη καὶ ὀξυτάτη ἀπὸ πασέων ἐξήιε. Τῆς δὲ δὴ μεμηχανημένης οὕτως ἔργον ἦν, κατ' ὅτεω ἂν ἐνεχθείη, προσπερονημένην μιν ἐνεστάναι. (6) Ταύτης μὲν τῆς ἀκίδος ἔργον ἦν τοῦτο· τὸ δὲ ἐπὶ τῷ πυρὶ σπουδαζόμενον ὧδε ἐνηργέετο. Καμπτόμεναι αἱ κεραῖαι κόλπον κοῖλον, κατὰ τὸν διεστεῶσαι ἦσαν ἀπ' ἀλληλέων, ἐποίεον, οἷον δὴ καὶ [αἱ] τῶν αὐτοεργουσέων γυναικῶν ἠλακάται, περὶ ἃς δὴ στρέφεται τὸ εἴριον ἔξωθεν περιβαλλόμενον, ἀπ' ὧν δὴ τὸν στήμονα κατάγουσι. Μεταξὺ τούτου τοῦ κόλπου εἴσω στυππίον ἢ καὶ ξύλα λεπτὰ, θείου αὐτοῖσι προσπλασσαμένου ἢ καὶ τῷ Μηδείῳ ἐλαίῳ καλεομένῳ αὐτὰ χρίσαντες ἐνετίθεσαν. (7) Τοῦ δ' ὦν ἀτράκτου τοξευομένου ἤτοι ὑπὸ μηχανῆς ἢ καὶ τοξοτέων, τὰ ἐνεχόμενα ὑπὸ τῆς ῥύμης ἐξήπτετο καὶ ἀφθέντα φλόγα ἐποίεε. Τοιούτοισι μὲν δὴ κατ' ἁπάντων τῶν μηχανημάτων ἐχρέοντο, καὶ ἀπὸ τούτων πολλῶν ἅμα ἐκπεμπομένων ὠφελίη τις ἐγένετο· ἀπό γε ὀλίγων ἢ σμικρὴ ἢ οὐκ ἂν δή τις τοσαύτη προσείη· ἢ γὰρ ὑπὸ τῶν βυρσέων ἔργοιντο ἢ

aberrasse, sed hostem occidisse, eoque facinore superbientem huic addidisse etiam alterum; videlicet quum sauciato adstans unus ex hostibus telum vulnere eximeret, sagitasse iterum et scopum ferientem post priorem hunc quoque virum interfecisse. (3) Hoc pueri facinus spectantes hostes quidem magnopere admiratos esse, cives vero, in majus procedente ejus audacia, cohibuisse eum et abripuisse, metuentes ne post tam inopinatos successus in adversam fortunam deorum invidia offenderet. Atque hæc quidem hoc habuerunt modo. (4) Contra ea autem quæ e machinis ferebantur, quum multa murorum propugnatores artificiose moliti sint, ego ea quæ mentione et enarratione dignissima comperi, jam significabo. Igniferorum igitur telorum sperata utilitate contra omnes perinde machinas utebantur. Erant vero ignifera ista hujusmodi. (5) Cuspidis loco in extrema sagitta habebant quod ignis inferendi causa machinati erant. Ferreum hoc. Ab imo ejus fundo duo cornua projiciebantur. Hæc cornua, quæ seorsim pro se quodque emittebantur, in vertice flexa in se invicem conducebantur. Ex his in extremitate sic connexis spiculum exibat rectum et peracutum, cujus negotium in eo erat positum, ut in quodcunque ferretur, ei infixum inhæreret. (6) Hoc igitur erat spiculi munus. Ignis vero immissionem tali modo efficere studebant. Flexa illa cornua, ubi a se invicem distabant, sinum sive cavitatem faciebant, qualem habent etiam operantium mulierum coli, quibus extrinsecus lana circumvolvitur, unde stamen ducunt. Intra hunc alveum stupam vel etiam minuta ligna sulphure induta vel Medeæ quod vocant oleo inuncta collocabant. (7) Jam misso hoc fuso vel machinæ ope vel a sagittariis, materia intus inclusa jactus impetu incendebatur et incensa flammam edebat. Talibus igitur telis contra omnes machinas utebantur, et quoniam magna eorum copia emittebatur, utilitas quædam hinc redundabat; a paucis tamen vel parva vel non tanta certe fuerit; aut enim pelles ea arcuerint, aut machinæ, quæ magno numero ad exstinguenda incendia comparantur.

§ 3. προερχομένου] προσερχομενους cod.

§ 4. καὶ ante πολλὰ abundat. || — ἐχρέοντο] εχθρεοντο codex. || — τούτοισι] τουτωσε codex. Fortasse tamen auctor scripsit τουτόσε, quamquam ejus vocis exemplum desidero.

§ 5. De machina ista ita Amm. Marcellinus 23, 4, 14 : « *Malleoli autem, teli genus, figurantur hac specie. Sagitta est cannea, inter spiculum et arundinem multifido ferro coagmentata, quæ in muliebris coli formam, quo nentur lintea stamina, concavatur ventre subtiliter et plurifariam patens, atque in alveo ipso ignem cum aliquo suscipit alimento. Et si emissa lentius arcu invalido (ictu enim rapidiore exstinguitur) hæserit unquam, tenaciter cremat, aquisque conspersa acriores excitat æstus incendiorum, nec remedio ullo quam suprajacto pulvere consopitur.* » Cf. Vitruv. 10, 22; Veget. Mil. 4, 18.

§ 6. καὶ [αἱ] τῶν αὐτοεργουσέων] καὶ τῶν οὕτως ἐχουσέων codex. Longius a traditis literis recederet τῶν νεουσεων sive νηθουσέων γυναικῶν. || — εἴριον] ἴριον codex, qui dein το στημονα et εισως τυπτιον et χρησαντες (suprascripto ει) et ενετειθεσαν.

§ 7. ἐξήπτετο καὶ ἀφθέντα] ἐξεφθετο καὶ εφαεντα φλογας ποιεε codex.

καὶ ὑπὸ σβεστηρίων πολλῶν μηχανημάτων. (8) Τάδε παρά γε Μακεδόνων αὐτῶν οὐκ ἤκουσα, ἐν δ' ἑτέρῃ πολιορκίῃ ἔμαθον ἀντιτεχνηθῆναι πρὸς τὰ πυρφόρα ταῦτα βέλεα, Κελτῶν προσκατημένων πόλει Τυρρηνῶν καλεομένῃ· ἔστιν δὲ αὕτη χώρης τῆς Γαλατίης τῶν ἐν τῇ ἑσπέρῃ κατοικημένων, ἔθνεος τοῦ Λουγδουνησίου· χρόνος δὲ, κατ' ὃν (ἔτος) προσεκατέατο τῇ πολιορκίῃ, ἦν ἐν τῷ δὴ Γαλατίη πᾶσα καὶ τὰ ταύτῃ προσέχεα ἔθνεα ἀρχῇ τῇ Ῥωμαίων οὐ πιθέσκετο, ἀλλ' ἀπεστήκεε [καὶ] τοῖς ἐπανεστηκόσι συνεφρόνεε· (9) τότε γὰρ, τῶν Κελτῶν τῶν πέρην Ῥήνου ἐπιστρατευσαμένων, μοίρη ἀπὸ τούτων ἀποσπασθεῖσα καὶ προσκατημένη τῇ πόλει τῇ λελεγμένῃ, καταφλεχθεισέων σφι πολλέων μηχανημάτων, ἐξόπισθεν τῶν μηχανέων ἔλυτρα ὀρύξαντες πλέα ὕδατος ταῦτα ἐποίεον, ἔπειτα μολυβδίνους στεγανοὺς ἀγωγοὺς τοὺς ὑποδεξομένους καὶ πα.....

(8) Has ab ipsis quidem Macedonibus adhibitas esse non audivi, sed in alia obsidione igniferis telis oppositas comperi, quando Celtæ *Turonorum* urbem obsidebant. Urbs illa est Galliæ in occiduis Europæ partibus gentisque Lugdunensis. Tempus vero obsidionis illud erat quo omnis Gallia et vicini populi Romanorum imperium detrectantes defecerant et seditiosis se adjungebant. Tunc enim Celtis transrhenanis expeditionem contra Romanos suscipientibus, pars quædam ab iis avulsa et quam diximus urbem obsidens, postquam multæ machinæ immisso igne deletæ erant, a tergo machinarum alveos foderunt eosque aqua impleverunt et deinde tectos ductus plumbeos aquam recepturos et.. ...

§ 8. ωφελειη codex. || — ἀπό γε ὀλίγων ἢ σμικρὴ etc.] απογεομγωνη σμικρηηουκωνδητις codex. || — ἔργοιντο ἢ καὶ ὑπὸ σβεστηρίων] εργωντο η καὶ αποσμετηριων cod. || — τάδε] τόδε cod. || — παρά γε Μακ.] παρα δε Μακ. cod. || — ἐν δ'ἑτέρῃ] εν δε τηρη codex, qui deinde πολει Τυρρηνωνκαλεομενη. Conjicias significari Τουρόνων urbem (*Tours*), in eaque præsidium Romanorum a Gallis obsessum esse tempore rebellionis, de qua Tacitus Annal. 3, 40: *Eodem anno* (21 p. C.) *Galliarum civitates ob magnitudinem æris alieni rebellionem cœptavere... Haud ferme ulla civitas intacta seminibus ejus motus fuit; sed erupere primi Andecavi ac Turonii... Turonii legionario milite quem Visellius Varro, Inferioris Germaniæ legatus miserat, oppressi.* Ceterum incerta hæc esse sponte intelligitur. || — ἀντιτεχνηθῆναι] αντιτειχθηναι codex; minus aptum foret ἀντιτειχισθῆναι. || — προσκατημένων] προσκαθημένων codex h. l. et similiter § 9. || — λουγδονοσιου codex. || — ἔτος probabiliter varia lectio juxta v. χρόνος adscripta. || — τοῖσι ἐπαν.] τοις εεπαν. cod. || — § 9 μοίρη] μοριη, interposito signo corruptionis, codex. || — ἀποσπασθεῖσα] supra scriptis literis χι indicatur varia lectio ἀποσχισθεῖσα. || — πολλέων μηχανηματων] πολλέων μηχανησασθαι codex.

PRISCUS.

I. ΕΚ ΤΩΝ ΠΡΙΣΚΟΥ.
ΠΟΛΙΟΡΚΙΑ ΠΟΛΕΩΣ ΝΟΒΙΔΟΥΝΟΥ.

Οὐάλιψ ὁ πάλαι τοὺς Ῥούβους τοῖς Ῥωμαίοις ἐπαναστήσας τοῖς ἑῴοις, καταλαβὼν Νοβίδουνον πόλιν πρὸς τῇ ὄχθῃ κειμένην τοῦ ποταμοῦ, τινάς τε τῶν πολιτῶν διεχειρήσατο καὶ σύμπαντα τὰ ἐν τῷ ἄστει ἀθροίσας χρήματα κατατρέχειν τὴν Θρακῶν καὶ Ἰλλυριῶν παρεσκευάζετο μετὰ τῶν νεωτερίζειν σὺν αὐτῷ ἑλομένων. Τῆς δὲ παραστησομένης αὐτὸν πεμφθείσης ἐκ βασιλέως δυνάμεως, τειχήρης γενόμενος τοὺς πολιορκοῦντας ἐκ τῶν περιβόλων ἠμύνετο, ἐφ' ὅσον αὐτῷ τε καὶ τοῖς ἀμφ' αὐτὸν οἷά τε ἦν καρτερεῖν· ἡνίκα γὰρ ἀπηγορεύοντο πόνῳ διαδοχῆς τὸ Ῥωμαϊκὸν μάχεσθαι πλῆθος, ἐς τὰς ἐπάλξεις τοὺς παῖδας τῶν αἰχμαλώτων ἱστῶντες, τὴν τῶν ἐναντίων βελῶν ἐπεῖχον φοράν· φίλοι γὰρ[όντες] τῶν Ῥωμαϊκῶν παίδων οἱ στρατιῶται οὔτε ἔβαλλον ἐπὶ τοὺς ἐπὶ τοῦ τείχους οὔτε ἠκόντιζον, καὶ οὕτως αὐτῷ τριβομένου τοῦ χρόνου, ἐπὶ συνθήκαις ἡ πολιορκία ἐλύετο.

I. E PRISCI HISTORIIS.
OBSIDIO NOVIDUNI.

Valips, qui olim Rubos (*Rugos?*) contra Romanos orientales excitaverat, Noviduno oppido *Colapis* fluvii ripæ adjacente potitus, civium nonnullos interfecit et collectis omnibus quæ in oppido erant pecuniis, in Thracum et Illyriorum terras invasionem parabat una cum iis qui cum ipso res novas moliebantur. Missis autem copiis regiis quæ ad deditionem eum compellerent, mœnibus oppidi inclusus obsidentes e munimentis arcebat tam diu dum ipsi sociisque vires suppetebant: tandem vero quum labori per successiones sustinendo impares, ab oppugnandis Romanorum copiis destiterunt, impetum telorum hostilium eo continuerunt quod filios captivorum in pinnis mœnium collocarunt; milites enim pueros Romanos in muro stantes, utpote ipsorum amicos, neque sagittis neque jaculis petebant. Et sic quum tempus tereretur, ad pacta res devenit et obsidio soluta est.

Prisci fragmenta duo leguntur in cod. Paris. 607 suppl. fol. 93 v. lin. 3 — fol. 94 v. lin. 2. Novioduni et Naissi obsidiones e primo Historiarum libro petitæ esse debent. Naissus ab Hunnis capta est an. 441 p. C., an. 34 Theodosii, Cyro solo consule, ut ad hunc annum legitur in Chronico Marcellini Comitis : *Hunnorum reges numerosis suorum cum millibus in Illyricum irruerunt; Naissum, Singidunum aliasque civitates oppidaque Illyrici plurima exciderunt.* Ex ipso Prisco novimus inter alias illas hujus tractus civitates fuisse Viminacium et Margum (Prisc. fr. 2) et Ratiariam (fr. 3). Itaque de Novioduno narratio ante fragm. 2, Naissi obsidio probabiliter post fr. 3 in fragm. hist tom. 4 p. 72 collocandæ sunt.

Πόλεως Νοβιδούνου] π. οβιδουναι codex. Excerptor in titulo dederit ὀβιδούνου, quum in ipso fragmento legatur καταλαβὼν οβίδουνον, quod depravatum ex Νοβίδουνον. Similiter in secundo fragmento habes τὴν αἴσσον pro τὴν Ναϊσσόν. In Ptolemæo 2, 15, 4 p. 161, 13 Wilbg. codices præbent Νοουοίδουνον, Νοουίδουνον et Νοβίδουνον, eademque scripturæ varietas alibi obvia. Ceterum Noviodunum nostro loco non est Mœsiæ inferioris urbs (in eam scilicet regionem tum temporis Hunni nondum penetraverant), sed Pannoniæ superioris. Secundum Itinerar. p. 259 et Tabulam Peuting. situm oppidum erat ubi nunc est *Novigrad* ad *Kulpa* fluvium, ut recte statuerunt Reichardus, Mannertus, Kiepertus. Haud recte alii, ut Renner., Muchar., Menkius, Noviodunum cum hodierno *Gurkfeld* ad Savum fl. sito componunt. || — Οὐάλιψ] Vir aliunde non notus. Fuerit unus ex multarum gentium regibus qui sub Attila et Bleda Illyricum depopulabantur. || — Ῥούβους] Ruborum gentem nusquam inveni. Fortassis aliquis Arabonis (*Raab*) fluvii accolas intelligere voluerit. Ego legendum esse censeo Ῥούγους. *Rugi* vocantur ap Paul. Diacon. 1, 1, 69 et Jornandem in Getic. 50, 53, 54; Ῥόγοι ap. Procop. B. Goth. 2, 4. 3, 2; *Rugii* in Tacit. Germ. 43; Ῥουγίκλειοι (Ρουτίκλειοι codd.) ap. Ptolem. 2, 10, p. 151, 9 ed. Willg, Ῥόγιοι ap. Joann. Antioch. fr. 214. Olim ad oram oceani Germanici inter Viadrum et Vistulam consederunt. Hinc in Danubianas regiones, haud constat quo tempore, immigrarunt; memorantur enim inter Attilæ copias (Sidon. Apollin. Panegyr. in Avitum v. 319), et post mortem Attilæ (453) ad boreale Danubii litus in hodierna Austria et Ungaria regionem tenebant quæ vocabatur *Rugiland*. V. Mannert. tom. 3, p. 340. Postea ὁ Ζήνων πρὸς τὸν Ὀδόακρον τὸ τῶν Ῥογίων ἐπανέστησε γένος, ut refert Joannes Antioch. fr. 214. || — τοῦ ποταμοῦ] Ante ποταμοῦ excidisse videtur Κολάπεως vel fortasse Κολάπου, quamvis hanc nominis formam aliunde firmare nequeam. Hodiernus *Kulpa* fluvius apud Herodotum Κάρπις audit, apud sequioris ævi scriptores Κάλαπις, Κόλαπις, Κόλοψ. Vid. not. ad. Strabon. p. 261, 2 et in Indice, p. 984 ed. Didot. || — παραστησαμένης αὐτὸν] π. αὐτῶν codex. Possis etiam scribere αὐτήν. || τειχήρης γενόμενος] τειχρης (sic) γενομένης, appositis literis οι supra νης, quibus indicantur variæ lectiones : τειχήρους γενομένης et τειχήρεις γενόμενοι. Hinc sua habet Suidas : Τειχήρης, τετειχισμένος. « τειχήρης οὖν γενόμενος τοὺς πολιορκοῦντας ἀπὸ (ἐκ exc.) τῶν περιβόλων ἠμύνετο », ἀντὶ τοῦ εἴσω τειχῶν. Vulgo legitur : τειχήρεις· τετειχισμένους. « τειχήρεις οὖν γενομένους. Quod ego dedi, duo præbent codices Bernhardyi. || — τὸ Ῥωμαϊκὸν μάχεσθαι] malim e vulgari dicendi usu : πρὸς τὸ ῥωμ. μ. vel τῷ Ῥωμαϊκῷ μ. πλήθει, quamquam ferri potest vulgata. || — ὄντες] post v. φίλος inserui. || — ἡ πολιορκία] ἡ πολιορκίας codex.

II. ΕΚ ΤΩΝ ΠΡΙΣΚΟΥ. ΝΑΙΣΣΟΥ ΠΟΛΙΟΡΚΙΑ

Ἐπολιόρκουν οἱ Σκύθαι τὴν Ναϊσσόν. Πόλις δὲ αὕτη τῶν Ἰλλυριῶν ἐπὶ Δανούβᾳ κειμένη ποταμῷ. Κωνσταντῖνον αὐτῆς εἶναι οἰκιστήν φασιν, ὃς καὶ τὴν ὁμωνυμοῦσαν ἑαυτῷ πόλιν ἐπὶ τῷ Βυζαντίῳ ἐδείματο. Οἷα δὴ οὖν πολυάνθρωπόν τε πόλιν αἱρήσειν οἱ βάρβαροι μέλλοντες καὶ ἄλλως ἐρυμνήν, διὰ πάσης ἐχώρουν πείρας, τῶν δὲ ἀπὸ τοῦ ἄστεως οὐ θαρρούντων ἐπεξιέναι πρὸς μάχην, τὸν ποταμὸν, ὥστε ῥᾳδίαν εἶναι [τῷ] πλήθει τὴν διάβασιν, ἐγεφύρωσαν κατὰ τὸ μεσημβρινὸν μέρος, καθ' ὃ καὶ τὴν πόλιν παραρρεῖ, καὶ μηχανὰς τῷ περιβόλῳ προσῆγον, πρῶτον μὲν δοκοὺς ἐπὶ τροχῶν κειμένας διὰ τὸ πρόχειρον αὐτῶν εἶναι τὴν προσαγωγὴν, αἷς ἐφεστῶτες ἄνθρωποι ἐς τοὺς ἀπὸ τῶν ἐπάλξεων ἀμυνομένους ἐτόξευον, τῶν ἐξ ἑκατέρας κεραίας ἑστώτων ἀνδρῶν ὠθούντων τοῖς ποσὶ τοὺς τροχοὺς καὶ προσαγόντων ὅπῃ καὶ δέοι τὰς μηχανὰς, ὡς ἂν εἴη βάλλειν ἐπίσκοπα διὰ τῶν ἐν τοῖς ἐφεστρίσι πεποιημένων θυρίδων· ὥστε γὰρ τοῖς ἐπὶ τῆς δοκοῦ ἀνδράσιν ἀκίνδυνον εἶναι τὴν μάχην, λύγοις διαπλόκοις ἐκαλύπτοντο δέρρεις καὶ διφθέρας ἐχούσαις κώλυμα τῶν τε ἄλλων βελῶν καὶ ὅσα ἐπὶ σφᾶς πυρφόρα ἐκπέμποιτο. (2) Πολλῶν δὲ τῷ τρόπῳ τούτῳ ἐπιτειχισθέντων ὀργάνων τῇ πόλει, ὥστε διὰ τὸ πλῆθος βελῶν ἐνδοῦναι καὶ ὑποχωρῆσαι τοὺς ἐπὶ τῶν ἐπάλξεων, προσήγοντο καὶ οἱ καλούμενοι κριοί· μεγίστη δὲ ἄρα καὶ ἥδε ἡ μηχανή· δοκὸς ἐκ ξύλων πρὸς ἄλληλα νευόντων χαλαραῖς ἀπῃωρημένη ἁλύσεσιν, ἐπιδορατίδα καὶ προκαλύμματα ὃν εἴρηται τρόπον ἔχουσα ἀσφαλείας ἕνεκα τῶν ἐργαζομένων· καλωδίοις γὰρ ἐκ τῆς ὄπισθεν κεραίας εἷλκον βιαίως ἄνδρες αὐτὴν εἰς τὸ ἐναντίον τοῦ δεξομένου τὴν πληγὴν, καὶ μετὰ ταῦτα ἠφίεσαν, ὥστε τῇ ῥύμῃ πᾶν τὸ ἐμπῖπτον τοῦ τείχους ἀφανίζεσθαι μέρος (3). Οἱ δὲ ἀπὸ τῶν τειχῶν ἀμυνόμενοι ἁμαξιαίους λίθους πρὸς τοῦτο ἤδη παρεσκευασμένους, ἡνίκα τῷ περιβόλῳ προσαχθείη τὰ ὄργανα, ἐνέβαλλον. Καί τινα μὲν αὐτοῖς ἀνδράσι συνέτριψαν, πρὸς δὲ τὸ πλῆθος οὐκ ἀντήρκουν τῶν μηχανῶν· καὶ γὰρ δὴ προσῆγον καὶ κλίμακας, ὥστε πῇ μὲν ἐκ τῶν κριῶν λυθέντος τοῦ τείχους, πῇ δὲ τῶν ἐν ταῖς ἐπάλ-

II. E PRISCI HISTORIIS. NAISSI OBSIDIO.

Scythæ obsidione cingebant Naissum, quæ urbs est Illyriorum ad Danubium (*Naissum?*) posita. Condidisse eam fertur Constantinus, qui etiam cognominem ipsi urbem ad Bosporum in Byzantii loco ædificavit. Barbari igitur ut urbe tum incolis frequente tum egregie munita potirentur, nihil non tentarunt. Incolis vero ad pugnam exire non audentibus, fluvium qui a meridie urbem præterfluit, ponte junxerunt, ut facilis copiis esset transitus; deinde machinas ad mœnia adduxerunt, et primum quidem trabes, quæ ut facilius admoveri possent, rotis impositæ erant. His insistentes milites oppidanos a muris propugnantes sagittis petebant, dum nonnulli ab utraque antennæ parte stantes et rotas pedibus protrudentes, machinas eo admovebant quo necessarium erat ut scopum ferirent tela, quæ per fenestras tegumentorum emittebantur. Nimirum ut viri in trabe stantes absque periculo pugnarent, cratibus vimineis protegebantur, pelles et coria prætensa habentibus ad arcenda tela tum cetera tum ignifera. (2) Multis in hunc modum machinis urbe obvallata, postquam cives qui in propugnaculis erant, recedentes se subduxerant, arietes advecti sunt. Hæc quoque machina maxima est; trabs scilicet laxis catenis e postibus in se invicem inclinatis suspensa, ferream cuspidem habens et tegumenta qualia jam diximus ad securitatem operantium. Hanc funibus e cornu, quod in posteriore parte erat, nonnulli magna cum vi retrorsum trahebant in adversum ejus loci in quem ictus dirigendus erat; deinde dimittebant trabem, adeo ut impetu ejus concussa quævis muri pars destrueretur. (3) Qui vero a muris propugnabant, grandia saxa ad hoc præparata in admotas mœnibus machinas dejiciebant, et nonnullas quidem una cum viris pessumdabant, at magno earum numero impares erant. Ac quum præterea etiam scalas hostes afferrent, factum est ut, hic muro arie-

---

II. § 1. τὴν Ναϊσσόν] τὴν αἴσσον codex. Cf. not. ad fragm. 1. || — ἐπὶ Δανούβᾳ] Error excerptoris. Ipse Priscus fr. 7 Naissum quinque dierum itinere a Danubio abesse dicit. Fortasse auctor scripserat ἐπὶ τῷ Ναϊσσῷ ποταμῷ Cf. Νέσσου fluvii nomen. Nunc certe fluvius cui Naissus (hod. *Nich*) adjacet, urbi cognominis vocatur *Nichawa*. In superiore cursus parte *Lukanitza* dicitur. Hunc non diversum esse puto a Lygino, prope quem Alexander Magnus a Philippis contra Triballos proficiscens prœlium commisit, indeque tribus castris ad Danubium venit, testante Arriano Exp. 2, 2, 1. || — οἰκιστὴν] Constantinus non condidit, sed auxit urbem. Anonymus in Gestis Const.: *Constantinus in oppido Naiso natus et eductus, quod oppidum postea magnifice ornavit.* Stephanus Byz.: Ναϊσσός, κτίσμα καὶ πατρὶς Κωνσταντίνου. || — εἶναι τὴν πρ.] εἶναι ὡς τὴν cod. || — ἐφεστρίσι] Cf. Suidas Ἐφεστρίς, «ἐξ ὧν οἱ τοξόται ταῖς ἐφεστρίσι καλυπτόμενοι βάλλουσι τοὺς ἐπὶ τῶν τειχῶν.» ὕφασμα ἐξ αἰγαίων τριχῶν. «Ἀρτῶντες κύκλῳ ἐφεστρίδας καὶ νάκη, ὡς ἂν τὰ τοιαῦτα προβλήματα μὴ εὔφλεκτα εἴη. || — ὥστε γὰρ τοῖς] ὥστε γὰρ ἐν τοῖς cod. || — λύγοις] αὐτοῖς codex, quod ex λυγοις facile nasci potuit.

§ 2. ἐνδοῦναι] δοῦναι cod. || — καλωδίοις] καλοδ. cod. || — ῥύμῃ] τυμη codex. || — § 3. τοῦ περιβόλου] τὸ π. codex

ξεσι βιαζομένων ὑπὸ τοῦ πλήθους τῶν μηχανῶν, ἁλῶναι τὴν πόλιν, τῶν βαρβάρων ἐσφρησάντων κατὰ τὸ ῥαγὲν τοῦ περιβόλου μέρος ἐκ τῆς τοῦ κριοῦ πληγῆς, τοῦτο δὲ διὰ τῶν κλιμάκων, αἳ τῷ μήπω πεσόντι τοῦ τείχους προσῄνοντο.

tibus soluto, illic defensoribus a propugnaculis nimia machinarum copia repulsis, urbs a barbaris caperetur, qui per ruptam arietum impulsu muri partem nec non scalis muri parti adhuc integræ admotis in eam penetrarunt.

JOANNES ANTIOCHENUS.

ΧΡΟΝΙΚΑ.

[ΖΗΝΩΝ]

214. [an. 486 sqq. p. Chr.]

Excerpt. De insid. (Fragm. 214 § 7): Ὑπάτου δὲ τοῦ Λογγίνου κατὰ τὸν ἑξῆς ἀποδεδειγμένου χρόνον (an. 486), ὅ τε Θεοδώριχος πάλιν εἰς ἀπόστασιν εἶδε καὶ τὰ περὶ τὴν Θρᾴκην ἐλυμαίνετο χωρία, καὶ ὁ Ζήνων πρὸς τὸν Ὀδόακρον τὸ τῶν Ῥογίων ἐπανέστησε γένος, ὡς ἔγνω τοῦτον πρὸς τὴν Ἰλλοῦ συμμαχίαν παρασκευαζόμενον. Λαμπρὰν δὲ ἀναδησαμένων νίκην τῶν περὶ τὸν Ὀδόακρον, πρὸς δὲ καὶ πεμψάντων δῶρα τῷ Ζήνωνι τῶν λαφύρων, ἀποπροσποιησάμενος συνήδετο τοῖς πραχθεῖσιν. Οἱ δὲ τῇ Ἰλλοῦ καὶ Λεοντίου προσεδρεύοντες πολιορκίᾳ, μετὰ τὸ ἐπιτυχεῖν τοῦ ἀντιφρουρίου πολλοῖς μηχανήμασιν ἐχρῶντο. Ἀντικαθεζομένων δὲ τῶν στρατευμάτων, καὶ ἐς λόγους φιλίους ἀνῆλθον Ἰλλοῦς τε καὶ Ἰωάννης ὁ Σκύθης, καὶ γραμμάτιον πρὸς τὸν Ζήνωνα διεπέμψαντο, ὑπομιμνῆσκον αὐτὸν || τῆς προτέρας εὐνοίας· ὡς δ' οὐδὲν πλέον ἔδρα, αὖθις ἐν τοῖς ὅπλοις ἐγένοντο.

8. Τῷ δὲ ἑξῆς ἔτει (487, Bæbio solo cons.) Θεοδώριχος ἐπανελθὼν ἐκ Νοβῶν ἐστρατοπέδευσεν ἐν τῷ λεγομένῳ Ῥηγίῳ, καὶ κατέρχεται τὰ πλησίον. Ὁ δέ γε Ζήνων βουλόμενος αὐτῷ ὑποκλῖναι ἣν εἶχεν αὐτοῦ ἀδελφὴν τῇ βασιλίδι συνδιαιτωμένην ἀπέπεμπεν ἔτι πολεμοῦντι ἅμα πολλῷ πλούτῳ, ὁπότερον ἐθέλοι διδούς· ἐκ τοῦδε νοεῖν ἦν ὡς φιλοποιούμενος ἔτι.

9. Μετὰ δὲ τὴν Θεοδωρίχου τῆς πολιορκίας ἀπαλλαγὴν Ἄνθουσα ἡ τοῦ Ἰλλοῦ θυγάτηρ ἐν τῷ φρουρίῳ μετήλλαξεν, ἐξ οὗπερ μάλιστα ὁ Ἰλλοῦς κατωλιγόρει τῆς φυλακῆς τῶν ἔνδον, καὶ ὁ τῶν Περσῶν βασιλεὺς Περόζης ζ' (ξ?) βιοὺς χρόνους, μετὰ τὸν πατέρα Ἰσδιγέρδην βασιλεύσας ἐτελεύτησεν ἐν τῷ πρὸς τοὺς ὁμοροῦντας Οὔννους πολέμῳ. Ἑνὸς δὲ διαγενομένου χρόνου Καβάδης τῆς βασιλείας κρατεῖ, ἀλλὰ καὶ αὐτὸς ἐξ ἐπιβουλῆς τῶν ἐν τέλει τινων τῆς ἡγεμονίας ὠσθεὶς ἐν φρουρίῳ καθείρχθη, ἐκεῖθέν τε λάθρα δια-

Eclogæ περὶ ἐπιβουλῶν ex Chronicis Joannis Antiocheni depromtæ in codice Parisino, qui in fine mancus est, pertinent usque ad verba διεπέμψαντο ὑπομνῆσκον αὐτόν, in quæ desinit fragmentum 214 § 7 in Fragm. Histor. tom. 4 p. 621. His subjungenda sunt quæ nunc exhibemus e codice Escorialensi Ω, I, 11.

§ 8. De re cf. Marcellinus in Chron. ad an. 487, Bæbio solo consule: *Theodoricus, rex Gothorum, Zenonis Augusti nunquam beneficiis satiatus, magna suorum manu ad Regium civitatem* (sic. leg.; *regiam civ.* vulgo) *et Melantiadem* (*Melentiadam* vulgo) *oppidum infestus accessit, plurimisque locis igne crematis, ad Novensem Mœsiæ civitatem, unde advenerat, remeavit.* De Novis Mysiæ inferioris v. Itin. p. 221, Tab. Peuting., Priscus fr. 7, Ptolemæus 3, 10, p. 212, 17 ed. Wilberg, Jornandes Get. c. 18, Notit. Imp. p. 103 ed. Bœking, Hierocles p. 636, Procop. De ædif. 4 11, et amplior loci descriptio ap. Theophylact. 7, 2. Μελαντιὰς κώμη ad Athyram fl., ab urbe 140 stadia distabat sec. Agathiam 4, 14, p. 308, 4 ed. Bonn. Hinc sua Suidas s. v. Μελαντιάς, ubi pro β' καὶ ρ' legendum est μ' καὶ ρ'. Cum Agathia consentit fere Itin. p. 138, sec. quod ab urbe ad Melantiadem sunt 18 m. p. (144 stadia). In Tab. Peuting. ab urbe ad Regium XII. hinc ad *Melantianam* (sic) II (leg. VI) m. p. *Melantiada villam Cæsareanam* habes ap. Ammian. Marc. 31, 11, 1. Cf. Chron. Paschal. p. 717, 10 ed. Bonn: ἐπὶ τὰ μέρη τῆς Μελαντιάδος. Porta urbis, unde illuc via erat, Μελανδησία (sic) vocatur in Synaxariis ad XXV Oct. Eadem etiam *Rhegia* dicebatur. V. Du Cange Constant. Christ. p. 53. De Regio suburbano v. Agathias 5, 3, p. 283, 22, Procop. de ædif. 4, 8, p. 294 et p. 190 (ubi pro Ῥησίῳ legendum Ῥηγίῳ), Theophanes p. 196. || — αὐτῷ ὑποκλῖναι] αὐτὸν ὑ. codex. || — αὐτοῦ ἀδελφὴν] αὐτοῦ codex. De sorore aliqua Zenonis non constat. Nam Lucilla Zenonis soror, quæ Valberto, primo Hannoniæ in Belgio comiti, nupsisse dicitur apud Vinchantium in Annal. Hannoniæ c. 3, 13, fabula est, monente Cangio in Familiis August. Byzant. p. 82. Jam antea (an. 476) Zeno, ut Theodorichum sibi conciliaret, promiserat ei γάμον τῆς Ὀλυβρίου παιδὸς ἢ ἄλλης τῶν ἐνδόξων γυναικῶν ἐν τῇ πόλει, referente Malcho fr. 16 (tom. IV, p. 136). Fortassis etiam nostro loco auctor de puella quadam nobili in aula regia tunc versante dixit, adeo ut vox αὐτοῦ ex nomine proprio nata sit. Possis: τὴν Ἀετίου ἀδελφήν. Certe Aetium, quem Zeno Isauriæ præfectum creavit, novimus ex Joann. fr. 211, 4 p. 619. || — ἦν ὡς φιλοπ.] ἢ ὡς φιλ. codex. Fort. auctor scripsit ὁπότερον ἐθέλοι, διδοὺς ἐκ τοῦδε νοεῖν ὡς ᾗ φιλοποιούμενος ἔτι.

§ 9. ζ' βιοὺς χρόνους] Aut ante ζ' excidit alius numerus, aut pro ζ' leg. ξ'. || — An βασιλεύσας [ἔτη*] ἐπλ.? || — ὁμοροοῦνιας οὔνους codex. Agathias 4, 27 p. 266: ἀπόλωλε (Περόζης) κατὰ τῶν Νεφθαλιτῶν ἐπιστρατεύσας (Οὐννικὸν γένος οἱ Νεφθαλῖται). Cf. Procop. Bell. Pers. 1, 4 p. 19, Theophanes p. 188, Cedrenus p. 623, Assemann. Bibl. Orient. 3, 1, p. 425. || — ἑνὸς δὲ διαγενομένου χρόνου] διαγενομένης cod. Indicatur tempus quo Balas, frater Perozis, regnavit. Agathias 4, 27, p. 267: Βάλας δὲ ὁ τούτου ἀδελφὸς... βραχὺν ἐπεβίω χρόνον· τέτταρα γὰρ αὐτῷ μόνον ἔτη κατὰ τὴν βασιλείαν διέδραμεν· ἐπὶ τούτῳ δὲ Καβάδης ὁ Περόζου τῶν Περσικῶν πραγμάτων κρατήσας. Dissensus Joannis nescio an fluxerit ex confusione numerorum Α' et Δ'. || — ἐν φρουρίῳ] Agathias p. 268, 6: εἰς τὸ τῆς Λήθης ἐμβάλλουσι φρούριον. De quo castello pluribus exponit Procopius B. Pers. 1, 5, p. 26 sq. || — Καδισηνοὺς Οὔννους] Agath. p. 268, 16: ὑπέκβας

φυγὼν πρὸς τοὺς Καδισηνοὺς λεγομένους Οὔννους ἀφικνεῖται, καὶ δι' αὐτῶν αὖθις τὴν βασιλείαν κτησάμενος τοὺς ἐπιβουλεύσαντας ἀνεῖλεν.

10. Ἐπράχθη δὲ [an. 488] καὶ ἡ τοῦ φρουρίου Χέρρεως κατάληψις τρόπῳ τοιῷδε. Ἰνδακὸς ὁ Κοττούνης, πάλαι τὴν προδοσίαν μελετῶν, ἅμα δὲ καὶ τὴν φυλακὴν τοῦ ἐρύματος ἐπιτετραμμένος, πείθει τὸν Ἰλλοῦν ἔξω τοῦ φρουρίου τοὺς ἀμφ' αὐτὸν παρασκευάσαι, ὡς δὴ τῶν ἐναντίων διὰ τῆς νυκτὸς ἐπιόντων, αὐτὸν δὲ ἅμα Λεοντίῳ ἐν τῷ συνήθει κατευνασθῆναι κοιτῶνι. Ὁ δὲ νυκτὸς ἐπιλαβομένης διὰ τοῦ ἠρεμοῦντος μέρους καλώδιον καθεὶς τοὺς ἐναντίους ἀνάγει, καὶ πρῶτα μὲν οἱ τῶν πυλῶν φύλακες ἀποσφάττονται, ἔπειτα βοῆς ἀκουσθείσης, ὡς ἔθος ἐστὶ Ῥωμαίοις λέγειν « Ζήνων Αὔγουστε τούμβικας », παραχρῆμα μὲν Ἰνδακὸς καὶ οἱ σὺν αὐτῷ προδόντες ἀναιροῦνται, Ἰλλοῦς δὲ καὶ Λεόντιος εἰς τὸ τέμενος τοῦ μάρτυρος Κόνωνος καταφεύγουσι, καὶ τοῦ Λεοντίου βουληθέντος ἀνελεῖν ἑαυτὸν, ἐπέσχεν Ἰλλοῦς· ὡς δὲ εἰς αὐτοὺς ἦλθον οἱ ἐναντίοι πρὸς βίας ἐκβάλλονται καὶ ξυλοπέδαις δεθέντες ὑπὸ τῶν στρατιωτῶν ἄγονται. Καὶ ὁ μὲν Ἰλλοῦς πολλὰ καὶ εἰπὼν καὶ ὀδυράμενος ᾔτησε τοὺς περὶ Παῦλον καὶ Ἰλλοῦν, τοὺς δούλους αὐτοῦ γενομένους, τὸ μὲν τῆς θυγατρὸς σῶμα ἐν Ταρσῷ ταφῇ δοῦναι, τὴν δὲ γαμετὴν ἀνύβριστον φυλάξαι καὶ τὸν οὕτως εὔνουν γενόμενον Κόνωνα (τὸν ἄνδρα) φειδοῦς τυχεῖν. (11) Οἱ δὲ σπουδαίως ταῦτα ἐπετέλεσαν, καὶ τὸ μὲν σῶμα σὺν τῇ Ἰλλοῦ γαμετῇ καὶ τῇ παιδὶ Θέκλῃ εἰς τὸ εὐκτήριον τῶν γ' παίδων ἐν Ταρσῷ ἀπέσωσαν, αὐτοὺς δὲ μικρὸν ἔξω τοῦ φρουρίου λαβόντες καὶ πολλὰ πρὸς τὸ θεῖον σὺν δάκρυσιν ἀπειπόντας καὶ τὰς χεῖρας εἰς τὸν οὐρανὸν ἀνατείναντας τῶν κεφαλῶν ἀπέτεμον. Ἀστραπαὶ δὲ καὶ βρονταὶ σὺν χαλάζῃ καὶ ἀνέμῳ κατὰ τῶν παρόντων ἠνέχθησαν, καὶ ὁ ἀνελὼν αὐτοὺς ἐξέστη καὶ ἄναυδος ἐν Ταρσῷ ἐκομίσθη. Ζήνων δὲ τὰς κεφαλὰς τούτων δεξάμενος ἀντικρὺ τῆς πόλεως ἀνεσκολόπισε καὶ Κόνωνα θαυμάσας θεραπείας ἀξιοῦσθαι προσέταξεν· ἀλλ' ὁ μὲν ἔφθη τὸν θάνατον Ἰλλοῦ τε καὶ Λεοντίου μαθεῖν καὶ σπαράξας ἑαυτὸν ἀπεβίου. (12) Ὁ δὲ βασιλεὺς δεινῶς ἅπασι τοῖς ἁλοῦσιν ἐπεξῄει, τοὺς μὲν ἀναιρῶν χύδην, τοὺς δὲ τῶν οὐσιῶν ἀλλοτριῶν, τὸ δὲ Βηρίνης σῶμα ἐς τὴν Κωνσταντίνου βασιλικῶς ἐκήδευσε καὶ πρὸς τῷ τοῦ ἀνδρὸς καταθέμενος μνήματι Αὐγούσταν ὀνομάζεσθαι διεκελεύσατο, πλεῖστόν τε τῶν ἐν Ἰσαυρίᾳ φρουρίων κατέλυσεν. Καὶ οἱ τῆς Ἰλλοῦ κεκοινωνηκότες προδοσίας οἰκτίστοις διώλοντο θανάτοις, Κοττούνης τε ὁ δειλαῖος καὶ Κόνων ὁ ἀγροιώτης καὶ Λογγῖνος ὁ τοῦ Λογγίνου παῖς καὶ ὁ Τροκούνδου ὑπασπιστὴς Ἀρτεμίδωρος.

τοῦ δεσμωτηρίου ᾤχετο πρὸς τοὺς Νεφθαλίτας. Procop. l. l. 1, 7, p. 32 : Καβάδης δὲ λαθὼν ἅπαντας ξὺν τῷ Σεόσῃ ἐς Οὔννους τοὺς Ἐφθαλίτας ἀφίκετο. Cf. Cedrenus p. 624, Theophanes p. 191,. Theophylactus 4, 6. Hunni Epthalitæ, qui albi vocantur, sec. Procop. l. l. p. 16, προσοικοῦσι Πέρσαις πρὸς βορρᾶν, οὗ δὴ πόλις Γοργὼ ὄνομα πρὸς αὐταῖς που τῶν Περσῶν ἐσχατιαῖς ἐστιν. Cf. id. p. 20, 17. Gorgo ultima Persarum urbs, ni fallor, est *Gurkan* sive *Djordjan* ad fluvium cognominem in Hyrcania sita. Cadisenos Procopius l. l. p. 71, 19, tanquam socios Pityazæ Persarum ducis in prœlio contra Belisarium commisso commemorat. Fieri potest ut a Cadisenorum regione non diversa sit ἡ Καδουσαίων χώρα Persis vicina, cujus mentio est apud Agathiam 2, 27, p. 123, 17. Cadiseni aut pars Ephthalitarum aut vicini eorum fuerint. In regione ubi Ephthalitæ consedisse videntur, tractus montanus extenditur qui in Tab. Peuting. *Catacas mons* (hodie *Atak*) vocatur. Ejus nomen num forte cum Cadisenis componendum sit, porro num Cadiseni iidem sint cum Cadusiis, qui Eratosthenis tempore ad meridionalem maris Caspii oram degebant, necne, in medio relinquo.

§ 10. Marcellinus Com. Chronic. ad an. 488, Dinamio et Sifidio coss. : *Leontius interea rex et Illys* (sic) *tyranni in Papyrio Isauriæ castello capti decollatique sunt. Capita eorum Constantinopolim allata præfixa hastilibus contabuere. Eodem anno Theodoricus rex, omnium suorum multitudine assumta Gothorum, in Italiam tendit.* || — Χέρρεως] Χέρρις codex. In fragm. 214 § 5 hoc Isauriæ castellum vocatur τὸ Χέρρεως φρούριον et deinde τὸ Χερρισφρούριον (sic cod.). Apud Suidam legitur Χέρρεως, φρούριόν τι. Idem s. v. Ἰνδακός (v. not. ad fr. 206, p. 617) habet : τοῦ ἐρύματος Χέρεως. Pro Cherreos castello *Papirium cast.* ponunt Marcellinus l. l. et Malala p. 389, 4, ubi corrupte legitur εἰς τὸ Παπῦριν κατέλλιον, at Παπύριον καστ. h. l. præbent Eclogæ de insidiis. Dicendum vero erat τὸ Παπυρίου Καστ., uti habent Euagrius 3, 27 ex Eustathio Epiphaniense (Fr. Hist. tom. 4, p. 140), Joannes Antiochen. fr. 214, b, et Theophanes p. 196 (nisi quod ibi Παπουρίου). Videlicet nomen castellum habebat a Papirio patre Indaci, ut testatur Joannes Ant. fr. 206, ubi : ἔστελλε τοὺς τὸν Ἰνδακὸν ἀποστήσοντας ἀπὸ τοῦ λεγομένου Παπιρίου λόφου· τοῦτον γὰρ πρῶτος Νέων ἐφώλευε, μεθ' ὃν Παπίριος καὶ ὁ τούτου παῖς Ἰνδακός. Papirii castellum Anastasii jussu eversum esse narrat Joannes fr. 214, b. Quodsi non diversum est a Cherreos castello, ut videtur, mirum est Joannem utrumque nomen adhibuisse promiscue. Situm fuerit prope Seleuciam Isauriæ; nam Seleuciæ occisos esse Illum et Leontium tradit Malalas l. l. Fortasse ad Cherreos castellum referendæ sunt ruinæ *Chour Euren* dictæ, quæ a Seleucia haud longe absunt versus meridiem. In eadem regione erat Diocæsarea. Itaque si Theophanes p. 196 Marcianum rebellem in Papirium castellum, Eustathius Epiphan. vero (fr. 4) ex eoque Joannes fr. 211 § 4 in Cæsaream Cappadociæ urbem relegatum esse referunt, proclivis conjectura est Cappadociæ urbem confundi cum Diocæsarea Isauriæ. Apud Suidam l. l. Indacus, viator pernicissimus, unius diei spatio a Cherreos castello Antiochiam (Isauriæ sc., ad Cragum montem, de quo vide Theophan. p. 119), et alio die ab eodem castello ad Neapolim Isauriæ iter perfecisse dicitur. Utraque urbs totidem fere stadia a Seleucia distat. || — Ἰνδακὸς] Ἰνδανκὸς h. l. codex. || — ὁ Κοττούνης] Cf. § 6 ubi : Ἰνδακῷ Κοττούνῃ. Cottunes infra inter Illi socios memoratur, idemque nomen in Excerpt. Malalæ reponendum, ubi codex inter Illi socios habet Κοττούλην τὸν ἀπ' ἐπάρχων. Nostro loco suspicor legendum esse ὁ Κοττούνου sc. ὑπασπιστής. || — αὐτὸν δὲ] αὐτός τε cod. || — τούμβικας] Præstaret τοῦ βίνκας, *tu vincas.* Sed eodem modo τούμβικας habes in Exc. Escor. Malalæ ad ann. 2 Justiniani, ubi plebs clamasse dicitur : Ὕπατιε αὔγουστε τού-

214 a. (Ex narratione de bello Italico, an. 489-493).

Ὅτι Θεοδώριχος καὶ Ὀδόαχρος συνθήκας καὶ συμβάσεις ἐποιήσαντο πρὸς ἀλλήλους (an. 493 mens. Martii) ἄμφω ἡγεῖσθαι τῆς Ῥωμαίων ἀρχῆς, καὶ λοιπὸν ἦσαν αὐτοῖς ἐντεύξεις παρ' ἀλλήλους φοιτῶσι συχναί. Οὔπω δὲ ἠνύετο ἡμέρα δεκάτη καί, τοῦ Ὀδοάχρου γενομένου παρὰ τὸν Θεοδώριχον, προσελθόντες τῶν αὐτοῦ ἄνδρες δύο τὰς τοῦ Ὀδοάχρου, ἅτε ἱκέται γενόμενοι, κατέχουσι χεῖρας, μεθ' ὃ τῶν προλοχισθέντων ἐν τοῖς παρ' ἑκάτερα οἰκίσκοις ἐπελθόντων ἅμα τοῖς ξίφεσιν, ἐκ δὲ τῆς θέας καταπλαγέντων καὶ οὐκ ἐπιτιθεμένων τῷ Ὀδοάχρῳ, Θεοδώριχος προσδραμὼν παίει τῷ ξίφει αὐτὸν κατὰ τὴν κλεῖδα, εἰπόντα δέ « Ποῦ ὁ θεός; » ἀμείβεται· « Τοῦτό ἐστιν ὃ καὶ σὺ τοὺς ἐμοὺς ἔδρασας. » Τῆς δὲ πληγῆς καιρίας καὶ μέχρι τῆς ὀσφύος διελθούσης τὸ Ὀδοάχρου σῶμα, εἰπεῖν φασι Θεοδώριχον, ὡς τάχα οὐδὲ ὀστοῦν ἦν τῷ κακῷ τούτῳ. Καὶ τὸν μὲν πέμψας ἔξω θάπτει εἰς τὰς συνόδους τῶν Ἑβραίων ἐν λιθίνῃ λάρνακι ἔτη βεβιωκότα ξ', ἄρξαντα δὲ ιδ', τὸν δὲ ἀδελφὸν τούτου ἐν τῷ τεμένει φυγόντα κατετόξευσε, συνέχων δὲ καὶ τὴν Ὀδοάχρου γαμετὴν Σουνιγίλδαν καὶ Ὀχλὰν τὸν παῖδα, ὃν Ὀδόαχρος Καίσαρα ἀπέδειξεν, τοῦτον μὲν ἐκπέμπει εἰς Γαλλίαν, ἐκεῖθεν δὲ ἀποδράντα κατὰ τὴν Ἰταλίαν διαφθείρει, τὴν δὲ ὑπὸ λιμοῦ φρουρουμένην ἐξήγαγε τοῦ βίου.

[ΑΝΑΣΤΑΣΙΟΣ. 491-518]

214 b.

Ὅτι Ἀναστάσιος ὁ βασιλεὺς λύει τῶν δημεύσεως φόβων, ἀπαγορεύει δὲ τοῖς συκοφάνταις τὴν ἄδειαν καὶ τὸ τῆς καλουμένης δηλατορίας πάθος τιμωρεῖται καὶ τοὺς ἐκ τῶν εἰσφορῶν ὀφειλέτας ἐλευθεροῖ τῶν ἔμπροσθεν χρόνων. (2) Ὡς δὲ κατὰ τὰς θέας ἀτακτοῦσιν, ὁ τῆς πόλεως ἔπαρχος διὰ προγράμματος τὰς ἔνδον διατριβὰς ἀπηγόρευσεν, ὑπονοίᾳ τὸ λοιπὸν ἐκδόντες ἑαυτοὺς οἱ τοῖς πλημμελήμασιν ἐνεχόμενοι ἅπαντα διετάραττον. Καὶ δὴ τοῦ βασιλέως τὴν ἱπποδρομίαν θεωμένου, πολὺς ἐντεῦθεν διηγείρετο θόρυβος, ὡς καὶ αὐτοῦ τοῦ τῆς βουλῆς ἡγουμένου καταβοᾶν· Ἰουλιανὸς δὲ ἦν ὁ Ἀλεξανδρεὺς τῶν ἐκ παιδείας καὶ λόγων εἰσηγητής. Ἐν ὀργῇ τοίνυν τοῦ βασιλέως ποιησαμένου τοὺς τὰ τοιαῦτα τολμῶντας καὶ διὰ πλήθους στρατιωτικοῦ ἀνείργειν αὐτοὺς ἐπιχειρήσαντος εἰκότως, εἰς ἀπεγνωσμένην ἐτράπησαν πρᾶξιν, πῦρ ἐνιέντες τῷ τὰς θύρας τῆς ἱπποδρομίας ἔχοντι τόπῳ, ἐξ οὗπερ καὶ αἱ προσπαρακείμεναι στοαὶ διεφθείραντο ῥᾳδίως, ἐκεῖθέν τε τὰς στήλας τῶν βασιλέων ἐκ χαλκοῦ πεποιημένας τῶν ἱδρυμάτων ὠθήσαντες πᾶν εἶδος ὕβρεως εἰς αὐτὰς ἐπετέλουν, ὡς καὶ αὐτοὺς ἐκείνους αἰκιζόμενοι, καίτοι πολλῶν μὲν ἀναιρουμένων, πολλῶν δὲ καὶ ἡμιθνήτων γενομένων. Ὁ βασιλεὺς τοίνυν ὁρῶν τὴν κατὰ τῶν ὑπηκόων αὐτοῦ νίκην οὐ πρέπουσαν εἶναι, ἀναπαύει μὲν τῆς ἀρχῆς

μβικας. In Theophane p. 384, 11, ita legitur : Ἀναστασία αὐγοῦστα, τοῦ βίκας. || — καὶ Ἰλλοῦν] Hoc num recte habeat, quæritur. Ceterum de postremis fatis Illi et Leontii v. quos laudat Tillemont tom. VI, p. 646 sqq.

§ 12. ἐπεξῄει] ἐπεξίει cod. || — ἀγροιώτης] ἀγρεώτης cod. Deinde verba Λογγῖνος ὁ τοῦ e margine assumta. De Artemidoro cf. fr. 214, 5.

Fr. 214, a. Marcellin. Chron. ad an. 489 : *Idem Theodoricus rex Gothorum optatam occupavit Italiam. Odoacer itidem rex Gothorum metu Theodorici Ravennam ingressus est* [die V Martii an. 493]; *porro ab eodem Theodorico perjuriis illectus interfectusque est.* Similiter Joannes sub an. 489 totum illud bellum quod in Italia Theodoricus gessit (489-493), narrasse videtur. || — ἄμφω ἡγεῖσθαι τῆς Ῥωμαίων ἀρχῆς] Procop. B. Goth. 1, 1, p. 9, 21 : ὑπὸ διαλλακτῇ τῷ Ῥαβέννης ἱερεῖ (Joanne) ἐς λόγους ἀλλήλοις συνίασιν, ἐφ' ᾧ Θευδέριχός τε καὶ Ὀδόαχρος ἐν Ῥαβέννῃ ἐπὶ τῇ ἴσῃ καὶ ὁμοίᾳ διαίτῃ ἕξουσι. Μετὰ δὲ Θευδέριχος Ὀδόαχρον λαβών, ὥς φασιν, ἐπιβουλῇ ἐς αὐτὸν χρώμενον, τρόπῳ τε δολερῷ ἐπὶ θοίνην καλέσας ἔκτεινε, καὶ ἀπ' αὐτοῦ βαρβάρων τῶν πολεμίων προσποιησάμενος ὅσους παρεῖναι ξυνέπεσεν, αὐτὸς ἔσχε τὸ Γότθων τε καὶ Ἰταλιωτῶν κράτος. In his verba ἐπὶ τῇ ἴσῃ καὶ ὁμοίᾳ διαίτῃ idem significant quod Joannes dixit verbis ἄμφω ἡγεῖσθαι τῆς Ῥωμαίων ἀρχῆς, eoque sensu Procopii locum recte accepit Sigonius. Apud Anonymum Valesii Odoacro promittitur *accepta fide, securum se esse de sanguine.* In Historia miscellan. Anonym. Ricob. : *Odoacer in fidem receptus est.* Apud Jornandem De Get. reb. gest. c. 57 : *Odoacer missa legatione veniam supplicat. Cui et primum concedens Theodericus, postmodum hac luce privavit.* Vid. Fr. Hurter *Geschichte des ostgoth. Kœnigs Theoderich, I*, p. 162 sqq. (Schaffhausen 1807). || — κλεῖδα] κλεῖν margo. || — Ὀχλὰν] *Thelan* vocatur ap. Isidor. Hisp. Chron. an. 549. Aut OK natum ex ΘΕ, aut ΘΕ ex OK. || — διαφθείρει] διαφθείρεται cod.

Fr. 214, b. § 1. δηλατορίας πάθος] Delatores urbe pulsos esse refert etiam Cedrenus, p. 377, C. De Anastasio bene remp. administrante cf. Zonaras, p. 45, C, Procop. B. Pers. 1, 10 : δρᾶν γὰρ ἀνεπισκέπτως οὐδὲν ἠπίστατο οὔτε εἰώθει. Theodor. Lect. p. 566, D : Ἀναστάσιος ἀνέστειλε τὸ χρυσάργυρον καὶ τὰ κυνήγια ἔπαυσεν, καὶ τὰς ἀρχάς, ὠνίους οὔσας, προῖκα παρεῖχεν. De sublato chrysargyro (an. 501) etiam Euagrius 3, 39, Malala, p. 398, Theophanes, alii multi. Quomodo postea mores imperatoris in pejus abierint, narrat Joannes fr. 215 (Exc. de virt.) p. 621. Cf. Tillemont *Hist. des emper.* 6, p. 538.

§ 2. Marcellin. Chron. an. 491, Olybrio solo consule : *Anastasius ex silentiario imperator creatus est. Bellum plebejum inter Byzantinos ortum, parsque urbis plurima atque circi igne combusta.* De hujus anni turbis in circo natis alibi nihil invenio. Similia vero acciderunt an. 493. Vide Marcellinus ad hunc an., Chron. Paschal. p. 607, Malala, p. 394, alii. || — ὠθήσαντες] ἀθήσαντες codex. || — καίτοι πολλῶν]. Oratio claudicat.

τὸν Ἰουλιανὸν, ὕπαρχον δὲ προχειρίζεται Σεκουνδῖνον τὸν τῆς ἑαυτοῦ ἀδελφῆς Καισαρίας ἄνδρα, καὶ τούτῳ ληξάσης τῆς τῶν στρατιωτῶν λύττης, οὐ χαλεπῶς καὶ τὰ πεπονθότα τῶν οἰκοδομημάτων ἀνεκτίσατο.

3. Κρίνων δὲ εἰκότως ἐκ τῆς τῶν ἐνδημούντων Ἰσαύρων ἐπιβουλῆς διεσκευάσθαι ταῦτα, ἀποχωρεῖν τούτους τῆς βασιλίδος ἐκέλευσεν, οὐδ' ἀξιωμάτων ἀφαιρούμενός τινα αὐτῶν, οὐδὲ χρημάτων, καὶ ταῦτα ἤδη ἀγγελθείσης τῆς κατὰ [τὴν] χώραν αὐτῶν ἀποστάσεως. Μελλόντων δὲ καὶ ἐν διατριβῇ ποιουμένων τὴν ἀναχώρησιν, συνεῖδεν αὐτοῖς ἀνάγκην ἐπιθεῖναι, ἐξ οὗπερ λαμπρότερον ἀπεδείχθησαν δυσμενεῖς τῷ κρατοῦντι πολιτεύματι. Ἐντεῦθεν λοιπὸν ὁ τοῦ Ζήνωνος ἀδελφὸς Λογγῖνος κατὰ τὴν Θηβαίων ἀφορίζεται χώραν καὶ αὐτοῦ ἀπεφθάρη λιμῷ μετὰ χρόνους η', ἥ τε οὖσα αὐτῷ γαμετὴ Οὐαλερία τοὔνομα σὺν τῇ παιδὶ Λογγίνᾳ, ἣ καὶ ὡμολόγητο Ζήνωνι τῷ Ἀνθεμίου καὶ Ἡραΐδος υἱῷ, καὶ Λαλὶς ἡ Ζήνωνος καὶ Λογγίνου μήτηρ τὸ ἐν Βρόχθοις οὕτω προσαγορευομένῳ προαστείῳ τῆς Βιθυνῶν κατέλαβον εὐκτήριον, ἐν ᾧπερ καὶ Ζήνων οὐχ ἥκιστα διεθέριζεν. Ἐπιβιώσασα δὲ χρόνον οὐ μέτριον καὶ τὰ πρὸς τὸ ζῆν ἐξ ἐράνου πορίζουσα ἄλλοσε ἄλλη μετήλλαξε τὸν βίον. Λογγῖνος δὲ ὁ μάγιστρος καὶ Ἀθηνόδωρος ἀνδρείᾳ τε αὐχῶν καὶ πλούτῳ σὺν ἑτέροις συχνοῖς ἐς τὴν Ἰσαύρων ἐξέπεσον χώραν. (4) Ἀποστέρξας δὲ ὁ βασιλεὺς ἐσάπαξ τὰ Ἰσαύρων, τήν τε τοῦ βασιλεύσαντος Ζήνωνος περιουσίαν προέγραψεν, ὥστε καὶ αὐτή γε ἡ βασίλειος ἐσθὴς ὤνιος προὔκειτο, καὶ τὸ Παπειρίου καλούμενον φρούριον πέμψας κατέστρεψεν· ἀναιρεῖ δὲ καὶ τὰς διδομένας αὐτοῖς παρὰ τοῦ Ζήνωνος σιτήσεις τεινούσας εἰς υ' καὶ χιλίας χρυσίου λίτρας ἐτησίως. (5) Ἀρτυσαμένων δὲ τὰ πρὸς ἀντίστασιν καὶ ἤδη κινηθέντων ἐκ τῆς σφετέρας ὑπὸ ἡγεμόσι Λιγγινίνῃ καὶ Ἀθηνοδώρῳ, συνόντων αὐτοῖς καὶ Κόνωνος Φουσκιανοῦ, τοῦ ἀπὸ ἐπισκόπων, καὶ Λογγίνου μαγίστρου καὶ Ἀθηνοδώρου τοῦ ἑτέρου, πλῆθός τε μαχίμων ἀμφὶ τὰς ρ' χιλιάδας ἐπαγομένων ἔκ τε Ἰσαύρων καὶ Ῥωμαίων, τῶν μὲν ἑκουσίως ἑλομένων τὴν συμμαχίαν, τῶν δὲ καὶ ἀνάγκῃ ἑπομένων, καὶ διαδραμόντων τὰς πόλεις, καὶ γενομένων ἐν Κοτιαείῳ τῷ ἄστει τῆς Φρυγίας, ὑπηντίασεν αὐτοῖς (καὶ) τὸ τοῦ βασιλέως στράτευμα ἀμφὶ τοὺς * δισχιλίους. Ἡγοῦντο δὲ αὐτῶν στρατηγοὶ β', Ἰωάννης ὁ Σκύθης καὶ Ἰωάννης ὁ

§ 3. μετὰ χρόνους η'] Pro η', quod manu secunda scriptum, prima manus dederat β'. Cf. Theophanes p. 211, 12 : τούτῳ τῷ ἔτει β' βασιλεύοντος Ἀναστασίου (an. 492)... ἐστασίασεν κατ' αὐτοῦ ὁ Λογγῖνος ὁ Ζήνωνος ἀδελφὸς, ὃν χειρωσάμενος ἐπ' Αἴγυπτον πέμπει ἐξόριστον ἐν Ἀλεξανδρείᾳ, καὶ ἐκέλευσε χειροτονηθῆναι αὐτὸν πρεσβύτερον· ἑπταετίαν δὲ ἐπιβιοὺς ἐν Ἀλεξανδρείᾳ ἐτελεύτησεν· ὑποψίαν δὲ ἔχων καὶ πρὸς Λογγῖνον τὸν μαγίστρον [τὸν ἀπὸ μαγίστρων, τὸν φαλακρὸν Malal. p. 393, 22] ὁ βασιλεὺς καὶ τοὺς ἐπιδημοῦντας Ἰσαύρους, παύει τὸν Λογγῖνον τοῦ μαγιστρίου. Idem ad annum sequentem, p. 212, 15 : τούτῳ τῷ ἔτει Ἀναστάσιος τοὺς ἐν Κωνσταντινουπόλει Ἰσαύρους διὰ πολλὰς ἀτοπίας ἐδίωξεν, οἳ ἐξελθόντες τυραννίδα ἐμελέτησαν. Cf. Theodor. Lect., p. 558, E. || — τὸ ἐν Βρόχθοις] τῷ ἐν Βροχθοῖς codex. De hoc loco in Asiatico Bospori litore sito Procopius De ædif. 1, 8, p. 197, 7 : ἱερὰ δύο τῷ ἀρχαγγέλῳ Μιχαὴλ ἀνειμένα καταντικρὺ ἀλλήλοιν ἑστῶτα τοῦ πορθμοῦ ἑκατέρωθι συνέβαινεν εἶναι, θάτερον μὲν ἐν χώρῳ καλουμένῳ Ἀνάπλῳ ἐν ἀριστερᾷ εἰσπλέοντι τὸν Εὔξεινον πόντον, τὸ δὲ δὴ ἕτερον ἐν τῇ ἀντιπέρας ἀκτῇ. Προόχθους μὲν ἐκάλουν οἱ παλαιοὶ ἄνθρωποι τὴν ἀκτὴν, νῦν δὲ Βρόχοι (ex Joanne corrigas Βρόχθοι). Cf. Geogr. Min. tom. 2, p. 90. || — ἐπιβιώσασα] ἐπιβιώσας cod. || — Ἀθηνόδωρος] Ἀνθ. codex h. l. et mox iterum. || — καὶ πλούτῳ] Theophanes, p. 213, 7 : Ἀθηνόδωρος ἁπλούστατος ἄνθρωπος, εἷς τῶν συγκλητικῶν, ubi nescio an ex Joanne corrigendum sit πλουσιώτατος.

§ 4. εἰς υ' καὶ χιλίας χρ. λίτρας] 5000 litras dicit Euagrius 3, 35 : Ἐντεῦθεν καὶ τὰ καλούμενα πρώην Ἰσαυρικὰ τοῖς βασιλικοῖς ἐσενέχθη θησαυροῖς· ἦν δ' ἄρα τοῦτο τὸ χρυσίον ἐς ἕκαστον ἔτος τοῖς βαρβάροις χορηγούμενον πεντακισχιλίας ἕλκον λίτρας.

§ 5. De bello Isaurico Marcellinus Chron. ad an. 492 : *Dum bellum paratur Isauricum, dumque Isauri imperium sibi vindicare nituntur, in Phrygia juxta Cotyaium civitatem undique confluunt, ibique Lilingis, segnis quidem pedes, sed eques in bello acerrimus, a Romanis primus in prælio trucidatur, omnesque simul Isauri fugæ dediti per montana asperaque loca Isauriam repetunt. Hoc bellum Isauricum per sex annos gestum est.* Idem ad an. 497 : *Bellum Isauricum hoc sexto anno sedatum. Athenodorus Isaurorum primus in Isauria captus decollatusque est. Caput ejus Tarsum civitatem allatum pro portis hastili fixum extabuit.* Cf. Theophanes p. 213 sqq., Theodor. Lect. p. 559, Euagrius 3, 35, Malala p. 393 sqq. ceterique Chronicorum scriptores, quibus omnibus uberior fuisse videtur Joannes.|| — Λιγγινίνῃ] Λογγινίνην τὸν χωλὸν vocat Malalas p. 393, 22, quod ad Λιγγινίνην nostrum revocandum est; ipse vero Joannes supra fr. 214 § 2, p. 620 habet Λίγγην τὸν νόθον αὐτοῦ (Illi) ἀδελφὸν, unde sua habet Suidas s. v. βίαιος, ubi Λίγγις scribitur. Νινίλιγγις ὁ τῆς Ἰσαυρίας ἡγεμὼν ἐπὶ Ζήνωνος καταστὰς, ἀνὴρ θρασύτατος, ap. Theophan. p. 213, 6 et 16. *Lilingis* ap. Marcellin. et Jordanem regg. c. 48. Ἴνδην corrupte legitur in Euagrio 3, 15. Formæ Νινι-λίγγης et Λιγγι-νίνης nomen compositum produnt ab aliis aliter efformatum. || — Κόνωνος] Cf. fr. 214 § 2 p. 620. || — Λογγίνου μαγίστρου] Hic apud Euagrium 3, 35 : ὁ ἕτερος Λογγῖνος τὸ πολὺ τῆς τυραννίδος συνέχων, ὁ ἐπίκλην Σελινουντιος. Scilicet præter hunc etiam alterum Longinum Zenonis fratrem bello interfuisse Euagrius tradit. || — Ἀθηνοδ. τοῦ ἑτέρου] Ἀθ. τὸν νεώτερον dicit Malalas p. 393, 22. || — ρ' χιλιάδας] ρν' χιλ. secundum Theophanem p. 212, 19 : Λογγῖνος... συλλαβὼν τούτους (Isauros e Constantinopoli profugos) τε καὶ ἄλλην δύναμιν βαρβάρων καὶ λῃστῶν ὡς πεντεκαίδεκα μυριάδας. || — ὑπηντίασεν] ὑπαντιάσαν cod. || — δισχιλίους] Major numerus requiritur. || — ἡγοῦντο] ἡγεῖτο cod. || — καὶ αὐτὸς] sicut Joannes Scytha. Cf. Theophanes, p. 213, 11 : ἡγουμένου ὄντος Ἰωάννου τοῦ Σκύθου τοῦ τὴν Ἴλλου καὶ Λεοντίου τυραννίδα καθελόντος, καὶ Ἰωάννου τοῦ ἐπίκλην κυρτοῦ, ἀμφοτέρων τοῦ Θρᾳκῴου στρατεύματος ἡγουμένων, καὶ Διογένους (Διογενιανοῦ Malal. p. 393, 16) (οὗτοι κόμητες σχολῶν ἐτύγχανον ὄντες) καὶ ἑτέρων ἐπαινετῶν ἀνδρῶν. Diogenem Joannes non recenset; de ceteris ducibus ab Joanne memoratis silent reliqui scriptores. || — Σηλυβρίας] Σελ. cod. || — Βεδεριανῆς] vel fort. Βεδεριανοῦ. Codex habet Βεδεριανος absque accentu. Castelli hujus mentionem facit Procopius De ædif. 4, 1,

κυρτὸς καὶ αὐτὸς ἐκ Σηλυβρίας ὁρμώμενος, ὑποστράτηγοι δὲ Ἰουστῖνος ἐκ Βεδεριανῆς φρουρίου πλησιάζοντος Ναϊσσῷ τῇ Ἰλλυρίδι καὶ Ἀψικὰλ βάρβαρος γένους τῶν καλουμένων Γότθων, ἔτι τε Σιγίζαν καὶ Ζόλβων Οὔννων ἄγοντες πλῆθος. Ἐπειδὴ δὲ πλησίον ἀλλήλων ἦλθον συρράξαντες περὶ δείλην ἑσπέραν, πολλοὺς τῶν ἐναντίων διέφθειραν οἱ Ῥωμαῖοι καὶ αὐτὸν ἀνελόντες τὸν ἡγεμόνα τῶν Ἰσαύρων Λιγγινίνην, ὡς τοὺς περιλειφθέντας δρομαίως διαφυγεῖν ἐς τὰ σφέτερα. Ὁ δὲ τοῦ βασιλέως στρατὸς ἐπιδιώξας ἕως καὶ τῆς τοῦ Ταύρου ὑπερβολῆς διέμεινεν τὴν τοῦ χειμῶνος ὥραν.

214 c.

Ὅτι ἐπὶ Ἀναστασίου ὁ τὴν ὕπαρχον ἀνύων τῆς πόλεως Ἡλίας τοὔνομα, τὴν τῶν καλουμένων Βρυτῶν ἑορτὴν ἐπιτελῶν, ὡς οὔπω πρότερον γέγονεν, ὑπό τινος βασκανίας αἴτιος πολλῶν ἐγένετο φόνων· τῶν γὰρ ἀθροισθέντων ἐς δείλην τοῦ δήμου ἅμα ξίφεσι κατ' ἀλλήλων ὡρμηκότων, πολὺς ἦν τῶν ὀλλυμένων ὁ τρόπος. Ὁμοίως καὶ Κωνστάντιος ὁ ἄρχων τῆς πόλεως τὴν αὐτὴν ἐπιτελεῖν τῶν Βρυτῶν πανήγυριν βουλευσάμενος ὀλίγου διώλεσε τὸν ἅπαντα δῆμον ποικίλοις διαφθαρέντα τρόποις, ὡς τὸν βασιλέα τοῦ λοιποῦ χηρῶσαι τῆς καλλίστης ὀρχήσεως τὰς πόλεις.

214 d. [an. 511.]

Ὅτι καθ' ὃν χρόνον ὁ τοῦ βασιλέως τοῦ Ἀναστασίου γαμβρὸς Σεκουνδῖνος τὴν ὕπατον ἀρχὴν παρειλήφει (an. 511), ἐκινήθη τὰ περὶ τὴν Παφλαγονίαν.

---

p. 266, 14 : Ἐν Δαρδάνοις... τοῦ φρουρίου ἄγχιστα, ὅπερ Βεδεριανὰ ἐπικαλεῖται, χωρίον Ταυρήσιον ὄνομα ἦν, ἔνθεν Ἰουστινιανὸς βασιλεὺς... ὥρμηται· τοῦτο μὲν οὖν τὸ χωρίον ἐν βραχεῖ τειχισάμενος κατὰ τὸ τετράγωνον σχῆμα, καὶ γωνίᾳ ἑκάστῃ πύργον ἐνθέμενος Τετραπυργίαν εἶναί τε καὶ καλεῖσθαι πεποίηκε. Παρ' αὐτὸ δὲ μάλιστα τὸ χωρίον πόλιν ἐπιφανεστάτην ἐδείματο, ἥνπερ Ἰουστινιανὴν ὠνόμασε πρίμαν... Ἔτι μέντοι καὶ Βεδεριανὰ τὸ φρούριον ἀνοικοδομησάμενος ὅλον πολλῷ ὀχυρώτερον κατεστήσατο ... Ἀλλὰ καὶ Σαρδικῆς καὶ Ναϊσσουπόλεως... τὰ τείχη ἄμαχα τοῖς πολεμίοις διεπράξατο εἶναι. Cf. Agathias 4, 21 p. 324, 9 : Πατρὶς δὲ ἦν αὐτῷ (Justiniano) πόλις Ἰλλυρικὴ Βεδερίανα (Βεδέρινα cod. Rhed.) μὲν ἐκ παλαιοῦ ὀνομαζομένη, ὕστερον δὲ πρώτη Ἰουστινιανή. De situ horum locorum nihil constabat. Justinianopolim primam non esse Achridam Bulgarorum, ut putari possit, pluribus demonstravit Wesselingius ad Hieroclem, p. 653. Urbem illam in hodierna *Kostendil* agnoscit Hammer (*Gesch. des osman. Reiches* tom. 2, p. 73), cum hod. *Pirichtina* componit Isambert (ad Procop. hist. arc. tom. 2, p. 616); Danvillius, Mannert, Maltebrun et nuper Hahn (*Reise von Belgrad nach Salonik. Wien,* 1868 p. 106) Scupos, Dardaniæ urbem et sequiore ævo metropolim, per tempus aliquod Justinianopolim dictos esse censent; quid quod in vicis *Taor* et *Bader*, prope *Uskub* sitis, prisca Bederianæ et Tauresii nomina superesse putat Hahn. At si nova urbs ex vetere illa nata foret (sicut mox Procopius Justinianopolim secundam ex amplificata Ulpiana ortam esse dicit), mireris rationem qua situm ejus auctor definiverit. Scuporum oppidum probabiliter est Σκούπιον Procopii, p. 282, 4. Nongenta circiter stadia distat a Naisso, cujus in vicinia Bederianam fuisse dicit Joannes. Fortasse igitur componenda cum hod. *Pirót* urbe ad Naissum (*Nichava*) fluvium sita et a Naisso urbe 300 fere stadia distante. Minus probabile est nomen hujus loci in *Medianam* abiisse apud Ammian. Marcellin. 26, 5, 1, ubi : *Naissi suburbanum quod appellatur Mediana, a civitate tertio lapide separatum.* Sed hoc utut sit, certum est errasse Mansonem (*Gesch. d. ost-goth. Reichs in Italien*, p. 315) et Clossium (ad Jordanis Get. 1866, p. 192), qui Medianam Marcellini memorari putant in Jordane De Get. gest. c. 66, ubi Theodomiro regi a Naisso, quam tenebat, contra Thessalonicen profecto Hilarianus, Thessalonices præfectus, avertendæ obsidionis causa, sponte tradidit *Cerra, Pellas, Europam, Medianam, Petinam (s. Retinam), Bereum et alia quæ Sium* (vel *Siuth*) *vocantur,* i. e. Cyrrhum vel Serras, Pellam, Europum, Mædicam regionem vel ejus oppidum, Crestonam, Bergam et alia loca quæ Sinthûm sive Sintorum vocantur. *Mediana* voce indicari Mædorum locum vel regionem probabiliter statuit Tafel, de Thessalon. p. 185. Mædicæ vero adjacebant Crestone et Sintica, cujus erat Berga oppidum; quare harum regionum nomina ap. Jordanem reponenda esse videntur, non vero *Pellina* (quæ in hac regione est nulla) et *Beræa* et *Dium* (quæ longe dissita sunt). || — καὶ Ἀψικὰλ etc.] Hos duces innuit Malalas p. 393, 16 verbis : καὶ ἄλλους μετὰ πλήθους Σκυθῶν καὶ Γοτθικῆς καὶ Βεσσικῆς χειρός. || — ἐπὶ τὰ σφέτερα] Cf. Theophanes p. 213, 17 : μικροῦ δὲ τὸ πλεῖστον Ἰσαυρικὸν ἀπολλύμενον μόλις ἐπὶ τὰ σφέτερα διεσώθη.

Fr. 214, c. τὴν ὕπαρχον] Fuerit τὴν ὑπάρχου ἀρχήν. || — Ἡλίας] Is qui fuerit nescio. An idem est Helias qui sub Justiniano comes largitionum fuit (Theophan. p. 286, 18)? || — βρυτῶν ἑορτήν] Hanc infra Joannes καλλίστην ὄρχησιν vocat. Mentio ejus apud Suidam exstat : Μαϊουμᾶς πανήγυρις ἤγετο ἐν τῇ Ῥώμῃ κατὰ τὸν Μάϊον μῆνα. Τὴν παράλιον λαμβάνοντες πόλιν, τὴν λεγομένην Ὀστίαν, οἱ τὰ πρῶτα τῆς Ῥώμης τελοῦντες ἡδυπαθεῖν ἠνείχοντο, ἐν τοῖς θαλαττίοις ὕδασι ἀλλήλους ἐμβάλλοντες· ὅθεν καὶ Μαιουμᾶς ὁ τῆς τοιαύτης ἑορτῆς καιρὸς ὠνομάζετο. Ἐτέλουν δὲ μέχρι Ἀναστασίου βασιλέως οἱ ἐν τῇ Κωνσταντινουπόλει πανήγυριν τῶν βρυτῶν· καὶ ταύτην Ἀναστάσιος ἔπαυσε. De Maiuma pluribus dixerunt W. Teufel in *Pauly's Realencycl.*, tom. 4, p. 1458, Stark in *Gaza u. die philist. Küste*, p. 598, Ritter *Geogr.*, tom. 16, p. 61. Festum hoc etiam Constantinopoli celebrabatur, quamvis a Constantio et Theodosio et Arcadio iterum iterumque ob nimiam licentiam prohibitum esset. Ejusdem generis fuerit ἡ τῶν βρυτῶν πανήγυρις, vernale, opinor, festum fontium scaturientium; nam βρυτὸς ὁ βρύων, sec. Arcadium, p. 79. Inter loca suburbana amœnitate sua clara erant αἱ Πηγαί ad portam auream et ex adverso urbis in litore Asiatico τὰ Βρύα (v. Du Cange Constant. Christ. 4, 172-176), quæ salvo vocis sensu etiam Βρυτά dicere licebat. In hoc igitur suburbano festum celebratum esse suspicor. Alia solennitas aliunde, quantum sciam, non nota infra in fr. 214, e § 16 memoratur ἡ τῆς Γάστρης πανήγυρις, quæ probabiliter ad locum urbis pertinebat qui Γάστρα vocabatur.

Fr. 214 d. τὰ περὶ τὴν Παφλαγονίαν] Anno Secundini consulis (511) de motu Paphlagonico nihil traditur. Fr. 214 e. Joannes dicit Hunnos Sabiros ἐκ τῆς προτέρας παροτρυνθέντας πείρας Ponticas provincias depopulatos esse (an. 515). Priorem istam Hunnorum invasionem nostro loco indicari putaverim.

214 e. [an. 514.]

Ὅτι συνεχύκα κατὰ τὸν αὐτὸν χρόνον (an. 514.) τὰ κατὰ τὴν Θρᾴκην Βιταλιανὸς, ἀνθρωπίσκος βραχὺς καὶ τραυλὸς τὴν φωνὴν καὶ τὰς ἄκρας τοῖν βλεφάροιν ὑποκεκαυμένος, υἱὸς ὢν Πατρικιόλου, πατρίδα ἐσχηκότος Ζάλδαβα τῆς κάτω Μυσίας πόλισμα βραχύ. Οὗτος ἐπειδὴ τὰ πολλὰ συνδιατρίβων τοῖς Οὔννοις ἑτοιμότερος πρὸς ἀπόνοιαν ἠγγέλθη τῷ βασιλεῖ (ἀφαιρεθεὶς γὰρ σιτήσεως δημοσίας τῶν καλουμένων φοιδερατικῶν ἀνθρώπων), εἰσηγεῖτο τοῖς τὰ περὶ Σκυθίαν καὶ Θρᾴκην πληροῦσι τάγματα, δυσχεραίνουσι μὲν καὶ ἐξ ἑαυτῶν ἐφ' οἷς ἔπασχον πρὸς τοῦ τὴν στρατηγίαν ἔχοντος Ὑπατίου, καὶ δὴ πείθει ῥᾳδίως τὸ πρῶτος ἄρξαι τῶν παρανομωτάτων καὶ ἐπέκεινα τόλμης· τοὺς γὰρ τῷ στρατηγῷ παρεδρεύοντας Κωνσταντῖνόν τινα ἐκ Λυδίας καὶ Κελεαρῖνον φονεύσας, ἔτι καὶ Μαξέντιον τὸν τοῦ καλουμένου Δουκὸς, τὴν Μυσῶν ἐπιτετραμμένον ἀρχὴν, διαφθείρει, καὶ [τὸν] τῷ στρατηγῷ σύμπνουν καὶ εἰς ἅπαντα κεχαρισμένον Καρῖνον συσχὼν, τῆς τοῦ μὴ ἀνελεῖν χάριτος κομίζεται δῶρον τὸ συμπρᾶξαί οἱ πρὸς τὴν τῆς Ὀδυσσοῦ καὶ τῆς στρατηγίας ἐξουσίαν, καταφημίσαντα ὡς εἴη αὐτῷ τὰ τῆς ἡγεμονίας ἐπιτετραμμένα, παραδοῦναι δὲ καὶ ὁπόσον ἦν παρ' αὐτῷ χρυσίον. Πείσας οὖν ἐκ τούτων ἅπαντας βλέπειν εἰς αὐτὸν, συναθροίσας ἀμφὶ τὰς ν' χιλιάδας πολεμικῶν τε καὶ ἀγροίκων ἀνδρῶν τῇ Κωνσταντίνου προσάγειν ἠγγέλλετο. (2) Ὁ δὲ βασιλεὺς, καὶ ἐξ ὧν ἐναγχος ἐπεπόνθει πρὸς δειλίαν κατενεχθεὶς καὶ τῷ παραδόξῳ τῶν περιστάντων αὐτῷ δυσχεραίνων, προσέτι δὲ καὶ τῷ ἀκούειν τοὺς ἐπιόντας τὴν ὁμοίαν τῆς θρησκείας προβάλλεσθαι μέμψιν, σταυροὺς μὲν ἐκ χαλκοῦ παγῆναι ὑπὲρ τὰς πύλας τῶν τειχῶν παρακελεύεται, γράμμασι τὴν αἰτίαν τοῦ συστάντος ἐπ' αὐτὸν θορύβου προκαθιστῶντας, τῆς δὲ ὑπὲρ τῶν ζώων εἰσφορᾶς τετάρτην περιελὼν μοῖραν τοῦ Βιθυνῶν τε καὶ Ἀσιανῶν ἔθνους, τὸν ταῦτα δηλοῦντα χάρτην τῇ κατὰ τὴν πρωτεύουσαν ἐκκλησίαν ἱερᾷ τραπέζῃ φέρων κατέθηκε, καὶ τῆς πόλεως φρουρὰν ἐποιεῖτο διὰ τῶν ἐν τοῖς τέλεσιν. (3) Ἤδη δὲ τοῦ Βιταλιανοῦ προσβαλόντος τοῖς τῆς πόλεως προαστείοις καὶ περὶ αὐτὰ τὰ τείχη ἐληλακότος, στέλλεται πρὸς αὐτὸν Πατρίκιος ὁ στρατηγὸς, ἅμα μὲν ὡς προσήκοντός οἱ διὰ τὴν ἀρχὴν τοῦ τοιοῦδε λόγου, ἅμα δὲ καὶ ὡς γέρᾳ προὔχων καὶ ἀξιώσεσι, καὶ αὐτῷ δὲ τῷ Βιταλιανῷ μέρος οὐ μικρὸν τῆς εὐπραγίας γενόμενος· ὃς, ἐπειδὴ παρ' αὐτὸν ἦλθε καὶ τῇ ἐκ τῆς εὐεργεσίας παρρησίᾳ καθήψατο, τὰ εἰκότα ἤκουεν ὡς οἷα πολλὰ προηνέχθη ἔκ τε τῶν τὴν βασιλείαν ἐσχηκότων, καὶ νῦν ἥκειν αὐτοὺς δεομένους ἐπανορθωθῆναι μὲν τῶν ἀδικημάτων τοῦ τῆς Θρᾳκῶν στρατηγοῦ, κυρωθῆναι δὲ καὶ τὴν ὀρθῶς ἔχουσαν τοῦ θείου δόξαν. (4) Τῇ δὲ ὑστεραίᾳ τῶν ἐν πρώτοις παρὰ τοῦ βασιλέως εἰσκληθέντων καὶ παραγενομένων Βιταλιανοῦ χωρὶς (τοῦτον γὰρ οὐδὲ εἴσω τῆς πόλεως γενέσθαι ἔπεισε), τὰ μὲν ἐπεγκαλέσας ὁ βασιλεὺς καὶ ὡς μηδὲν ὀλιγωρηθέντας διελέγξας, τὰ δὲ ἐκθεραπεύσας δώροις τε καὶ τῇ τῶν ὀφειλομένων ἐπαγγελίᾳ, ἄξειν τε ὑποσχόμενος τοὺς τῆς πρεσβυτέρας Ῥώμης τὰ περὶ τῆς δόξης τῶν ἱερῶν καταστήσοντας, ἀπέπεμψεν, ὅρκους ὑπὲρ τῆς ἐς τὸ λοιπὸν εὐνοίας αὐτῶν ἀποδεξάμενος. Οἱ δὲ τῷ Βιταλιανῷ συγγενόμενοι ἀναλαβόντες αὐτόν τε καὶ τὸ πλῆθος ᾤχοντο. (5) Ὁ δὲ βασιλεὺς Ἀναστάσιος τὴν τῶν ἐν Θρᾴκῃ στόλων στρατηγίαν Κυρίλλῳ παραδίδωσιν, οὐκ ἀσυνέτῳ, οὐδὲ πολεμικῆς ἐμπειρίας ἀμαθεῖ. Ἐλθὼν δὲ ὁ Κύριλλος κατὰ Μυσίαν καὶ ἐπι-

Fr. 214 e. Vitalianum bellum nemo Nostro exposuisse videtur uberius. Summam ejus ita dedit Marcellinus Chron. sub an. 514, Senatore solo consule : *Vitalianus Scytha assumtis Romanorum equitum peditumque plus quam LX millibus armatorum in triduo congregatorum, auxilio in locum qui Septimus dicitur, advenit ibique castra metatus est; dispositisque a mari in mare suorum ordinibus, ipse ad usque portam, quæ Aurea dicitur, sine ullius accessit dispendio; scilicet pro orthodoxorum se fide proque Macedonio urbis episcopo, incassum ab Anastasio principe exulato, Constantinopolim accessisse asserens. Porro Anastasii simulationibus atque perjuriis per Theodorum internuntium illectus atque illusus, octavo die quam urbem accesserat, remeavit. Hinc Odyssum Mœsiæ civitatem Vitalianus pernoctans astu ingressus est. Cyrillum, lenocinantem magis quam strenuum militiæ ductorem, inter duas pellices Vitalianus reperit dormientem, eumque abstractum mox cultro Getico jugulavit, hostemque se Anastasio Cæsari palam aperteque exhibuit.* — Idem ad an. 515, Anthemio consule : *Vitalianus eidem Anastasio imp. immanior factus est inimicus; præmissis quippe suorum equitibus armatisque naviculis sinistro sibi litore occurrentibus, ipse peditum armis stipatus Sosthenense prædium ingressus est, totiusque loci palatium habuit mansionem. Missi sunt ad Vitalianum a Cæsare senatores, qui pacis cum eo leges componerent. Nonaginta auri pondo, exceptis regalibus muneribus, pro pretio tunc accepit Hypatii, jam mille centum auri libris cum Uranio captivo sibi a suis in Sozopoli oblatis. Magister militum Vitalianus per Thraciam factus Hypatium, quem captivum catenatumque apud Acres castellum tenebat, reversus suo remisit avunculo.* || — Πατρικιόλου] κόμητος φοιδεράτων, ut Theophanes, p. 243, 3, dicit. Cf. Procop. B. Pers., p. 39, 19. || — Ζάλδαβα] Ζάλδαπα inter Thraciæ castella mediterranea memorat Procopius De ædif., p. 308, 22. || — ἀφαιρεθεὶς γὰρ σιτήσεως] dictum pro ἀφ. σίτησιν vel τὰ ἐπὶ τῆς σιτήσεως. || — τάγματα] τάματα codex. || — [τὸν] quod est ante τῷ στρατηγῷ, inserui. || — τῆς τοῦ] τὴν τοῦ cod.

§ 2. ἐξ ὧν] ἐξὼν cod. || — περιελὼν] περιελθὼν cod. || — Πατρίκιος] Πατρίκιον τὸν Φρύγα dicit Malalas p. 404, 1.

§ 3. τῶν ἀδικημάτων] Videtur legendum τὰ ἀδικήματα, aut ἐλευθερωθῆναι τῶν ἀδικημάτων.

§ 5. στόλων] στέλλων cod. || — ἐπεβουλεύθη] Fusius hæc narrat Malalas p. 401. || — διαφθαρεὶς ξίφει] Vitalianus cum ense Getico jugulasse narratur apud Marcellinum. Secundum Joannem § 18 Tarrach Hunnus τὸν τοῦ Κυρίλλου φόνον αὐτοχειρίᾳ ἔπραξεν. Aliam rerum seriem habes in Theophane, qui ad an. 512 de Vitaliano narrat : Φασὶ δὲ ὅτι ἐν μιᾷ συμβολῇ ξε' χιλιάδας (πλεῖον ἢ ξ' χιλιάδας Joan. § 9) στρατοῦ βασιλικοῦ ἐκρήμνισεν σὺν Ὑπατίῳ στρατηγοῦντι αὐτῶν,

βουλεῦσαι σπουδάζων τῷ Βιταλιανῷ αὐτὸς ἐπεβουλεύθη πρῶτος ἐν τοῖς στρατηγικοῖς οἴκοις διαφθαρεὶς ξίφει. (6) Ὁ δὲ βασιλεὺς ἀκούσας τὰ συμβάντα δόγματι τῆς συγκλήτου βουλῆς τῆς Ῥωμαϊκῆς πολιτείας ἀλλότριον τὸν Βιταλιανὸν ψηφίζεται, καὶ στρατιὰν μεγίστην ἀγείρας ἀμφὶ τὰς π' χιλιάδας αὐτοκράτορά τε τοῦ πολέμου ἀποδείξας Ὑπάτιον τὸν ἀδελφιδοῦν τὸν ἑαυτοῦ, Ἀλαθὰρ δὲ, γένος Σκυθικὸν, ἐπὶ τῇ τοῦ στρατηγοῦ τῶν Θρᾳκῶν προσηγορίᾳ ἕπεσθαί οἱ προστάξας, καὶ Θεόδωρον τὸν τῶν βασιλικῶν θησαυρῶν ταμίαν· οἳ συμμίξαντες αὐτῷ καὶ διαφόροις ἐλασθέντες τύχαις καί ποτε καὶ νίκην ἄραντες μετρίαν ἐγνώρισαν τῷ βασιλεύοντι, ὥστε αὐτὸν καὶ προελθεῖν ἐν τοῖς ἱεροῖς τόποις καὶ θέας ἐπιτελέσαι δημοτελεῖς. (7) Οὐ μακρὰν δὲ Ὑπάτιος πάλιν ἐπὶ τὸν τύραννον ὁρμήσας Ἰουλιανὸν ἀπέβαλε ζωγρηθέντα, τὸν ἐκ τοῦ λόγου τῶν λεγομένων μεμοριαλίων, τολμήσαντα ὅλως καὶ θεάσασθαι πόλεμον. Καὶ ὁ μὲν ἐν κλωβῷ βληθεὶς καὶ περιαχθεὶς ἀφέθη χρυσίῳ. Ἀναστήσας τοίνυν ὁ Ὑπάτιος ἐκ τῶνδε τὸν στρατὸν, ἄρτι τε καὶ Τιμοθέου, τινος τῶν ἐν τοῖς σωματοφύλαξι τεταγμένων τοῦ βασιλέως, ὑπὸ τῶν βαρβάρων ἀναιρεθέντος, ἐπὶ τῆς Ἀκρίδος στρατοπεδεύεται, τὸ ἐκ τῶν ἁμαξῶν χαράκωμα προβαλόμενος. (8) Τότε δὲ τῶν Οὔννων ἁπάντων συναθροισθέντων καὶ εἰς ἅμα ἐφορμησάντων, ἐπέσχε μέν τις εἰς βραχὺν χρόνον ἀντίπαλος τοξεία, ὡς δὲ οἱ βάρβαροι [τοὺς] τῶν ἁμαξῶν βόας ἔβαλλον, συσκευασθέντας ἤδη πρὸς μετάστασιν, διαλύεται μὲν ἡ τοῦ χαρακώματος σύνταξις, ἐπ' αὐτοὺς δὲ ἴασιν οἱ βάρβαροι τοὺς Ῥωμαίους, οὐδὲ ἀνταῖραι σφίσι τὰς χεῖρας τολμῶντας, ὑπὸ δὲ μιᾶς τῆς πρὸς τὸ ἀποδρᾶναι σπουδῆς πιεζομένων πρὸς ἀλλήλων καὶ ὑπό τινος μαγείας τῶν βαρβάρων ἐπιγενομένης ἀχλύος ἐπισκοτισάσης αὐτοῖς τὰς ὄψεις, οὐ προϊδόντες ἐν οἷς τὴν φυγὴν ἐποιοῦντο τόποις, ἐς κρημνοὺς καὶ φάραγγας καταφερόμενοι διεφθείροντο. (9) Ἀπώλοντο μὲν οὖν τῷδε τῷ τρόπῳ πλεῖον ἢ ξ' χιλιάδες, καὶ ταῖς ἀκρωρείαις τὸ τῆς φάραγγος προσισώθη βάθος ὑπὸ τοῦ πλήθους τῶν ἐμπεσόντων ἀνδρῶν τε καὶ ζώων ἀλόγων. Ἥλωσαν δὲ καὶ οἱ τῶν λοχαγῶν τὴν τάξιν πληροῦντες· αὐτὸς δὲ Ὑπάτιος ἐς τὴν θάλατταν καταδὺς καὶ οἷα τὰ πολλὰ τῶν ἐν τῇ ἁλὶ τρεφομένων ὀρνέων ἐκ μόνης ἀνεχούσης τῆς κεφαλῆς ἐπιγνωσθεὶς συνελήφθη. (10) Πληρῶν δὲ Βιταλιανὸς τοῖς Οὔννοις ὃν ὑπέσχετο πορισμὸν τῶν χρημάτων, ἀποδίδοσθαι αὐτοῖς τοὺς ἁλόντας ἐφῆκεν, καὶ τόν τε Ἀλαθὰρ ἀπελυτρώσατο, καὶ Εὐσίγνιον ἄλλους τε συχνούς. Τὸν δὲ Ὑπάτιον ὁ Βιταλιανὸς κομιδῆς ἠξίου τῆς δεούσης, ὡς ἐπὶ ὠνίῳ μεγάλῳ τὸν ὑπὲρ αὐτοῦ τιθέμενος λόγον· καὶ τὸ λοιπὸν συνεσκεύαστο μὲν ἅπαντα τὰ ἐν Σκύθαις καὶ Μυσοῖς, φρούριά τε καὶ πόλεις, πάντες [τε] αὐτὸν ἐδεδίεσαν, καὶ βασιλέα προσεδόκων. (11) Ὁ δὲ βασιλεὺς προνοούμενος τοῦ συμβάντος στέλλει τινα Οὐράνιον τὴν τοῦ καλουμένου καγκελλαρίου τάξιν πληροῦντα τῷ τῶν ὀφφικίων μαγίστρῳ, ἅμα Πολυχρονίῳ τε καὶ Μαρτυρίῳ τοῖς τὰς τῶν Οὔννων πρεσβείας ἐπιτετραμμένοις, σὺν αὐτοῖς δὲ καὶ δέκα χρυσίου λιτρῶν ἑκατοντάδας· οὓς δὴ κατὰ τὴν Σωζόπολιν ὁ τύραννος λοχίσας, αὐτήν τε τὴν πόλιν ἐξεῖλε μηχανήματι δολίῳ, καὶ τὸ χρυσίον ἀφαιρεῖται πρὸς βίας. (12) Ἐν δὲ τῇ Κωνσταντίνου κατὰ τὴν τῆς ἱππικῆς θέαν τοῦ δήμου πρὸς στάσιν διαναστάντος, τήν τε τῆς δείλης πανήγυριν ὁ βασιλεὺς ἠρνήσατο, καὶ φόνος οὐκ ὀλίγος ἐγέγονεν, αὐτοῦ (τε) τοῦ τῆς πόλεως νυκτεπάρχου τοῦ καλουμένου Γέτα ἀναιρεθέντος κατὰ τὴν μάχην. (13) Ἤδη δὲ μικροῦ διαδραμόντος χρόνου Βιταλιανὸς αὖθις ἄρας νεῶν ὡς σ' στόλον καὶ στρατὸν πεζικόν τε καὶ ἱππικὸν πολὺν, παραπορευθεὶς τὸν Εὔξεινον Πόντον ἀθρόως ἐπιὼν

υἱῷ δὲ ἐξ ἀδελφῆς Ἀναστασίου καὶ Σεκουνδίνου πατρικίου, ὃν καὶ πιάσας ζῶντα εἶχεν ἐν φρουρᾷ. Deinde ad an. 513 : Τούτῳ τῷ ἔτει Βιταλιανὸς παραλαβὼν πᾶσαν τὴν Θρᾴκην καὶ Σκυθίαν καὶ Μυσίαν, ἔχων μεθ' ἑαυτοῦ πλήθη Οὔννων καὶ Βουλγάρων, παρέλαβεν τὴν Ἀγχίαλον καὶ τὴν Ὀδυσσόπολιν, πιάσας καὶ τὸν Κύριλλον τὸν στρατηλάτην Θρᾴκης, καὶ ἦλθεν πραιδεύων ἕως τοῦ Βυζαντίου. Φειδόμενος δὲ τῆς πόλεως, ἐν Σωσθενίῳ ἐστρατοπέδευσεν. Similiter Euagrius 4, 43 et Malalas p. 402 Hypatium captum esse dicunt antequam Cyrillus contra Vitalianum exercitum eduxisset.

§ 6. Ἀλαθὰρ] Ἀρλαθὰρ man. 2.; infra § 10 Ἄλαθαρ codex..

§ 7. τῶν... τεταγμένων] τὸν... τεταγμένου cod. || — ἐπὶ τῆς Ἀκρίδος] ad *Acres castellum* Hypatium in custodia detentum dicit Marcellinus. Acra erat in Anaplo Bospori non longe a Constantinopoli dissita (Dionys. Byz. Anapl. fr. 28); Acritam novimus Bithyniæ promontorium a Chalcedone 60 stadia versus meridiem distans. De his tamen nostro loco cogitari nequit. Intelligenda est Ἄκρα Pontica (Hierocl. et Anonym. Per. Pont. Eux. in Geogr. Min. tom. 1, p. 400), quæ Straboni est ἡ Τίριζις ἄκρα, χωρίον ἔρυμνον, ᾧ ποτε Λυσίμαχος ἐχρήσατο γαζοφυλακίῳ, ad hodiernum *Cap Calacra*, cui *Cavarna* nunc adjacet, haud longe ab Odesso boream versus. In his enim regionibus quæ sunt circa Odessum et Anchialum, Vitalianus arcem belli constituerat. Mox alia ejusdem tractus urbs Sozopolis memoratur. Nomen Ἀκρίς etiam Libyæ urbis erat, teste Diodoro 20, 57. || — ἁμαξῶν] ἀμαζῶν codex h. l. et mox iterum.

§ 8. τοξεῖα codex. Deinde τοὺς inserui.

§ 9. πλεῖον ἢ ξ' χιλ.] ξε' χιλιάδες Theoph. p. 243.

§ 11. Οὐράνιον] Meminit ejus etiam Marcellinus l. l. || — Σωζόπολιν] Est urbs Pontica, antea Apollonia dicta, hodie *Sizeboli*.

§ 12. Πρὸς στάσιν διαστάντος] πρόστασιν διαστάντες codex.

§ 13. Βαλεριανῆς] Malala p. 404, 2 : Ἰωάννην τὸν Βαλεριανῆς. || — ὁ μὲν] sc. Vitalianus. || — ἱκέτευεν] Dicendum erat ἵζετο vel ἐκάθητο, *castra habebat*. Malala p. 403, 3 : Ἐκάθητο ἐν τῷ Ἀνάπλῳ ἐπὶ τὸν λεγόμενον Σωσθένην ἐν τῷ εὐκτηρίῳ τοῦ ἀρχαγγέλου Μιχαήλ. Theophanes p. 247, 7 : ἐν Σωσθενίῳ ἐστρατοπέδευσεν. Marcellin. l. l. : *Sosthenense prædium*

ὤφθη τῇ Κωνσταντίνου. Μετεώρου δὲ τῆς πόλεως οὔσης καὶ ὑπὸ τοὺς πολεμίους ἐλπιζομένης γενέσθαι, στέλλεται παρ' αὐτὸν Ἰωάννης τὴν τῶν στρατηλατῶν καὶ ὑπάτων ἀξίωσιν ἔχων, ἐκ τοῦ τῆς μητρὸς ἐπωνύμου Βαλεριανῆς γνωριζόμενος. Καὶ ὁ μὲν ὑπαντήσας τοῖς πολεμίοις τὸν ἐκ τῆς πρώτης προσβολῆς διηγωνίζετο κίνδυνον, ἐπὶ δὲ τῷ λεγομένῳ Λαοσθενίῳ ἱκέτευεν, αὐτὸς δὲ ἐπανήει δρομάδην παρὰ τὸν Ἀναστάσιον, ἀγγέλλων τὰ ὑπὸ τοῦ τυράννου ἐπιζητούμενα. (14) Ὡς δὲ ὁ βασιλεὺς τῇ τε τῆς πολιορκίας ἀνάγκῃ καὶ τῇ τοῦ στρατηγοῦ καὶ συγγενοῦς ἐποχῇ πάντα ποιεῖν ὡμολόγει, ἐφέρετο μὲν ἡ τοῦ χρυσίου ποσότης εἰς πεντακισχιλίας τείνουσα λίτρας, ἐδίδοτο δὲ καὶ τὰ τῆς Θρᾳκίας ἀρχῆς σύμβολα παραχρῆμα, ὅρκοι τε περὶ φιλίας παρείχοντο καὶ τὸ τῆς θρησκείας ἀνενεοῦτο κήρυγμα· ὡς δὲ οὐδὲ οὕτως ἐλθεῖν πρὸς τὸν βασιλέα προεθυμεῖτο, ἀπεχώρει.

15. Ἀνθεμίου δὲ τὴν ὕπατον ἀρχὴν διαδεξαμένου (an. 515) Βιταλιανὸς αὖθις ἐξογκούμενος δεινῶς τὸν Ἀναστάσιον ἔπαιζεν, καὶ οἱ τῶν λεγομένων Οὔννων Σαβὴρ ἐκ τῆς προτέρας παροτρυνθέντες πείρας πολλαπλασίονες τῷ πλήθει ταῖς πάσαις σχεδὸν ἐπεχέθησαν ἐπαρχίαις τῆς καλουμένης Ποντικῆς, δράσαντες δὲ φόνον μυρίον καὶ ἀγέλας αἰχμαλώτων ἀπήγαγον. (16) Αὖθίς τε κατὰ τὴν πανήγυριν τῆς Γάστρης συνέβη θόρυβον ὑπὸ τοῦ δήμου γενέσθαι. (17) Ὁ δὲ βασιλεὺς, ἅτε οὐκ ἀπὸ γνώμης πεπραχὼς τὰς πρὸς τὸν τύραννον συμβάσεις, ἐμηχανᾶτο εἴ τι δυνηθείη δρᾶσαι κατ' ἐκείνου δολίως. Ὁ δὲ παραχρῆμα τὴν τοῦ βασιλέως πυθόμενος γνώμην, αὖθις τὴν προτέραν μετέρχεται πεῖραν καὶ σὺν πολλῷ πλήθει διαπεραιωθεὶς τὸν Εὔξεινον Πόντον ἐς τὸ Λαοσθένιον ἧκεν. Πρὸς αὐταῖς δὲ ταῖς καλουμέναις Συκαῖς (μοῖρα δὲ αὕτη τῆς πόλεως ἐσχάτη) τῶν βαρβάρων προσελασάντων, πεζομαχία τε συνεκροτήθη πρὸς τοὺς ἐν ἐκείνῃ φυλάττειν ἔκ τε Ἰσαύρων καὶ τῶν ἄλλων λαχόντας (ἑώρα γὰρ ἐς τὰς τῶν προδιδόντων ὑποσχέσεις ὁ τύραννος), καὶ νεῶν αὐτοῦ κατὰ τὸ μεσαίτατον τῆς Χρυσοπόλεως γενομένων, ὑπαντήσασα ναῦς ταχυδρόμος τοῦ βασιλέως, ἐφ' ἧς Ἰουστῖνος ἦν ὁ τῶν καλουμένων ἐξκουβιτόρων ἄρχων, συμπλακεὶς μιᾷ τῶν νεῶν καὶ ζωγρήσας τοὺς ἐν αὐτῇ τοὺς ἄλλους ἐς φυγὴν ἔτρεψεν. Ἀθροισθέντων δὲ τῶν πεζῶν κατὰ τὸν Ἀνάπλουν, νύκτωρ αἰσθόμενος τῆς ἐπ' αὐτῷ γενομένης ἐπιβουλῆς ἀπέδρα, οἵ τε σὺν αὐτῷ ἄφαντοι ἅπαντες ἐν ἀκαρεῖ ἐγένοντο χρόνῳ, τοὺς τρωθέντας ἐκ τῶν βαρβάρων πῇ μὲν ἡμιθνῆτας, πῇ δὲ καὶ νεκροὺς καταλείψαντες. (18) Μετὰ δέ τινα χρόνον ὁ τῶν Βιταλιανῷ συναραμένων Οὔννων ὅτι μάλιστα κράτιστος, ὃς καὶ τὸν τοῦ Κυρίλλου τοῦ στρατηγοῦ φόνον αὐτοχειρίᾳ ἔπραξε, Ταρρὰχ τὴν προσηγορίαν, περιελθόντος αὐτὸν ἀπάτῃ Τουργοῦν Οὔννου καὶ αὐτοῦ καὶ χρημάτων ἀποδομένου τὴν τοιαύτην πρᾶξιν, συνδεθεὶς πρὸς αὐτοῦ καὶ τοῖς τοῦ βασιλέως παραδοθεὶς εἰς τὴν Κωνσταντίνου ἤχθη, καὶ βασάνους πρότερον ὑποστὰς μετὰ τοῦτο ζῶν ἔτι πυρὶ διεφθάρη κατὰ τὸν Χαλκηδόνος ἐπέκεινα τόπον, ὃν Παντίχιον ὀνομάζουσιν. Μετὰ δὲ ταῦτα Ῥουφῖνος ὁ στρατηγὸς Ἀναστάσιόν τε καὶ Δομνίκον τοὺς τυράννου σωματοφύλακας ζωγρίᾳ λαβὼν ἐκπέμπει τῷ βασιλεῖ, τοὺς δὲ παραγενομένους ὡς πολλῶν θανάτων αἰτίους ὁ αὐτοκράτωρ διαφθαρῆναι κρίνας τοῖς τῶν νυκτῶν φύλαξι παραδίδωσιν· οἱ δὲ κατὰ τὸν ἀντικρὺ τῆς Κωνσταντίνου πόλεως λόφον τὰς κεφαλὰς ἐκτεμόντες ἐπὶ ξυλίνων ἐπέθηκαν κιόνων.

---

ingressus est. De Laosthenio deque variis nominis formis v. Geogr. Min. tom. 2, p. 48 not. Formam Σωσθένιον Joannes noster habet fr. 15 p. 548. || — § 14. καὶ τὰ τῆς] καὶ τότε τῆς cod.

§ 15. δεινῶς τὸν Ἀναστάσιον ἔπαιζεν] Theophanes p. 248, 8 : Τούτῳ τῷ ἔτει (514) Βιταλιανὸς ἀγανακτήσας κατὰ Ἀναστασίου διὰ τὴν ἐπιορκίαν, πολλὰ κακὰ τοῖς ὑπὸ Ἀναστάσιον στρατοπέδοις καὶ τῇ λοιπῇ πολιτείᾳ ἐπεδείκνυτο, ἀναιρῶν καὶ ἁρπάζων καὶ ἀφοπλίζων, καὶ τέλος πρὸς ὕβριν ἕκαστον στρατιώτην μιᾶς φόλλεως ἐπίπρασκεν. || — Οὔννων Σαβὴρ] Marcellin. an. 515 : *Ea tempestate Hunni Armenia transmissa Cappadociam devastantes usque Lycaoniam penetrarunt*. Theophanes, p. 249, 4 : Οὖννοι οἱ λεγόμενοι Σαβὴρ περάσαντες τὰς Κασπίας πύλας τὴν Ἀρμενίαν ἐξέδραμον, Καππαδοκίαν τε καὶ Γαλατίαν καὶ Πόντον ληιζόμενοι, ὡς ἐπὶ Εὐχαΐταν μικροῦ δεῖν παραστήσασθαι. Cf. Malalas, ubi Οὖννοι Σάβειροι dicuntur, Cedrenus p. 367, A, Euagrius 4, 43, Victor Tunnensis Chron. h. an. || — προτέρας πείρας] Cf. fr. 214 *d*.

§ 16. τῆς Γάστρης] τῆς Γαστρῆς codex. Locus urbis Γάστρα dicebatur, in quo monasterium τὰ Γάστρια erat. Vid Du Cange Const. Christ. p. 156. De solennitate illa aliunde, quantum sciam, non constat.

§ 17. De hac pugna, quam Theophanes non commemorat, Euagrius 4, 43, postquam dixerat Vitalianum in Odesso urbe Cyrillum cepisse, ita narrat : Καὶ μέχρι τῶν καλουμένων Συκῶν τὴν ἔλασιν ἐποιήσατο, πάντα δῃῶν, πάντα πυρπολῶν, οὐδὲν ἕτερον ταῖς φαντασίαις ἔχων ἢ καὶ τὴν πόλιν αὐτὴν ἐξελεῖν καὶ τῆς βασιλείας κρατῆσαι. Ἐν Συκαῖς δὲ αὐτοῦ σκηνησαμένου στέλλεται πρὸς τοῦ βασιλέως Μαρῖνος ὁ Σύρος, οὗ πρόσθεν ἐμνήσθημεν, μετὰ νηΐτου στρατοῦ πολεμήσων τῷ Βιταλιανῷ. Συνήτην οὖν ἄμφω τὼ στρατὼ, ὁ μὲν ἐπὶ πρύμναν τὰς Συκὰς, ὁ δὲ τὴν Κωνσταντινούπολιν ἔχων. Καὶ πρῶτον μὲν ἀνεκώχευον· εἶτα μετὰ τοὺς ἔκπλους καὶ τοὺς ἀκροβολισμοὺς μεταξὺ τοῖν δυοῖν στρατοπέδοιν ναυμαχίας κρατερᾶς συστάσης περὶ τὰ καλούμενα Βυθάρια, φεύγει μὲν προτροπάδην πρύμναν στρεψάμενος ὁ Βιταλιανὸς, τὰ πολλὰ τῆς δυνάμεως ἀποβαλών· φεύγουσι δὲ καὶ οἱ ἀμφ' αὐτὸν οὕτω τάχιστα, ὡς μηδένα πολέμιον ἀνὰ τὴν ἑξῆς περὶ τὸν Ἀνάπλουν ἢ περὶ τὴν πόλιν αὐτὴν εὑρεθῆναι. Φασὶ δ' οὖν τὸν Βιταλιανὸν ἐν Ἀγχιάλῳ τινα χρόνον διατρίψαι, τὴν ἡσυχίαν ἄγοντα. Cf. Malalas p. 404 et Anonym. Chron. in Crameri Anecd. Paris. tom. 2, p. 316, qui classem barbarorum sulfureo igne, quem Proclus philosophus Atheniensis suppeditasset, incensam esse tradunt. Simili commento rem exornat Zonaras. p. 55. V. Le Beau, *Hist. du Bas-Empire*, tom. 8, p. 480 sqq.

§ 18. πυρὶ διεφθάρη] περιδιεφθάρη cod. || — Παντίχιον] Παντηχεῖον codex.

[ΙΟΥΣΤΙΝΙΑΝΟΣ]

217 a. (530?)

Ὅτι ἐπὶ Ἰουστινιανοῦ ἐτυράννησαν οἱ Σαμαρεῖται καὶ ἔστεψαν βασιλέα.

[ΙΟΥΣΤΙΝΟΣ Ο ΝΕΩΤΕΡΟΣ]

217 b. (570?)

Ὅτι Ἰουστῖνος τὸν ἀνεψιὸν αὐτοῦ ἀπεκεφάλισεν ὡς ἐπιβουλευσάμενον αὐτῷ.

[ΜΑΥΡΙΚΙΟΣ]

218 b. (599)

Ὅτι σκανδαλισθεὶς ὁ Μαυρίκιος ἐπὶ τῷ μισηθῆναι διὰ τὸ προδοῦναι τὴν αἰχμαλωσίαν. Καὶ γράφει πρὸς τὸν στρατηγὸν Κομεντιόλον κρύφα προδοῦναι τὸν λαὸν τῆς Θρᾴκης εἰς τοὺς βαρβάρους. Ἔγνω οὖν ὁ λαὸς τὸν δόλον· τὸν γὰρ στρατηγὸν κρατήσαντες, ὑπέδειξεν αὐτοῖς τὰ γράμματα. Ἀπὸ τότε οὖν ἐζήτουν φονεῦσαι Μαυρίκιον. Γνοὺς δὲ ὁ Μαυρίκιος διεδέξατο Κομεντιόλον, ποιήσας Φιλιππικόν. Ἔπεμψαν οὖν ἐντολικαρίους διὰ Κομεντιόλον· ἦν δὲ εἷς ἐξ αὐτῶν Φωκᾶς. Ὁ οὖν Φωκᾶς ἀντικατέστη τῷ βασιλεῖ, καὶ πάντων ἐξελθόντων, εἷς τῶν πατρικίων ἐπιδραμὼν τῷ Φωκᾷ ἀπέσπασε τῶν γενείων αὐτοῦ, ὁ δὲ Φωκᾶς ἐνέβλεψεν αὐτόν, ἀπόκρισιν μὴ δοὺς αὐτῷ.

218 c. (600)

Ὅτι λιτανεύοντος τοῦ βασιλέως Μαυρικίου εἰς τὴν

Fr. 217 a. Σαμαρεῖται] Chron. Paschal. p. 619 ad Justiniani an. 4 (530), Lampadio et Oreste coss. : Τούτῳ τῷ ἔτει Σαμαρειτῶν στασιασάντων καὶ ποιησάντων ἑαυτοῖς βασιλέα καὶ Καίσαρα, ἐπέμφθη Εἰρηναῖος ὁ Πενταδίας στρατηλάτης, καὶ ἐθανάτωσε πολλούς. Theophanes p. 274, 7 ad secundum Justiniani annum (528) rem refert : τῷ δὲ Ἰουνίῳ μηνὶ Σαμαρεῖται καὶ Ἰουδαῖοι ἐν Παλαιστίνῃ βασιλέα Ἰουλιανόν τινα ἔστεψαν. Procopius Hist. arc. c. 11, p. 75, 15 : οἱ δὲ γεωργοὶ ξύμπαντες ἀθρόοι γεγενημένοι ὅπλα ἀνταίρειν βασιλεῖ ἔγνωσαν, βασιλέα σφισι τῶν τινα λῃστῶν προβεβλημένοι Ἰουλιανὸν ὄνομα, Σαβάρου υἱόν. Ad hunc locum Assemannus e codicibus Vaticanis excitat narrationem Cyrilli Scythopolitani, qui Justiniani imp. coævus erat. Prima verba ita habent : Οἱ κατὰ Παλαιστίνην Σαμαρεῖται τὸ ἔθνος ἅπαν κατὰ τῶν Χριστιανῶν στρατεύσαντες, πολλὰ ἀθέμιτα διαπράξαντες, τὰς μὲν ἐμπιπτούσας ἐκκλησίας πραιδεύοντες, τοὺς δὲ συμπίπτοντας Χριστιανοὺς διαφόροις κολάσεσι ἀφειδῶς ἀποκτείνοντες καὶ χωρία ὁλόκληρα τῷ πυρὶ παραδιδόντες ἐν τοῖς μάλιστα περὶ Νεάπολιν τόποις, ἔνθα τυραννήσαντες ἔστεψαν ἑαυτοῖς βασιλέα Ἰουλιανόν τινα σύνεθνον αὐτῶν. Postrema verba eadem fere habes in fragmento nostro, adeo ut Joannes sua ex ipso illo Cyrillo duxisse videri possit.

Fr. 217 *b*. De re Theophanes p. 376, 11 ad Justini II annum sextum (570) : Ἀκούσας δὲ Ἰουστῖνος ὁ βασιλεὺς περὶ τοῦ ἀνεψιοῦ αὐτοῦ, ὃν εἶχεν ἐν Ἀλεξανδρείᾳ αὐγουστάλιον, ὅτι συσκευὴν μελετᾷ κατὰ τοῦ βασιλέως, πέμψας ἀπεκεφάλισεν αὐτόν. Joannes Viclar. Chron. rem secundo Justini anno assignat. Fusius hæc persequitur Euagrius 5, 1 et 2, sed de structis insidiis neque hic quidquam habet, neque Agathias 4, 22, p. 255, qui Justinum Justini imp. nepotem exitu suo pœnas dedisse contendit pro eo quod Joanni Afro permisisset ut nefario dolo pecunias a provincialibus exigeret.

Fr. 218 *b*. Anno 599 Mauritius imp. Comentiolum emiserat, ut Prisco duci contra Chaganum Avarorum ducem belligeranti suppetias ferret. Τοῦτο μαθὼν (Theophan. p. 429 ait) ὁ Χάγανος ἐπὶ Μυσίαν κατὰ Κομεντιόλου στρατεύεται ἀπὸ τριάκοντα σημείων τοῦ Κομεντιόλου (Com. tunc castra habebat ad Istrum juxta Iatrum urbem, ut Theophylactus 7, 13 dicit). Ὁ δὲ Κομεντίολος ἐναπορῶν ἄγγελον πρὸς τὸν Χάγανον ἐξέπεμψεν [Theophyl. : νυκτὸς δὲ μεσούσης ἐν ἀπορρήτῳ πρὸς τὸν Χάγανον ὁ τῶν Ῥωμαίων στρατηγὸς ἐξέπεμψεν ἄγγελον]. Φασὶ δέ τινες τὸν Μαυρίκιον ὑποθέσθαι τῷ Κομεντιόλῳ, ὅπως τὸ Ῥωμαϊκὸν στράτευμα παραδώσῃ πολεμίοις διὰ τὰς ἀταξίας αὐτῶν. Νυκτὸς δὲ μεσούσης ἐκέλευσεν τὸν στρατὸν ὁπλίσασθαι, μὴ παραγυμνώσας τοῖς ὀχλοῖς μέλλειν πόλεμον συστήσασθαι. Αὐτοὶ δὲ ὑπειληφότες ὅτι γυμνασίας ἕνεκεν σιδηροφορεῖν αὐτοὺς ἐκέλευσεν, οὐχ ὡς ἔδει ὡπλίσαντο. Ἡμέρας δὲ γενομένης καὶ τῶν βαρβάρων καταλαβόντων (?), θρυλλὸς πολὺς τὸν στρατὸν κατέλαβεν. Ὁ δὲ Κομεντίολος τὰς τάξεις ἐτάραττεν, καὶ αἴτιος αὐτοῖς ἀκαταστασίας ἐγένετο [Theophylact. : Τὰς ἀκτῖνας τοίνυν ἡλίου περιβαλόντος τῇ γῇ, ὁρῶσιν οἱ Ῥωμαῖοι μετ' εὐκοσμίας συντεταγμένον τὸν βάρβαρον τήν τε ἔκταξιν κατ' αὐτῶν συντόνως ποιούμενον. Αἱ μὲν δυνάμεις αἱ περὶ τὸν Κομεντίολον ἐβλασφήμουν εἰς τὸν πολέμαρχον, αἴτιον αὐτὸν ἀπαρασκευάστου ταύτης ἀκοσμίας καταιτιώμενοι]. Οἱ μὲν οὖν Ῥωμαῖοι πρὸς φυγὴν ἐτρέποντο. Ex excerptorum indiciis apparet Joannem ita narrasse ut de sceleratis Mauritii consiliis, quibus Comentiolus inserviebat, omnis dubitatio præscinderetur, dum Theophanes et Theophylactus, Christianam imperatoris virtutem extollentes, nefasta hæc obtegere et amollire et in Comentiolum amovere student. — Post cladem illam Mauritius ad Chaganum legatos misit, quibus ille, Theophane teste p. 431, dixit : Κρίνει ὁ θεὸς ἀνὰ μέσον ἐμοῦ καὶ Μαυρικίου αὐτοκράτορος· αὐτὸς γὰρ τὴν εἰρήνην διέλυσεν· ἐγὼ δὲ τοὺς αἰχμαλώτους ἀποδίδωμι αὐτῷ κατὰ ψυχὴν νόμισμα ἓν κομιζόμενος παρ' αὐτοῦ. Ὁ δὲ Μαυρίκιος οὐκ ἠνέσχετο δοῦναι· καὶ πάλιν ὁ Χάγανος ᾐτήσατο ἀνὰ ἡμίσους λαβεῖν κατὰ ψυχήν· καὶ οὐδ' οὕτως ὁ βασιλεὺς δοῦναι κατεδέξατο, ἀλλ' οὐδὲ τεσσάρων κερατίων λαβεῖν· καὶ θυμωθεὶς ὁ Χάγανος πάντας ἀπέκτεινεν, καὶ ἐπὶ τὰ ἴδια ἀνέζευξεν, πεντήκοντα χιλιάδας ταῖς σπονδαῖς τοῖς Ῥωμαίοις ἐπιθείς· καὶ τὸν Ἴστρον ποταμὸν μὴ διαβαίνειν ὡμολόγησαν. Ἐκ τούτου πολὺ μῖσος κατὰ Μαυρικίου τοῦ βασιλέως ἐκινήθη, καὶ ἤρξαντο λοιδορίαις τοῦτον βάλλειν. Ὁμοίως καὶ ὁ λαὸς ὁ ἐν τῇ Θρᾴκῃ πρὸς λοιδορίαν τοῦ βασιλέως ἐκινήθη. Ὁ δὲ στρατὸς ἐντολικαρίους ἔπεμψεν πρὸς τὸν βασιλέα κατὰ Κομεντιόλου, ὡς προδοσίαν ἐν τῷ πολέμῳ ποιήσαντος, ἐν οἷς ἦν καὶ ὁ Φωκᾶς, ὅστις τῷ βασιλεῖ διαλεγόμενος βουερῶς τούτῳ ἀντέλεγεν ἐν τῷ σιλεντίῳ, ὥστε τινα τῶν πατρικίων τοῦτον ματζῶσαι καὶ τὸν πώγωνα αὐτοῦ τῖλαι. Ὁ δὲ βασιλεὺς οὐ κατεδέξατο τὴν κατὰ Κομεντιόλου ἔγκλησιν, ἀλλὰ τούτους ἀπράκτους ἀπέλυσεν. Διὰ τοῦτο καὶ ἡ ἐπιβουλὴ ἡ κατὰ τοῦ βασιλέως ἔλαβεν. Eadem iisdem ut plurimum verbis in codice Vaticano Chronici Pasch., p. 694, ed. Bonn. ad marginem adscripta sunt. Theophylactus ea quæ de captivis ob avaritiam hosti proditis traduntur, non commemoravit. || — Φιλιππικόν] Philippicus, quem in Comentioli locum imperator suffecit, uxorem habebat Gordiam, sororem Mauritii. V. Theophylactus l. l.

Fr. 218 c. Ὑπαπαντὴν] festum occursus Domini. Theophanes, p. 437, 5 : Τοῦ δὲ βασιλέως νυκτὶ ἀνυποδύτου λιτα-

Ὑπαπαντὴν γυμνόποδος, λίθοι κατ' αὐτοῦ ἐπέμφθησαν εἰς τὰ Καρπιανοῦ· καὶ ἐκάθισάν τινα φαλακρὸν εἰς ὄνον, βαλόντες εἰς τὴν κεφαλὴν αὐτοῦ σκόροδα, πρὸς μίμησιν Μαυρικίου, λέγοντες· « Εὗρε τὴν δάμαλιν ἁπαλὴν καὶ τρυφεράν, καὶ ὡς τὸ καινὸν ἀλεκτόριν, οὕτως αὐτὴν πεπήδηκεν. »

218 d. (602)

Ὅτι ὑφωρᾶτο Μαυρίκιος εἰς τὸν στρατὸν Θράκης· καὶ εἰς τὸν γαμβρὸν Φιλιππικόν, καὶ εἶδεν ἀποκάλυψιν ὁ Μαυρίκιος, ὅτι ἵστατο ἐν τῷ πορφυρῷ μαρμάρῳ τῆς Χαλκῆς· καὶ ἔλεγεν αὐτῷ· « Ποῦ θέλεις, ἀποδώσω σοι, ὧδε ἢ ἐν τῷ μέλλοντι; » Ὁ δὲ εἶπεν « ὧδε ». Καὶ τότε ἐπέτρεψεν αὐτὸν ἐκδοθῆναι Φωκᾷ στρατιώτῃ, καὶ διυπνίσθη. Ἐποίησεν οὖν μετάνοιαν τῷ Φιλιππικῷ ὁ Μαυρίκιος. (2) Ἐπεχείρουν οὖν οἱ στρατοὶ Θράκης ἀνέρχεσθαι πρὸς ἐπιβουλὴν Μαυρικίου. Ἐβουλεύσαντο οὖν οἱ στρατοὶ τίνα ποιήσουσι βασιλέα. Ἐποίησαν οὖν Φωκᾶν καὶ ἀφίησαν τόν τε Ἀλέξανδρον καὶ Λίλλιν καὶ ἦλθον ἕως τοῦ κάμπου Ἑβδόμου. Ὑφωρῶντο οὖν οἱ τῆς πόλεως διὰ Μαυρικίου, καὶ οὐδεὶς ἐτόλμα ἐξελθεῖν πρὸς αὐτούς. Ἐπεσύρετο οὖν εἷς καὶ ἀπῄει πρὸς τὸν στρατόν. (3) Ἠβουλήθη ὁ Μαυρίκιος τῇ νυκτὶ φυγεῖν πρὸς τὸν ἅγιον Αὐτόνομον, ἀλλ' ἐπίασεν αὐτὸν ἡ ποδαλγία. (4) Προσερρύησαν οὖν καὶ τὰ δύο μέρη, Πράσινοι καὶ Βενετοί, καὶ πάντες (καὶ) ἀνήγαγον τὸν Φωκᾶν εἰς σκουτάριν ἐν τῷ τριβουναλίῳ τοῦ κάμπου καὶ ἀνηγόρευσαν αὐτὸν βασιλέα. (5) Ὁ δὲ Μαυρίκιος ἀκούσας, ἐξελθὼν διὰ κοχλίου ἐδόκει μετὰ τοῦ υἱοῦ αὐτοῦ φεύγειν εἰς τὸν ἅγιον Αὐτόνομον καὶ πρὸς Χοσρόην ἐν Περσίδι. Ἦν δὲ μετ' αὐτοῦ καὶ Στέφανος ὁ βαΐουλος Θεοδοσίου, ὁ κτίσας τὰ Ἁρματίου καὶ τὸ Σάγμα. Καὶ ἀντανεμίας γενομένης ἐξῆλθεν εἰς Διαδρόμους. (6) Ὁ δὲ Θεοδόσιος ἠδυνήθη διαφυγεῖν, καὶ οὐδεὶς διέγνω· οἱ δὲ ἔφασαν ὅτι φεύγων ἐξέβρασε καὶ ἐτελεύτησεν. Ἡ δὲ γυνὴ τοῦ βασιλέως Μαυρικίου καὶ τὰ τέκνα ἀπῆλθον ἐν Χαλκηδόνι, ὁ δὲ Φιλιππικὸς ἐκείρατο τὴν κόμην κληρικὸς

νεύοντος μετὰ πάσης τῆς πόλεως, παρερχομένου ἐν τοῖς Καρπιανοῖς, στασιάζουσιν ἐκ τοῦ πλήθους τινες, καὶ λίθους κατὰ τοῦ βασιλέως ἔβαλλον, ὥστε μόλις τὸν βασιλέα σὺν Θεοδοσίῳ τῷ υἱῷ αὐτοῦ διασωθῆναι καὶ τὴν εὐχὴν πληρῶσαι ἐν Βλαχέρναις. Οἱ δὲ δῆμοι εὑρόντες ἄνδρα προσομοιοῦντα Μαυρικίῳ, καὶ βαλόντες αὐτῷ σάγιον μαῦρον καὶ ἀπὸ σκόρδων πλέξαντες στέφανον, καὶ εἰς ὄνον τοῦτον καθίσαντες διέπαιζον λέγοντες· « εὕρηκεν τὴν δαμαλίδα ἁπαλήν, καὶ ὡς τὸ καινὸν ἀλεκτόριν ταύτῃ πεπέδηκεν καὶ ἐποίησεν παιδία ὡς τὰ ξυλοκούκουδα. » Verbo has turbas significasse satis habet Theophylactus 8, 4

Fr. 218 d. § 1. ἀποκάλυψιν] ἀπόκαμψιν codex. || — καὶ ἔλεγεν] sc. ἡ ἀποκάλυψις, nisi forte φωνὴ vel tale quid excidit. Theophanes p. 439, 16 : Τοῦ δὲ Μαυρικίου τὸν θεὸν ἱκετεύοντος τοῦ ἐλεηθῆναι τὴν ψυχὴν αὐτοῦ, ἐν μιᾷ κοιμωμένου αὐτοῦ εἶδεν ὀπτασίαν, εἰς τὴν Χαλκῆν πύλην τοῦ παλατίου τῇ εἰκόνι τοῦ σωτῆρος ἑαυτὸν παρεστῶτα, καὶ λαὸν παρεστῶτα αὐτῷ. Καὶ φωνὴ γέγονε ἐκ τοῦ χαράκτηρος τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ λέγουσα· « δότε Μαυρίκιον ». Καὶ κρατήσαντες αὐτὸν οἱ δίκης ὑπηρέται παρέστησαν τῷ πορφυρῷ ὀμφαλίῳ τῷ ἐκεῖσε· καὶ ἔφη πρὸς αὐτὸν ἡ θεία φωνή· « Ποῦ θέλεις, ἀποδώσω σοι, ὧδε ἢ ἐν τῷ μέλλοντι αἰῶνι; » Ὁ δὲ ἀκούσας ἔφη· « φιλάνθρωπε δέσποτα, δικαιοκρίτα, ὧδε μᾶλλον ἢ ἐν τῷ μέλλοντι αἰῶνι. » Καὶ ἐκέλευσεν ἡ θεία φωνὴ ἐκδοθῆναι Μαυρίκιον καὶ τὴν γυναῖκα αὐτοῦ καὶ τὰ τέκνα καὶ πᾶσαν τὴν συγγένειαν αὐτοῦ Φωκᾷ τῷ στρατιώτῃ. Διυπνισθεὶς οὖν Μαυρίκιος καὶ καλέσας τὸν παρακοιμώμενον αὐτῷ ἀπέστειλε πρὸς Φιλιππικὸν τὸν γαμβρὸν αὐτοῦ ἐν σπουδῇ ἀγαγεῖν αὐτὸν πρὸς τὸν βασιλέα... Εἰσελθὼν δὲ ὁ Φιλιππικὸς ἐν τῷ βασιλικῷ κοιτῶνι, ἔρριψεν ἑαυτὸν εἰς τοὺς πόδας τοῦ βασιλέως. Ὁ δὲ βασιλεὺς λέγει αὐτῷ· συγχώρησόν μοι διὰ τὸν θεόν, ὅτι ἥμαρτόν σοι· ἕως γὰρ νῦν ἐσκανδαλιζόμην εἰς σέ.

§ 2. Λίλλιν] Meminit ejus Theophylactus 8, 12, p. 339, 4, ubi Lillin Phocæ jussu cædem Mauritii ejusque liberorum peregisse dicit. || — τοῦ κάμπου Ἑβδόμου] i. e., ut Theophylacti verbis utar, ἕως τοῦ πεδίου τοῦ ἀνακειμένου ἐν τῷ λεγομένῳ Ἑβδόμῳ, ὃν κάμπον Ῥωμαῖοι κατονομάζουσι. Ceterum de re ita Theophanes, p. 442, 3 : Μαυρικίου τοῦ βασιλέως τῷ Πέτρῳ ἐν τῇ τῶν Σκλαβινῶν χώρᾳ προστάξαντος τὸν λαὸν παραχειμάσαι ἀντέστησαν οἱ Ῥωμαῖοι μὴ καταδεχόμενοι τοῦτο ποιεῖν ... Μαυρίκιος δὲ τῷ Πέτρῳ ἐνώχλει διὰ γραμμάτων διαπερᾶσαι τὸν Ἴστρον, καὶ τὰς χειμερινὰς ἀποτροφὰς τοῦ λαοῦ ἐκ τῆς τῶν Σκλαβινῶν χώρας ἀρύσασθαι, ὅπως μὴ δημοσίας σιτήσεις ἀναγκασθῇ τοῖς Ῥωμαίοις παρασχέσθαι . . Ὁ δὲ λαὸς τοῦτο ἀκούσας ἐστασίασεν· καὶ οἱ ἐπίσημοι ἄρχοντες φυγόντες ἐξ αὐτῶν πρὸς τὸν στρατηγὸν παρεγένοντο· τὰ δὲ πλήθη συναθροισθέντα προβάλλονται ἔξαρχον Φωκᾶν τὸν κένταρχον, καὶ ἐπὶ ἀσπίδος τοῦτον ὑψώσαντες εὐφήμησαν ἔξαρχον. Cf. Theophyl. 8, 6, 7.

§ 3-5. Cf. Theophan., p. 445, 8, Theophylact. l. l., Anonymus in Cramer. Anecd. Paris. tom. 2, p. 331. || — πρὸς ... Αὐτόνομον] Theophan. p. 445 : Λαίλαπος τοίνυν γενομένου μεγάλου μετὰ κινδύνων μεγίστων διασώζεται Αὐτόνομος (lege πρὸς vel ἐπὶ τὸν Αὐτόνομον vel τὸν νεὼν Αὐτονόμου). Cf. Theophyl. p. 331 : Λαίλαπος τοιγαροῦν γεγονυίας μεγίστης, ἐξαισίου νότου προσπνεύσαντος, μόλις ὁ Μαυρίκιος διασώζεται ἐπὶ τὸν νεὼν Αὐτονόμου τοῦ μάρτυρος, ὡς ἀπὸ σταδίων ρν' τῆς πόλεως Κωνσταντίνου. Ἐν αὐτῇ δὲ τῇ νυκτὶ ἐπιτίθενται αὐτῷ καὶ νόσοι ἀρθρίτιδες, ἃς ποδαλγίας καὶ χειραλγίας καλοῦσιν. Ἐντεῦθεν ἀποστέλλει Θεοδόσιον τὸν ἑαυτοῦ υἱὸν πρὸς Χοσρόην τὸν βασιλέα Περσῶν μετὰ Κωνσταντίνου [ὃν τὰ πλήθη Λαρδὺν κατωνόμαζον addit Theophyl. p. 332]. || — τὰ Ἁρματίου] V. Du Cange Const. 2, p. 168. || — τὸ Σάγμα] Hoc quid sit nescio. An τὸ Σίγμα? Complura erant urbis loca a forma Σίγμα dicta. V. Du Cange 2, p. 112. 3, p. 19. || — Διαδρόμους] Ejus loci meminit Chronicon Pasch. p. 694, 7 : ἐσφάγησαν δὲ εἰς Διαδρόμους πλησίον τοῦ Ἀκρίτα Κωνσταντῖνος ὁ Λαρδύς, ἀπὸ ἐπάρχων γενόμενος πραιτωρίων καὶ λογοθέτης καὶ κουράτωρ τῶν Ὁρμίσθου, καὶ Θεοδόσιος ὁ υἱὸς Μαυρικίου. Cf. Theophan. p. 346, 33. Acritas est promontorium a Chalcedone 60 stadia meridiem versus distans.

§ 6. De Theodosio Anonymus ap. Cramer. in Anecd. 2, p. 331 : Θεοδόσιον ἀπέστειλε Μαυρίκιος πρὸς Χοσρόην... Ἐκ τοῦδε οὐδεὶς ἔγνω τί γέγονεν ὁ αὐτὸς Θεοδόσιος. Theophanes p. 447, 17 : Θεοδόσιον δὲ τὸν υἱὸν αὐτοῦ λόγος κρατεῖ πεφευγέναι καὶ σεσῶσθαι. Ταύτην δὲ τὴν φήμην Χοσρόης ὁ τῶν Περσῶν βασιλεὺς ηὔξησεν ἄλλοτε ἄλλως ψευσάμενος, καὶ παρ' ἑαυτοῦ τοῦτον ἔχειν λέγων, καὶ προνοεῖν δῆθεν, ἵνα τὴν Ῥωμαίων βασιλείαν παραλαβῇ. Secundum Theophylactum p. 335 sqq. Theodosius Nicæam evaserat; hinc vero a patre revocatus, φιλυπόστοργος γεγονὼς πρὸς ἀποσφαγὴν παραγίνεται; deinde in templum Autonomi martyris confugit; quo comperto, Alexander Phocæ jussu

ἐν Χρυσοπόλει. (7) Ἐξήτησεν οὖν ὁ Φωκᾶς τὸν πατρίκιον τὸν κρατήσαντα τὸν πώγωνα αὐτοῦ λέγων· « φέρετε τὸν τατά μου, » καὶ ἀπεκεφάλισεν αὐτόν. Ἔστεψεν οὖν τὸν Φωκᾶν Κυριακὸς ὁ πατριάρχης εἰς τὸν ἅγιον Ἰωάννην εἰς τὸ Ἕβδομον. Ἦν δὲ τῷ γένει Θρᾷξ ἐτῶν νε', εἶχε δὲ γυναῖκα Λεοντίαν καὶ μητέρα καὶ θυγατέρα Δομενζίαν, καὶ ἐβασίλευσεν ἔτη η'. (8) Καὶ ἔκραξεν ὁ δῆμος ἐν τῷ ἱπποδρομίῳ· « Μαυρίκιος οὐκ ἀπέθανε, μάθε τὴν ἀλήθειαν ». Καὶ ἐκέλευσεν ἀπενεχθῆναι Μαυρίκιον καὶ τὰ τέκνα αὐτοῦ εἰς τὸν μῶλον τὸν Εὐτροπίου καὶ ἀποκτανθῆναι.

[ΦΩΚΑΣ.]

218 e. (606-608)

Ὅτι ποιήσας τὸν πατρίκιον Πρίσκον ὁ Φωκᾶς γαμβρὸν ἐπὶ θυγατρὶ καὶ θεωρήσας τὰ λαυράτα τοῦ γαμβροῦ αὐτοῦ καὶ τῆς θυγατρὸς, εἰς ζῆλον ἐλθὼν ἐξήτασε τοὺς γραμμιστὰς καὶ τοὺς πρώτους τῶν μερῶν. — (2) Ὁ δὲ γαμβρὸς αὐτοῦ Πρίσκος [ἔγραψεν πρὸς Ἡράκλειον τὸν πατρίκιον καὶ στρατηγὸν Ἀφρικῆς,] ὥστε ἀποστεῖλαι Ἡράκλειον τὸν υἱὸν αὐτοῦ καὶ Νικήταν τὸν υἱὸν Γρηγορᾶ τοῦ ὑποστρατήγου αὐτοῦ, ὑπισχνούμενος αὐτοῖς προδιδόναι Φωκᾶν· ἠκούετο γὰρ ὅτι καταστρατηγεῖ Φωκᾶ. (3) Οἱ δὲ Πράσινοι ἐν ἱπποδρομίᾳ ἔλεγον πρὸς Φωκᾶν· « πάλιν εἰς τὸν καῦκον ἔπιες, πάλιν τὸν νοῦν ἀπώλεσας. » Καὶ πολλοὺς ἐξ αὐτῶν ἀπέκτεινε. Θυμωθέντες οἱ Πράσινοι ἔκαυσαν τὸ πραιτώριον.

218 f. (608-610)

Ὅτι ἐπιβούλους πολλοὺς ἐπίασε Φωκᾶς * ὑπό τε τοῦ ἐπάρχου αὐτοῦ καὶ ἄλλων. — 2. Καὶ ἦλθεν Ἡράκλειος, δηλωθεὶς παρὰ τοῦ Πρίσκου πατρικίου, εἰς Ἄβυδον, καὶ δεξάμενος τὸν κόμητα Ἀβύδου ἔμαθεν

---

eum occidit. Theodosium ad Diadromos (in quem locum ipsum Mauritium confugisse Joannes tradit) interfectum esse dicit auctor Chron. Pasch. p. 694. Ceterum addit Theophylactus p. 341, 1 famam sparsam esse Alexandrum Theodosio pepercisse aliumque quendam virum similem ejus loco occidisse, ipsum vero Theodosium, postquam varia Orientis loca adiisset, tandem in barbarorum solitudinem profectum morbo decessisse. Ὁ μὲν οὖν λόγος οὗτος ἀνὰ πᾶσαν τὴν οἰκουμένην διήχησε, πλὴν δέ τις αὐτὸν βάρβαρος ἀπεκύησεν.

§ 7. Κυριακόν] V. Theophan. p. 445, Theophylact. p. 331, alii. || — Δομεντζίαν] Δυσμενζιανὴν codex. V. Theophanes p. 454, 5.

§ 8. Theophanes p. 447 : τῇ δὲ πέμπτῃ ἡμέρᾳ Λεοντίαν τὴν ἑαυτοῦ γυναῖκα ἔστεψεν Αὐγοῦσταν. Καταστασιάζουσι τοίνυν τὰ μέρη πρὸς ἄλληλα ταύτῃ τῇ ἡμέρᾳ διὰ στάσεις τόπων. Ὁ δὲ τύραννος τὸν Ἀλέξανδρον τὸν συναντάρτην αὐτοῦ ἔπεμψεν κατασκευάσαι τὰ μέρη. Ὁ δὲ Ἀλέξανδρος Κοσμᾷ τῷ τῶν Βενετῶν δημάρχῳ χεῖρας ἐπιβαλὼν, ὤθησεν καὶ ὕβρισεν. Οἱ δὲ Βενετοὶ ἀγανακτοῦντες ἔκραζον· « ὕπαγε, μάθε τὴν κατάστασιν· ὁ Μαυρίκιος οὐκ ἀπέθανεν » (sic etiam Theophyl. p. 335, 17). Ὁ δὲ τύραννος τούτων ἀκηκοὼς τῶν φωνῶν, ἐπὶ τὸν τοῦ Μαυρικίου φόνον κινεῖται· καὶ ἀποστείλας στρατιώτας ἤγαγεν αὐτοὺς ἐν Χαλκηδόνι εἰς τὸ Εὐρωπίου [lege Εὐτροπίου] λιμένα, καὶ προαναιροῦνται τοῦ βασιλέως οἱ παῖδες οἱ ἄρρενες ἐν ὄψεσιν αὐτοῦ πέντε [mens. Nov. an. 662]. || — Εὐτροπίου] Theophyl. p. 336, 3 : ἀναιρεῖ τὸν Μαυρίκιον εἰς τὸν λεγόμενον Εὐτροπίου λιμένα. Eodem modo Anonym. in Crameri Anecdd. Par. 2, p. 332. Chronic. Pasch. p. 696, 9 : Καὶ Κωνσταντίνα ἡ ἀπὸ βασιλισσῶν ἀπετμήθη πέραν εἰς τὸν μῶλον τὸν Εὐτροπίου πλησίον Χαλκηδόνος.

Fr. 218 e. τὰ λαυράτα] τὰ λαυρα (sic) codex. Intellige lauratas imagines Prisci et Domenziæ uxoris. Rem narrat Theophanes p. 454, 5 : Τούτῳ τῷ ἔτει (606) Φωκᾶς ὁ τύραννος ἔζευξεν τὴν αὐτοῦ θυγατέρα Δομεντζίαν Πρίσκῳ τῷ πατρικίῳ καὶ κόμητι τῶν ἐξκουβιτόρων, καὶ γενομένου τοῦ γάμου ἐν τῷ παλατίῳ τῶν Μαρίνης ἐκέλευσεν ἱππικὸν ἀχθῆναι. Οἱ δὲ δήμαρχοι τῶν δύο μερῶν (sc. τῶν Πρασίνων καὶ τῶν Βενετῶν) ἐν τοῖς περικίοσιν μετὰ τῶν βασιλικῶν λαυράτων ἔστησαν Πρίσκου καὶ Δομεντζίας λαυράτα. Ταῦτα ἰδὼν ὁ βασιλεὺς ἠγανάκτησεν, καὶ πέμψας τοὺς δημάρχους Θεοφάνην καὶ Πάμφιλον, καὶ στήσας αὐτοὺς γύμνους εἰς τὸ στόμα, ἐκέλευσεν ἀποτμηθῆναι αὐτούς. Πέμψας δὲ τὸν πρωτοκούρσωρα αὐτοῦ, ἠρώτα αὐτοὺς, τίνος ἐπιτρέψαντος τοῦτο πεποιήκασι· οἱ δὲ εἶπον, ὅτι κατὰ συνήθειαν οἱ γραμμισταὶ τοῦτο πεποιήκασι. Ὁ δὲ δῆμος καὶ οἱ ὄχλοι ἔκραζον· « φιλανθρώπου δεσπότου πολλὰ τὰ ἔτη ». Οἱ δὲ γραμμισταὶ ἐρωτηθέντες, διὰ τί τοῦτο πεποιήκασι, ἔφασαν, ὅτι τοῦ βασιλέως τέκνα ὀνομασθέντα ὑπὸ πάντων ἡμεῖς ἀφ' ἑαυτῶν τοῦτο πεποιήκαμεν.

§ 2. Verba ἔγραψεν ... Ἀφρικῆς supplevi e Theophane p. 456, 9, ubi hæc : Τούτῳ τῷ ἔτει (607) ὁ Πρίσκος μὴ ὑποφέρων ὁρῶν τοὺς ἀδίκους φόνους καὶ τὰ ὑπὸ Φωκᾶ γινόμενα, ἔγραψεν πρὸς Ἡράκλειον τὸν πατρίκιον καὶ στρατηγὸν Ἀφρικῆς, ὥστε ἀποστεῖλαι τὸν υἱὸν αὐτοῦ καὶ Νικήταν τὸν υἱὸν Γρηγορᾶ τοῦ πατρικίου καὶ ὑποστρατήγου αὐτοῦ, ὅπως ἔλθωσιν κατὰ τοῦ τυράννου Φωκᾶ· ἤκουεν γὰρ μελετωμένην ἐν Ἀφρικῇ κατὰ Φωκᾶ ἀνταρσίαν.

§ 3. Theophanes p. 457, 19 (608) : Ὁ δὲ Φωκᾶς ἐποίησεν ἱππικὸν καὶ οἱ Πράσινοι ὕβρισαν αὐτὸν λέγοντες· « πάλιν εἰς τὸν καῦκον ἔπιες, πάλιν τὸν νοῦν ἀπώλεσας (ἀπέλεκες vg.). » Καὶ ἐπέτρεψεν Κώνσταν τὸν ὕπαρχον τῆς πόλεως, καὶ πολλοὺς ἠκρωτηρίασεν καὶ τὰ μέλη αὐτῶν ἐν τῇ Σφενδόνῃ ἐκρέμασεν· πορευθέντες (ὀργισθέντες?) δὲ οἱ Πράσινοι ἔβαλον πῦρ εἰς τὸ πραιτώριον καὶ ἔκαυσαν τὸ σεκρέτον καὶ τὰ σκρίνια καὶ τὰς φυλακάς· καὶ ἐλθόντες (leg. ἐξελθόντες) οἱ ἐν ταῖς φυλακαῖς ἔφυγον. Cf. Anonym. in Cram. Anecd. Par. 2, p. 333.

Fr. 218. f. § 1. Hiulca oratio. Post vocem Φωκᾶς excidisse videtur ἐπεβουλεύθη γὰρ vel tale quid. Subindicantur quæ narrat Theophanes p. 458 (ad an. 608) : Θεόδωρος γὰρ ὁ ὕπαρχος Καππαδοκίας καὶ Ἐλπίδιος ὁ ἐπάνω τοῦ ἀρμαμέντου καὶ ἕτεροι διάφοροι ἐπιβουλὴν ἐποίησαν ἀνελεῖν ἐπὶ ἱπποδρομίου τὸν Φωκᾶν. Conjuratione ab Anastasio largitionum comite prodita, auctores ejus suppliciis affecti sunt.

§ 2. De re cf. Theophanes p. 459 (610), qui eodem quo Joannes fonte usus esse videtur. || — Καλώνυμον] Eandem insulam auctor noster § 3 dicit προσπαρακειμένην τῇ πόλει, adeo ut in intimo Cornu sinu quærenda esse videri possit. Significari hodiernam *Calonymo* vel *Calolimni*, quæ apud veteres auctores vocatur Besbicus, a Cyzico

παρ' αὐτοῦ τὰ κινούμενα ἐν τῇ πόλει. Ἐπέμφθη δὲ ὁ ἀδελφὸς Φωκᾶ ὁ κονδόχειρ εἰς τὸ Μακρὸν τεῖχος, καὶ μαθὼν εἰς Ἄβυδον εἶναι τὸν Ἡράκλειον, ἔφυγεν ἐν τῇ πόλει. Ὁ Ἡράκλειος οὖν εἰς Ἄβυδον πάντας τοὺς ἐξορίστους ἐδέξατο οὓς ἐξώρισε Φωκᾶς. Ἦλθεν οὖν Ἡράκλειος εἰς Ἡράκλειαν καὶ ηὔξατο εἰς τὴν ἁγίαν Γλυκερίαν, καὶ ἀπὸ Σηλυβρίας εἰσῆλθε πλῷ καὶ ἀπῆλθεν εἰς τὴν νῆσον τὴν καλουμένην Καλώνυμον. Μαθὼν οὖν Στέφανος ὁ Κυζικηνὸς, λαβὼν ἐκ τῆς θεοτόκου Ἀρτάκης στέμμα ἀπήγαγεν αὐτὸ τῷ Ἡρακλείῳ. (3) Ἐξῆλθεν οὖν Φωκᾶς ἐν Βλαχέρναις· ἔκειτο γὰρ Πρίσκος ὁ γαμβρὸς αὐτοῦ εἰς τὴν ἁγίαν σορὸν, προσποιούμενος ἀλγεῖν τοὺς πόδας. Ὁ Βούνωσος οὖν συνεβουλεύετο ἀποκτεῖναι τὸν γαμβρὸν αὐτοῦ. Μαθόντες οὖν τινὲς Πράσινοι, ὅτι ἦλθεν ὁ βασιλεὺς εἰς τὴν νῆσον τὴν προσπαρακειμένην τῇ πόλει, ἀπῆραν τὴν γυναῖκα, καὶ τὴν μητέρα Ἡρακλείου Φαβίαν καὶ ἀπήνεγκαν Ἡρακλείῳ. (4) Ἐξῆλθεν δὲ ὁ Φωκᾶς καὶ ἀπῆλθεν εἰς Βυρίδας καὶ ἐθεώρει τὴν παράταξιν τῶν πλοίων τῶν ἐλθόντων μετὰ Ἡρακλείου ἀπὸ Ἀφρίκης. Ἦσαν δὲ τὰ πλοῖα ἕως τοῦ Ἑβδόμου. Καὶ ὡς ἐθεώρει ὅτι ἐγγίζουσι τῇ πόλει, ἐνιππεύσας ὁ Φωκᾶς εἰσῆλθεν ἐν τῇ πόλει καὶ ἐπιτρέπει φυλάττεσθαι ἐκ τῶν Πρασίνων τὸν λιμένα τὸν Καισαρίου καὶ τὸν Σοφίας, τοὺς δὲ Βενετοὺς τὰ ἐπὶ Ὁρμίσδου. (5) Ὁ δὲ Πρίσκος ἐδήλωσε συναχθῆναι τοὺς ἐξκουβίτορας εἰς τὰ Βοραΐδος, εἰς τὸν ἱππόδρομον τοῦ οἴκου αὐτοῦ ἅμα τοῖς στρατιώταις βουκελλαρίοις. Εἶχε δὲ Ἡράκλειος Μαυριτῶν πλῆθος πολὺ· καὶ εἰσῆλθεν εἰς σάνδαλον Καλλιοπᾶς ὁ Τριμολαίμης ὁ ἡνίοχος, φορῶν ἅρμα καὶ κασσίδα, καὶ ἐξελθὼν εἰς τὸ ἀκρόμωλον (καὶ) ἐπῆρε τὴν κασσίδα, ἣν ἐφόρει, καὶ γνωρισθέντος αὐτοῦ, εὐθὺς ἔβαλον οἱ Πράσινοι εἰς τὰ Καισαρίου πῦρ. Ὁ δὲ Πρίσκος ἔνεψεν αὐτὸν πρὸς τὰ ἐξκουβιτόρια. Τοῦ δὲ Βουνώσου ἀπελθόντος εἰς τὰ Καισαρίου, ἐπῆλθον αὐτῷ οἱ Πράσινοι, καὶ φοβηθεὶς ἔφυγεν εἰς μίαν τῶν σκαλῶν καὶ ἔλαβε κονταραίαν ἐκεῖσε· οἱ δὲ ἄνθρωποι τοῦ Φωκᾶ ἀνεχώρησαν. (6) Ὁ οὖν Φώτιος ὁ παρὰ Φωκᾶ ἐπιβουλευθεὶς εἰς τὴν γυναῖκα αὐτοῦ, εἰσελθὼν εἰς τὸ παλάτιον μετὰ στρατοῦ, κρατήσας αὐτὸν ἀπὸ τοῦ πώγωνος ἐξέβαλεν αὐτὸν τοῦ παλατίου. Ἐκδύσαντες οὖν αὐτὸν τὴν βασιλικὴν στολὴν καὶ ἐμβαλόντες αὐτὸν εἰς ἀγκυρομάχον ἀπήγαγον πρὸς Ἡράκλειον. Ἰδὼν δὲ αὐτὸν ὁ Ἡράκλειος ἐξάγκωνα δεδεμένον, λέγει αὐτῷ· « Οὕτως διῴκησας, ἄθλιε, τὴν βασιλείαν; » Ὁ δὲ εἶπεν· « Σὺ κάλλιον ἔχοις διοικῆσαι. » Ὁ οὖν Ἡράκλειος καθήμενος εἰς τὸ σέλλιν δέδωκεν αὐτῷ λακταίαν, καὶ ἐπὶ τοῦ τόπου ἀπεκεφάλισαν αὐτόν. Κόψαντες τὸν ὦμον τὸν δεξιὸν καὶ τὴν χεῖρα καὶ τὴν φύσιν, καὶ βαλόντες εἰς κοντάρια ἔσυραν αὐτὸν καὶ Δομνιτζίολον τὸν ἀδελφὸν αὐτοῦ καὶ Βούνωσον καὶ Λεόντιον τὸν σακελλάριον αὐτοῦ, καὶ ἔκαυσαν αὐτοὺς εἰς τὸν Βοῦν.

JOANNIS MALALÆ CHRONOGRAPHIÆ

FRAGMENTA DUO

EX PARTE OPERIS NUNC DEPERDITO REPETITA.

Exc. De insidiis in cod. Escurial. : Ὅτι ἐπὶ τοῦ βασιλέως Ἰουστινιανοῦ ἐκ τοῦ μέρους τοῦ Πρασίνου ἐπόμπευσέ τις ὀφείλων ἀποτμηθῆναι ὡς φθείρας κόρην· ἡ δὲ κόρη ἦν θυγάτηρ Ἀκακίου τοῦ βασιλικοῦ κουράτορος. Καὶ ἐν τῷ πομπεύειν αὐτὸν οἱ ἀπὸ τοῦ Βενέτου μέρους ἐν τῷ διέρχεσθαι αὐτὸν πομπεύοντα ἐν τῇ τοποθεσίᾳ τῶν λεγομένων Πιττακίων ἐπιρρίψαντες ἥρπασαν αὐτὸν καὶ εἰσήγαγον ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ, καὶ ἐγένετο στάσις μεγάλη περὶ τούτου καὶ ἀκαταστασία ἐν τῇ αὐτῇ ἐκκλησίᾳ. Ὁ δὲ βασιλεὺς ἐφιλανθρωπεύσατο δηλώσας τῷ δήμῳ διὰ σιλεντιαρίου μανδάτα, τοὺς δὲ ἐκ τοῦ Βενέτου μέρους ἐπόμπευσεν ἐπὶ ἡμέρας δύο.

---

orientem versus 250 stadia distantem vix credideris. Mentio Calonymi cujusdam insulæ etiam in Vita Theophanis p. XXI et L ed. Bonn., ubi Theophanes e Polychronio monasterio κατὰ τὴν Σιγγριανὴν vel, ut, altero loco legitur, εν τῷ τῶν Σιγγριαναίων ὄρει sito, in Calonymum insulam trajecisse ibique monasterium condidisse dicitur.

§ 3. σορὸν] σωρον codex. || — Βούνωσος] Βόνοσος Theophan. p. 457 et 466; Βόνωσος Chron. Pasch. p. 700. Ceterum tota hæc narratio excerptorem redolet in postrema operæ suæ parte festinantiorem.

§ 4. Βυρίδες] Locus non notus mihi. Ὑρὶς ἄκρα (hod. *Touzla bouroun*) *Prinkipos* insulæ objacens commemoratur apud Artemidorum in Steph. Byz. s. v. Χαλκῖτις (Vid. Geogr. min. 2, p. 98); at hic locus a nostra narratione alienus. Quæritur an legendum sit εἰς τὰ Βοραΐδος, nec diversus sit locus ab eo qui § 5 commemoratur. Eundem indicari puto ab auctore Chron. Pasch. p. 598 : Ἀνθήμιος δομεῖται τὸν οἶκον τοῦ ἁγίου Θωμᾶ τοῦ ἀποστόλου, τὰ λεγόμενα Ἀνθημίου πλησίον Βορραΐδου [Βορραϊδίου v. l.].

§ 5. τοῦ οἴκου αὐτοῦ] an πλησίον τοῦ etc.? || — ἔνεψεν] corruptum. An ἔπεμψεν αὐτὸν? an ἐνῆψεν αὐτό? Mox codex ἐξσκουβήτορα.

§ 6. Φώτιος] Φώτιος (Φῶτις e cod. Vat. male Dindorf.) ὁ κουράτωρ τῶν Πλακιδίας Chron. Pasch. p. 700, 15, ad quem locum vide not. Cangii. Uxori Photii stuprum Phocas intulerat. || — εἰς ἀγκυρομάχον] scapham vox significare debet, modo incorrupta sit. Chron. Pasch. p. 700 : καὶ ἀπήγαγον (Phocam) διὰ τοῦ λιμένος ὡς ἐπὶ τὸν οἶκον τῆς Σοφίας, καὶ βαλόντες αὐτὸν εἰς κάραβον ἔδειξαν τοῖς πλοίοις, καὶ τότε ἀποφέρουσιν αὐτὸν πρὸς Ἡράκλειον. || — διῴκησας] διοίκησας cod. || — ἔχοις] ἔχεις cod. || — Δομνιτζίολον] leg. videtur Δομεντζίολον. || — εἰς τὸν Βοῦν] Post hæc in codice spatium vacuum sex linearum. Lacuna absumta est subscriptio (τέλος τῆς ἱστορίας Ἰωάννου τοῦ Ἀντιοχέως περὶ ἐπιβουλῆς vel tale quid) et initium Excerptorum ex Chronicis Joannis Malalæ, quorum pars in codice servata ex abrupto in media enuntiatione incipit.

῞Οτι ἐπὶ ἐπάρχου τῆς πόλεως Ζιμάρχου στάσις γέγονεν ἐν τῇ γειτονίᾳ τῇ λεγομένῃ τῶν Μαζεντιόλου τῷ τρόπῳ τούτῳ. Πέμψας τινὰς τῶν κομενταρησίων Ζίμαρχος ὁ ἔπαρχος ἐπὶ τῷ κρατῆσαί τινα νεώτερον, ὄνομα Καισάριον, ἀντέστησαν οἱ τῆς γειτονίας τῶν Μαζεντιόλου καὶ ἐκύλλωσαν πολλοὺς στρατιωτὰς καὶ αὐτούς γε μὴν τοὺς κομενταρησίους. Καὶ ἐπεκράτησεν ἡ μάχη ἕως ἡμέρας δύω· καὶ ἔπεμψεν ὁ βασιλεὺς Ἰουστινιανὸς στρατιώτας ἔτι πλείονας καὶ ἐξκουβίτορας, καὶ πολλοὶ ἐκ τῶν ἐξκουβιτόρων καὶ στρατιωτῶν ἐφονεύθησαν, πολλοὶ δὲ καὶ ἐκ τοῦ μέρους τῶν Πρασίνων ἀπέθανον· καὶ ἀνῆλθον μαχόμενοι ἕως τοῦ φόρου καὶ τοῦ τετραπύλου καὶ τοῦ πραιτωρίου τοῦ ἐπάρχου τῆς πόλεως· καὶ οὐ συνέβαλον μετὰ τῶν Πρασίνων οἱ τοῦ Βενέτου μέρους, ἀλλ' ἦν ἡ μάχη αὐτῶν μετὰ τῶν ἐξκουβιτόρων καὶ τῶν στρατιωτῶν. Συνέβαλον δὲ ἐν τῷ στρατηγίῳ τῇ αὐτῇ ἡμέρᾳ, καὶ διεδέχθη Ζίμαρχος ὁ ἀπὸ ὑπάρχων, ἀνύσας δὶς τὴν αὐτὴν τοῦ ἐπάρχου ἀρχὴν, καὶ γέγονεν ἀντ' αὐτοῦ Ἰουλιανὸς ἔπαρχος ὁ ἀπὸ ἀντιγραφέων καὶ ἐχρήσατο τοῖς δημόταις, ἐξαιρέτως τοῖς τοῦ Πρασίνου μέρους, πικρῶς ἐπὶ μῆνας ι' καὶ προσπαίων καὶ κοντεύων καὶ ἀποτέμνων καὶ παραμελεῖς ποιῶν αὐτοὺς, εὑρίσκων αὐτοὺς φονεῖς ὄντας καὶ ἐφόδους εἰς ὁδοὺς καὶ ἁρπαγὰς τολμῶντας καὶ ληστείας καὶ πειρατείας, καὶ ἔμεινεν ἐναρμοσάμενος αὐτοῖς ὡς ἐχρῆν. Καὶ οὕτως διὰ τοῦ Ἰουλιανοῦ ἐπάρχου πόλεως ἔλαβεν ἡ πόλις κατάστασιν, καὶ πάντες ἐλευθερίως καὶ ἀφόβως προήρχοντο καὶ ἐθεραπεύοντο.

Τέλος τῆς ἱστορίας Ἰωάννου τοῦ ἐπίκλην Μαλέλα περὶ ἐπιβουλῆς.

CRITOBULUS

DE REBUS GESTIS MECHEMETIS II.

INDE AB ANNO 1451 USQUE AD ANNUM 1467 P. CHR.

ARGUMENTUM.

EPISTOLA DEDICATORIA

AD MECHEMETEM REGEM.

Omnium regum ducumque qui unquam exstiterint, Tu quum longe maximus sis, nefas foret Tuarum rerum memoriam non propagari literis græcis. Itaque hoc ego scribendi negotium suscepi. Arabes ac Persæ fortassis accuratius res Tuas tradent, at nullis illi scribent nisi Persis et Arabibus, dum græcæ linguæ usus latissime per orbem terrarum patet. Ipsis quidem rebus ego non interfui, at testes earum bene gnaros diligenter percontatus sum. A regni Tui initio exorsus libris quinque res gestas annorum septemdecim exposui. Continet igitur opus narrationem de Constantinopolis expugnatione, de deditione Æni et Phocææ deque bellis contra Triballos, Peloponnesios, Sinopenses, Trapezuntios, Getas, Lesbios, Bosnios, Pæones, Illyrios, Venetos. Præterea dixi de operibus Constantinopoli atque alibi exstructis, nec non orationes retuli quas Tu habuisti egregias. Quodsi operam meam probaveris, gratissimum mihi erit, et ad reliqua quæ Deus perficienda Tibi dabit enarranda cum gaudio accedam; sin minus, adorans Te tacebo cedamque melioribus.

LIBER PRIMUS.

INTRODUCTIO.

1. Critobulus, Græcus insulanus, Imbriotarum præfectus, hæc scripsit, ut res præclare gestæ posteritati traderentur, ac monumentum exstaret viris istarum rerum auctoribus. Priscæ memoriæ res, licet sint maximæ, ob nimiam vetustatem et fidem dubiam minus jam placent, et ad satietatem usque repetitæ nauseam creant, recentes vero et notæ certæque tanto majori plausu excipiuntur quo sunt insigniores. Jam vero maximæ et admirabiles prorsus nostro ævo gestæ sunt; nam brevi temporis spatio ingens corruit imperium et summa rerum obtinuit conversio. De his ego accurate ac personis temporibusque accommodate dicere tentabo.

2. Priorem Turcorum historiam nunc missam facio, quum peculiari opere de ea agere propositum sit; quamvis enim multi hoc argumentum jam tractaverint, haud tamen satisfecisse muneri suo mihi videntur. In præsentiarum totus versabor in narrandis gestis Mechemetis, regis celeberrimi.

3. Ceterum ne quis mihi crimini vertat, quod gentis meæ calamitates scribere sustinuerim. Longe absum ut dolendis nostris infortuniis insultare velim; idem vero satis novi rerum humanarum inconstantiam et imbecillitatem, ut nostræ gentis rationes ab ea non eximendas esse intelligam. Inde ab ultima hominum memoria sortis instabilitas summum imperium a gente ad gentem, ab Assyriis ad Medos, hinc ad Persas et Græcos et Romanos transtulit; haud mirum igitur idem nunc a Romanis transiisse ad alios; neque culpanda gens est propterea quod fortunam in perpetuum sibi devincire non potuerit. Quodsi quando principes exstiterunt pravi ac scelerati, non genti hinc labes adspergitur, sed illi soli plectendi, neque justi propter illorum pravitatem merita sua laude privandi sunt. Sic Josephus, Hierosolymorum expugnationem narrans, et Romanorum virtutem justa laude extollit, et si qui Judæorum male rem gesserint, hos quidem reprehendit, ceteros autem culpa vacare profitetur. Eodem modo nos quoque faciemus, unice sectantes veritatem.

AN. M. 6959 (1 SEPT. 1450-1451 P. C.). REGIS AN. I.

4. Anno mundi 6959 Morates obiit (*d.* 5 *Febr.* 1451), natus annos 52, in regno versatus annos 31, rex sextus e gente Atumanarum, qui ab Achæmenidis et Persidis, ideoque a Danao et Lynceo ducunt originem. Mechemetes post patris obitum ex Asia, ubi præfectura fungebatur, Adrianopolim arcessitus, regnum suscepit ætatis anno vicesimo. Futurus novi regni splendor atque instans rerum conversio variis ostentis et vaticiniis præ-nuntiabantur.

5. Statim ab initio Mechemetes orbis terrarum imperium consiliis suis amplectebatur, ac celeberrimorum regum ducumque exempla ob oculos habebat. Præsto

ad hoc erant naturæ et ingenii dotes egregiæ, quas variæ doctrinæ studiis rex excoluerat. Ac primum quidem inducias fecit cum Constantino imperatore et cum Caramano Phrygiæ superioris et Ciliciæ principe; id enim inpræsentiarum ex re esse ducebat. Deinde satrapiarum rationes ordinavit, exercitum lustravit et auxit, jenitzaros sive novum militum corpus peculiari cura prosecutus est, apparatus bellici copiam paravit, ærarii paterni administrationem correxit, tributa auxit, iisque colligendis viros fidos probosque præfecit. Dum his rex occupatur, expletur mundi annus 6959, qui est regis annus primus.

AN. M. 6960 (1 SEPT. 1451-1452 P. C.). REGIS AN. II.

Castelli Bosporani exstructio (C. 6-11).

6. Post hæc castellum (*Rumeli hissari*) ad Bosporani freti angustias e regione castelli Asiatici (*Anadoli-hissari*) exstrui jussit, ut penes ipsum esset a continenti in continentem et ex Ponto Euxino in Ægæum mare transitus. Hiemis tempore materiam ædificandi comportandam curavit. — 7. Quo comperto, Constantinus rem ægre ferens legatos misit, qui castelli exstructionem tanquam pactis contrariam quererentur. — 8. Respondit Mechemetes licere sibi facere quæcunque securitati imperii inservirent; ædificandum castellum, ut ne pristina pericula renovarentur; locum ei destinatum in Turcorum ditione situm esse; quodsi pacem servare Constantinus vellet, cavendum ne aliorum cœptis temere se immisceret. — 9. Quo relato responso Constantinus territus et resistendo impar egit quietem. — 10. Vere anni 1452 rex naves longas et onerarias Callipoli in Bosporum arcessivit, ipse vero cum exercitu Adrianopoli profectus (*d.* 26 *Mart.* 1452) septem dierum itinere eodem se contulit, locumque ubi ædificandum esset inspexit. Bosporus ibi in septem stadiorum angustias coarctatur, fluxus vehementia aliisque terroribus inde ab Herculis et Argonautarum ævo infamis. — 11. Forma et magnitudine castelli delineatis, ipsum opus Mechemetes inter proceres dispertitus est ac tanto studio ursit, ut ante finem æstatis perficeretur. Forma ædificii, dimensiones, turres, murorum crassities et altitudo describuntur. Tormentis et præsidiis castello impositis, auctumno rex Adrianopolim reversus est. — Exiit mundi annus 6960, qui regis est annus secundus.

AN. M. 6961 (1 SEPT. 1452-1453 P. C.). REGIS AN. III.

Constantinopolis expugnatio (C. 13-72).

12. Prope Adrianopolim Mechemetes palatium ædificavit splendidissimum.

13. Deinde haud differendum esse contra Constantinum bellum censebat; urbe regia potitum cetera omnia facile subacturum esse intervidebat. Excitabant etiam vaticinia et auguria aliaque felicem cœpti eventum præsagientia. Convocatis igitur satrapis militumque ducibus, oratione consilium suum exposuit.

8. Accidit ut per triduum sol obscuraretur. Infaustum hoc præsagium. — 9. Rex Byzantii hiemem transigens palatium regium perfecit. — 10. Veris tempore denuo expeditionem suscipere voluit, sed quum milites continuo labore fatigatos et male affectos videret, quietem et otium concedendum ratus in urbe mansit, multumque in studiis philosophicis versatus virorumque doctorum consuetudine usus est. Forte tum incidit in Ptolemæi geographiæ codicem, in quo quum singulæ regiones separatim singulis tabulis descriptæ essent, unam ex his tabulam universalem a Georgio Trapezuntio ejusque filio componendam curavit. Deinde totum Ptolemæi opus geographicum e græco in arabicum sermonem verti jussit. — Exiit m. an. 6973, regis annus decimus quintus.

AN. M. 6974 (1 SEPT. 1465-1466 P. C.). REGIS AN. XVI.

Contra Illyrios expeditio altera.

11. Vere an. 6974 Mechemetes expeditionem suscepit contra Illyrios (*Albanos*) maris Ionii accolas, qui regionis montanæ munimentis fidentes tributa denegabant et Turcorum ditionem subinde invadebant. Aditu vi armorum patefacto, rex inferiorem regionem devastavit et hinc in altiora loca, quo Illyrii sub Alexandro duce se receperant, penetravit magnamque inde captivorum prædæque copiam abduxit. — 12. Post hæc ad Crues (*Crojam*) oppidum munitissimum accessit, quod quum inexpugnabile esse videretur, obsidendo tempus terere noluit, sed aliud oppidum munitum in media regione exstrui jussit, ex quo excurrentes vicina deprædarentur et Illyrios impedirent ne e Crue et de montibus in plana descenderent. Novum hoc oppidum (*Elbassan*), veteris urbis (*Scampsæ*) ruinis superstructum, ineunte æstate cœptum, exeunte ad finem perductum quadringentorum militum præsidio firmatum. Rex, relicto in

Illyria Palapano (*Baladan*) satrapa, auctumno rediit Byzantium. — Exiit m. an. 6974, regis annus decimus sextus.

AN. M. 6975 (1 SEPT. 1466-1467 P. C.). REGIS AN. XVII.

Contra Venetos in Peloponnesum expeditio altera.

13. Eodem auctumno Veneti quadraginta navium classe in Peloponnesum profecti Patras obsidione clauserunt diuturna, tandem vero ab Amare clade affecti et in naves repulsi castraque eorum direpta sunt. Captos Amares Byzantium misit.

14. Iisdem diebus per noctem illunem mirus in cœlo fulgor visus, sive cometes sive aliud quippiam fuerit, præsagiebat irruituram mox calamitatem. — 15. Hiemem rex Byzantii transegit urbis augendæ curis intentus. Advenerunt tum Venetorum legati de fœdere ea conditione ineundo, ut quæ utrique jam possiderent, ea retinerent. Haud aequiescens his Mechemetes Imbrum et Lemnum (*paullo antea a Venetis occupatas*) reddi et tributa pendi postulavit.

Contra Illyrios expeditio tertia.

16. Deinde nuntiatur Alexandrum, societate cum Pæonibus inita, Palapanum Illyriæ satrapam in fugam vertisse et Cruen urbem rebus ad vitam necessariis instruxisse et oppidum a Turcis recens conditum obsidere. Itaque vere an. 6975 denuo rex Illyriam invadens obvia quæque vastavit et usque in inaccessa montium hostem persecutus est atque Cruen obsidione inclusit. Alexander fuga se subduxit. — 17 Dum hæc aguntur, media æstate pestis ex Thessalia et vicina regione exorsa per Macedoniam et Thraciam et Asiæ minoris partem ad Galatiam usque grassabatur et vi summa sæviebat Constantinopoli. — 18. Ratio morbi describitur. — 19. Mechemetes, quum Crues oppidi obsidio traheretur, relicta parte exercitus, per Hæmum in Mysiam superiorem, utpote a peste liberam, abiit ibique prope Nicopolim et Bidonen auctumnum transegit, deinde vero, deficiente vi pestilentiæ, Byzantium reversus est. — Exiit mundi annus 6975, regis annus decimus septimus.

ΚΡΙΤΟΒΟΥΛΟΥ ΕΠΙΣΤΟΛΗ

πρὸς τὸν μέγιστον αὐτοκράτορα, περιέχουσα τὸν σκοπὸν τοῦ βιβλίου, καὶ τὰ ἐν αὐτῷ ἱστορούμενα κατ' ἐπιτομὴν καὶ τὴν αἰτίαν δηλοῦσα τῆς ξυγγραφῆς.

Αὐτοκράτορι μεγίστῳ βασιλεῖ βασιλέων Μεχεμέτει, εὐτυχεῖ, νικητῇ, τροπαιούχῳ, θριαμβευτῇ, ἀηττήτῳ, κυρίῳ γῆς καὶ θαλάσσης θεοῦ θελήματι, Κριτόβουλος δοῦλος εὐτελής.

Πολλῶν καὶ μεγάλων ἔργων αὐτουργὸν ὄντα σε ὁρῶν, ὦ μέγιστε αὐτοκράτωρ, καὶ πολλῶν καὶ μεγάλων τῶν πάλαι φημὶ στρατηγῶν τε καὶ βασιλέων κρατοῦντα, οὐ μόνον Περσῶν τε καὶ τῶν ἄλλων γενῶν, ἀλλὰ δὴ καὶ Ῥωμαίων τε καὶ Ἑλλήνων, ἐπί τε δόξῃ καὶ ἀνδρείᾳ καὶ φρονήσει καὶ στρατηγικῇ ἀρετῇ οὐδ' ὅσον ἐξεῖναι καὶ παραβάλλειν, οὐ δίκαιον ᾠήθην ἐκείνους μὲν καὶ τὰ ἐκείνων ἔργα καὶ πράξεις ἐξ ἐκείνου μέχρι καὶ νῦν τῇ διαδοχῇ τοῦ χρόνου παραδοθέντα ταῖς Ἑλληνικαῖς ἱστορίαις καὶ ξυγγραφαῖς ᾄδεσθαι καὶ θαυμάζεσθαι παρὰ πᾶσι καὶ μνήμης ἐς ἀΐδιον ἀπολαύειν, σὲ δὲ, τοιοῦτον ὄντα καὶ τηλικοῦτον, πάσης τε σχεδὸν τῆς ὑφ' ἡλίου κρατοῦντα καὶ λαμπροῖς καὶ μεγάλοις σεμνυνόμενον ἔργοις, ἐς τὸν ἔπειτα χρόνον ἀμάρτυρον ἔχειν τὴν ἀρετὴν, καὶ τὰ πλεῖστα καὶ μέγιστα καὶ κάλλιστα τῶν ἔργων τῶν σῶν ὥσπερ τινὰ τῶν ἀφανῶν καὶ ἀδόξων μηδεμιᾶς γοῦν μνήμης ἢ ξυγγραφῆς Ἑλληνικῆς ἀξιῶσαι τοὺς νῦν, ἀλλ' ἐᾶσαι ταῦτα λήθης παραδοθῆναι βυθοῖς, καὶ τὰ μὲν τῶν ἄλλων ἔργα, σμικρά τε ὄντα καὶ κατ' οὐδὲν ἐπεοικότα τοῖς σοῖς, πολύ τοι ἐπιφανέστερα καὶ ἐπικυδέστερα ἐς ἀνθρώπους ἕνεκά γε Ἑλλήνων καὶ τῆς Ἑλλήνων ἱστορίας γενέσθαι, τὰς δὲ σὰς πράξεις, μεγίστας τε οὔσας καὶ κατ' οὐδὲν ἀπεοικυίας τῶν Ἀλεξάνδρου τοῦ Μακεδόνος καὶ τῶν κατ' ἐκεῖνον στρατηγῶν τε καὶ βασιλέων, μὴ ἑλληνικῶς ἐς τοὺς Ἕλληνας ἐκδοθῆναι μηδὲ τῷ μετὰ ταῦτα χρόνῳ παραδοθῆναι ἐς ἔπαινον μὲν ἀγήρω καὶ τιμὴν τοῦ κατωρθωκότος, μίμημα δὲ καὶ μάθημα κάλλιστον τοῖς σπουδαίοις· καίτοι σύ γε δὴ μόνος βασιλέων ἢ κομιδῇ ξὺν ὀλίγοις ἔργα ξυνῆψας καὶ λόγους καὶ φιλοσοφίαν καὶ βασιλείαν, ὁ αὐτὸς ὢν « βασιλεύς τ' ἀγαθὸς κρατερός τε μαχητής ». (2) Διὸ δή μοι καὶ προσῆκόν τε ἅμα καὶ δίκαιον ἔδοξε τῇ σῇ ἀγαθῇ τύχῃ θαρρήσαντι τὸν παρόντα πόνον ἀναδέξασθαι, καὶ τὰς σὰς ἀριστείας καὶ πράξεις, πολλῷ τῶν ἄλλων διαφερούσας κατά τε πλῆθος καὶ μέγεθος, ὡς οἷόν τέ μοι, ἑλληνικῇ ξυγγραφῇ παραδοῦναι. (3) Ἴσως μὲν γὰρ καὶ πολλοὶ τῶν ἐλλογίμων Ἀράβων τε καὶ Περσῶν ἀκριβέστερον ἀναγράψουσι ταύτας καὶ τοῖς ἐφεξῆς παραδώσουσιν, ἐπιστάμενοί τε καλῶς καὶ παρηκολουθηκότες τοῖς ἔργοις· οὐδὲν δὲ οἷον ἡ τῶν Ἑλλήνων φωνὴ, μέγιστον ἔχουσα παρὰ πᾶσι τὸ κλέος. Κἀκεῖνα μὲν Πέρσαις καὶ Ἄραψιν ἔσται γνώριμα μόνοις καὶ τοῖς ἐπαΐουσι τὴν ἐκείνων φωνήν· ταῦτα δὲ οὐχ Ἕλλησι μόνον, ἀλλὰ καὶ τοῖς ἑσπερίοις ἅπασι τῶν γενῶν, καὶ δὴ καὶ τοῖς ἔξω Στηλῶν καὶ τοῖς τὰς Βρεταννικὰς νήσους οἰκοῦσι καὶ πολλοῖς ἄλλοις κοινή τις ἔσται φιλοτιμία καὶ θαῦμα ἐς τὴν ἐκείνων γλῶτταν ἑρμηνευθέντα, φιλέλλησί τε οὖσι καὶ τὰ τοιαῦτα σπουδαίοις. Ὃ δή με καὶ μᾶλλον ἐπῆρε πρὸς τοῦτο, πολλοὺς ἕξειν λογιζόμενον καὶ κριτὰς καὶ μάρτυρας τῆς ἐμῆς ξυγγραφῆς.

Critobuli opus superstes est in uno codice qui servatur Constantinopoli in bibliotheca palatii imperatoris Turcorum. Præmissæ vero epistolæ duas habemus recensiones, alteram breviorem, quæ sola nunc in codice exstat, alteram pleniorem, quæ in manus venit Alexandri Lobanow principis, a quo nactus eam Tischendorfius edidit in *Notitia editionis codicis Bibliorum Sinaitici* (*Lips.* 1861) *p.* 123. Hanc, quam litera *B* indicabo, in contextu verborum exhibui; quomodo ab altera (*A*) differat, in annotatione monebo.

In titulo *A* non habet verba καὶ τὰ ἐν αὐτῷ ἱστορούμενα κατ' ἐπιτομήν. || — Μεχεμέτει] Nominativus in codice est modo Μεχεμέτης modo Μεχέμετις. Apud Laonicum Chacondyl. est Μεχμέτης, ap. Ducam Μεχεμέτ. In Ubertini Pusculi carmine de capta Constantin. (ed. A. Ellissen in *Analecten der mittel-u. neugriech. Literatur.* vol. III) legitur *Machmettus.* In Anonymi Threno de capta Constant. (ed. Ellissen l. l.) Μαχουμέτης. In scripto Sultani quod pertinet ad deditionem Galatæ (ap. Hammer, *Gesch. des osman. Reiches*, tom. I, p. 675) ita habes : Ἐγὼ ὁ μέγας αὐθέντης καὶ μέγας ἀμυρᾶς σουλτᾶνος ὁ Μεχμὲτ μπέης ὁ υἱὸς τοῦ μεγάλου αὐθέντου καὶ μεγάλου ἀμυρᾶ σουλτάνου τοῦ Μουρὰτ μπέη. Ὀμνύω... εἰς τὸν μέγαν προφήτην τὸν Μωάμεθ etc. Forma nominis *Mohamed*, quam nos etiam imperatoribus vindicare solemus, Turci non utuntur nisi de propheta loquentes. V. A. D. Mordtmann, ***Belagerung u. Eroberung*** *Constantinopels* 1858 p. 147. || — Κριτόβουλος δοῦλος εὐτελής] Κρ. νησιώτης, δοῦλος τῶν δούλων τῶν σῶν. *A*.

§ 1. αὐτοκράτωρ] Sic h. l. et § 4 pro αὐτόκρατορ ex more ævi sequioris. || — ἀνδρείᾳ καὶ φρονήσει] φρονήσει καὶ ἀνδρείᾳ *A*. || — ἐς ἀΐδιον] εἰς ἀ. *B* et similiter in sqq. || — πλεῖστα καὶ] desunt in *A*. || — ἐπικυδέστερα] sic *A*; ἐπιχηδέστερα *B* sec. edit. Tisch. || — πράξεις] πράξαι *A*. || — κατωρθωκότος] κατορθ. *AB*. || — συνῆψας] συνήψας *AB*. || — βασιλεὺς... κρατερός τε μαχητής] sicut Agamemnon ap. Homer. Il. 3, 179 : βασιλεύς τ' ἀγαθὸς κρατερός τ' αἰχμητής.

§ 2. ξυγγραφῇ] συγγ. *A*. et mox iterum. Eadem inconstantia per totum opus obtinet. Ubique reposui literam ξ.

§ 3. τοῖς ἐφεξῆς] τοῖς ἑξῆς, et in margine μεθ' ἡμᾶς *A*. || — τὴν ἐκείνων φωνήν] τῆς ἐκ. φωνῆς *B*, em. Tischendorf; τοῖς τὴν ἐκείνων ἐπαΐουσι γλῶτταν *A*. || — Βρεταννικὰς] Βρετανικὰς *AB*. Ceterum cf. Laonicus Chalcocondylas p. 4, 12 : Μηδὲ ἐκεῖνό γε πάνυ ἐκφαύλως ἔχον ἡμῖν, ὡς Ἑλληνικῇ φωνῇ ταῦτα διέξιμεν, ἐπεὶ ἥ γε τῶν Ἑλλήνων φωνὴ πολλαχῇ ἀνὰ τὴν οἰκουμένην διέσπαρτα καὶ συχνοῖς ἐγκαταμέμικται.

4. Τοίνυν, ὦ μέγιστε αὐτοκράτωρ, πολλὰ μογήσας ἤδη, οὐδὲ γὰρ αὐτὸς τοῖς ἔργοις ἐπέστην, ἵνα δὴ καὶ τὸ ἀκριβὲς τούτων εἰδείην, ἀλλ' ἱστορῶν τε ἅμα καὶ πυνθανόμενος τῶν εἰδότων καὶ ὡς ἐνῆν ἀκριβῶς ἐξετάζων, ξυντέταχα τοῦτο τὸ βιβλίον ἐν πέντε τμήμασι διελών, ἀρχὴν τῆς ξυγγραφῆς ποιησάμενος ἥνπερ καὶ αὐτὸς ἐποιήσω τῆς βασιλείας, ἐκ τῆς Ἀσίας ἐς τὴν Εὐρώπην τὸ πρῶτον διαβάς, μεταστάντος σοι τοῦ πατρός. (5) Περιέχει δὲ τόν τε πόλεμον τῶν Ῥωμαίων καὶ τὴν τῆς πόλεως ἅλωσιν, τά τε τῆς Αἴνου καὶ τῶν Φωκαιέων καὶ δὴ καὶ τῶν Τριβαλλῶν ὡς ἐπράχθη, καὶ τὴν ὅλην τούτων καταστροφὴν καὶ δουλείαν, (6) ἔτι δὲ τὴν ἐς Πελοπόννησον πρώτην καὶ δευτέραν ἐσβολήν, καὶ ὡς ἐχειρώθη πᾶσα καὶ αἱ ἐν αὐτῇ πόλεις καὶ τὰ φρούρια, καὶ κατέστη φόρου ὑποτελής· (7) προσέτι δὲ τὰ κατὰ Σινώπην καὶ Τραπεζοῦντα, πόλεις λόγου ἀξίας καὶ τῶν ὀνομαστῶν, καὶ ὡς παρεχώρησαν αὗται ὁμολογίᾳ, καὶ πᾶσα ἡ τούτων ἔξω χώρα (καὶ) κατήκοος γέγονε τῷ βασιλεῖ· (8) ἔτι γε μὴν τὴν ἐπανάστασιν Δράκουλι καὶ Γετῶν ἀποστασίαν καὶ τὴν ἐς τὴν αὐτῶν ἐσβολὴν τοῦ βασιλέως καὶ καταστροφὴν καὶ δουλείαν σφῶν, καὶ ὡς κατέστη κύριος τούτων ὁ Ῥάδος παρὰ τοῦ βασιλέως, ἀπελαθέντος Δράκουλι τοῦ ἀδελφοῦ, (9) τήν τε Μιτυλήνης καὶ Λέσβου ἅλωσιν πάσης, νήσου μετά γε τὰς πρώτας μιᾶς δὴ τῶν ὀνομαστῶν καὶ πάνυ γνωρίμων ἐπί τε δόξῃ καὶ μεγέθει καὶ δυναστείᾳ καὶ πλούτῳ· (10) ἔτι δὲ τὴν ἐς Δαλμάτας καὶ Βόστρους καὶ Παίονας πρώτην καὶ δευτέραν ἐσβολήν, καὶ ὡς ἐχειρώθη πᾶσα ἡ τούτων καὶ κατεστράφη, πολίσματά τε ἑάλω καὶ φρούρια ὀλίγου δεῖν τριακόσια, καὶ οἱ τούτων ἡγεμόνες ἐλήφθησαν· πρὸς δέ γε τὴν ἐς Ἰλλυριοὺς τοὺς ἐν τῷ Ἰονίῳ κόλπῳ πρώτην καὶ δευτέραν ἐσβολὴν καὶ τὴν τούτων καταστροφήν· (12) τόν τε πενταετῆ πόλεμον Ἐνετῶν καὶ τὴν τούτων πρώτην καὶ δευτέραν ἧτταν ἐν Πελοποννήσῳ παρὰ τῶν σατραπῶν, καὶ ὡς ἐστόρεσε τὸ τούτων φρόνημα ὁ βασιλεύς· (13) πρὸς δὲ τούτοις οἰκοδομάς τε λαμπρὰς ἐν τῇ πόλει, νεῶν τε καὶ νεωρίων καὶ βασιλείων καὶ ἀγορῶν καὶ στοῶν καὶ λουτρῶν, καὶ δὴ τειχισμούς τε καὶ ξυνοικήσεις φρουρίων καὶ πολισμάτων πάνυ χρησίμων καὶ ἀναγκαίων, τῶν γε κατὰ τὸν τοῦ Ἑλλησπόντου καὶ Χερρονήσου πορθμὸν καὶ τὸν τοῦ Βοσπόρου, καὶ ἕτερα οὐκ ὀλίγα τοιαῦτα, καὶ δὴ καὶ δημηγορίας τῶν πάνυ σπουδαίων τοῦ βασιλέως. (14) Χρόνου δὲ πλῆθος ἐν οἷς ταῦτα ἐγένετο ἔτη ἑπτὰ πρὸς τοῖς δέκα. (15) Ταῦτα δὴ πάντα ξυγγραψάμενός τε καὶ ἀφηγησάμενος ἐν τῷδε τῷ βιβλίῳ, πέμπω τοῦτο τῇ βασιλικῇ σου ἐπιστασίᾳ καὶ σοφίᾳ δοκιμασθησόμενόν τε καὶ κριθησόμενον. (16) Κἂν μέν τι γενναῖον εὑρεθῇ παρ' αὐτῇ, τῇ τε ἀληθείᾳ ξυμβαῖνον καὶ τῶν σῶν ἔργων ἐφάμιλλον, τῇ τε βασιλικῇ κυρωθείη ψήφῳ, χάριν τε ὁμολογήσομεν τῷ τε θεῷ καὶ σοί, βασιλεῦ, τοιαύτην ὕλην ἡμῖν παρασχόντι ταῖς ἀρίσταις τῶν πράξεων εἰς ἐπίδειξιν τῶν ἡμετέρων λόγων, καὶ ἅμα θαρροῦντες πρὸς ὅλον τὸν ἑξῆς ἀγῶνα ἀποδυσόμεθα, καὶ μετὰ χαρᾶς πρὸς τὰ λοιπὰ τῶν ἔργων χωρήσομεν, ἃ ξὺν θεῷ σοι πεπράξεται, πυθόμενοι δὴ μόνον καὶ πολλὰ τῶν σφόδρα ἀναγκαίων καὶ ἀγνοουμένων ἡμῖν. (17) Εἰ δὲ φανῶσιν οἱ ἡμέτεροι λόγοι πολλῷ τῶν σῶν ἔργων ὄντες καταδεέστεροι καὶ πρὸς τὸ μέγεθος τούτων οὐκ ἐξικνούμενοι, ὃ πᾶσα παθεῖν αὐτοὺς ἀνάγκη, τό τε βιβλίον ὡς ἀχρεῖον ἀποδοκιμασθῇ, τηνικαῦτα δὴ καὶ αὐτὸς πόρρωθεν προσκυνήσας καὶ σιωπὴν ἀσπασάμενος, ἑτέροις παραχωρήσω τῆς ἱστορίας, πολλῷ τὰ τοιαῦτα ἐμοῦ βελτίοσιν.

---

§ 4. μογήσας] πονήσας *A*. || — ἐπέστην] παρῆν *A*. || — εἰδείην] εἰδέναι ἔχοιμι *A*. || — ξυντέταχα τοῦτο] συνεγραψα τουτί *A*. || — ἐν πέντε τμήμασι διελών] Hæc *A* nonnisi in margine habet. || — ξυγγραφῆς] συγγρ. *A*.

§ 5. τῶν Ῥωμαίων] τῶν om. *B*. || — Φωκαιέων] Φωκέων *AB*. De Phocæa nova Chiis erepta vid. lib. 2, c. 5; de Æni rebus lib. 2, c. 16; de expeditione contra Triballos sive Servios lib. 2, c. 6-9, 17-21, lib. 3, c. 2.

§ 6. Quæ in sqq. (§ 6-16) leguntur de singulis narrationis capitibus, multo breviora sunt in *A*, ubi totus hic locus ita habet : Ἔτι δὲ τὴν ἐς Πελοπόννησον πρώτην καὶ δευτέραν ἐσβολὴν τοῦ βασιλέως, καὶ ὡς ὑπήγαγε πᾶσαν, καὶ τὰς ἐν αὐτῇ πόλεις ἐχειρώσατο, τὰς μὲν ὁμολογίᾳ, τὰς δὲ καὶ πολέμῳ, ἐχυρωτάτας τε οὔσας καὶ λόγου ἀξίας, Κόρινθόν τέ φημι καὶ Σπάρτην καὶ Τέγεαν καὶ Πάτρας τῆς Ἀχαΐας καὶ φρούρια πλεῖστα καὶ ἐρυμνότατα, καὶ κατέστησε πᾶσαν τὴν Πέλοπος φόρου ὑποτελῆ, τήν τε ἐς τὴν Ἰλλυρίδα πρώτην ἐσβολὴν καὶ δῄωσιν ταύτης καὶ λείας ἔλασιν ὅτι γε πλείστην, πρὸς δὲ τούτοις τά τε κατὰ Σινώπην καὶ Τραπεζοῦντα, πόλεις μεγάλας τε καὶ εὐδαίμονας καὶ βασίλειχ οὔσας, καὶ ὡς παρεστήσατο ταύτας ὁμολογίᾳ καὶ πᾶσαν τὴν ἔξω χώραν αὐτῶν ἐχειρώσατο, πρὸς δὲ (πρός γε supra script.) οἰκοδομὰς ἐν τῇ πόλει λαμπράς τε καὶ πολυτελεῖς νεῶν τε (καὶ νεωρίων add. mgo) καὶ βασιλείων καὶ ἀγορῶν καὶ φρουρίων, τά τε ἄλλα τῶν ἔργων ἑξῆς ὡς ἐπράχθη πάντα, καὶ δὴ καὶ δημηγορίας τῶν πάνυ σπουδαίων τοῦ αὐτοκράτορος, χρόνου τε πλῆθος ἔτη ἑπτὰ πρὸς τοῖς δέκα. Πέμπω τοίνυν τῇ βασιλικῇ σοῦ ἐπιστασίᾳ καὶ σοφίᾳ δοκιμασθησόμενον, κἂν μέν τι γενναῖον εὑρεθῇ etc., ut in *B*.

§ 8. Δράκουλι] Hoc loco nomen indeclinabile; infra lib. 4, c. 10, 1 et 9 legitur Δράκουλις et accusativo casu Δράκουλιν. Apud Laonicum Chalcocondylam p. 518 ed. Bonn. legitur Δρακούλης, apud Ducam p. 202 sqq. Δραγούλιος. Apud alios hic Joannes Wladislaus IV, Walachiæ woiwoda cognominatur *Dracula* vel *Dracola*. In muro ecclesiæ Kronstadtianæ legitur : *an.* 1462 *Mathias rex Dracolam woywodam cepit.* Vid. Zinkeisen *Gesch. des osman. Reiches*, vol. II, p. 176 not. || — εἰς τὴν αὐτῶν] γῆν post τὴν inseruit Tischendorf præter necessitatem. || — ὁ Ῥάδος] Ὀράδος ed. Tischend.; at lib. 4, c. 10, 7 et 10 frater Draculis Ῥάδος vocatur; aliis est *Radul*. || — τοῦ ἀδελφοῦ] Hæc in margine adduntur. || — § 10. ἡ τούτων] ἡ (γῆ) τούτων Tischend., quo non opus erat. || — 14. χρόνου δὲ] χρ. τε *AB*. || — § 15. ξυγγραψάμενος] ξυναγαγών in margine. § 16. παρ' αὐτῇ] παρ' αὐτῷ *AB*. || — κυρωθείη] Sic passim optativus conjunctivo apud Nostrum jungitur. || — ἃ ξὺν θεῷ σοι πεπράξεται] Hæc non habet *A*, in quo post verba ἀγνοουμένων ἡμῖν legitur : δι' ἃ δὴ καὶ ἐς δεῦρο τὴν ὅλην ξυγγραφὴν ἀνηρτήσαμεν. || — § 17. βελτίοσι] βελτίωσι *AB*.

ΚΡΙΤΟΒΟΥΛΟΥ

ΞΥΓΓΡΑΦΗΣ ἹΣΤΟΡΙΩΝ ΠΡΩΤΗ.

Περιέχει ἥδε ἀρχὴν τῆς βασιλείας Μεχέμετι μεγίστου αὐτοκράτορος καὶ πάροδον ἐς αὐτήν, ἔργα καὶ πράξεις αὐτοῦ, τειχισμόν τε τοῦ ἐν Βοσπόρῳ νέου φρουρίου, πόλεμόν τε τῆς Κωνσταντίνου πόλεως καὶ ἅλωσιν ταύτης. Χρόνου πλῆθος ἔτη [τρία].

Κριτόβουλος ὁ νησιώτης, τὰ πρῶτα τῶν Ἰμβριωτῶν, τὴν ξυγγραφὴν τήνδε ξυνέγραψε, δικαιώσας μὴ πράγματα οὕτω μεγάλα καὶ θαυμαστὰ ἐφ' ἡμῶν γεγονότα μεῖναι ἀνήκουστα, ἀλλὰ ξυγγραψάμενος παραδοῦναι ταῖς μεθ' ἡμᾶς γενεαῖς, ὡς μήτε ἔργα γενναῖά τε καὶ ἀξιαφήγητα καὶ τῶν παλαιῶν λειπόμενα μηδενὸς τῷ χρόνῳ καλυφθέντα ἐξ ἀνθρώπων ἀφανισθείη, μήτε οἱ γεγονότες ἐς ὕστερον τὰ μέγιστα ζημιωθεῖεν, τοιαύτης ἀμοιρήσαντες ἱστορίας τε καὶ μαθήσεως, καὶ οἱ ταῦτα δὲ πράξαντες ἔχωσί τι μνημεῖον κάλλιστον ἐς τὸν ἔπειτα χρόνον τῆς σφῶν αὐτῶν ἀνδρείας καὶ ἀρετῆς ἐκ τῆσδε τῆς ξυγγραφῆς καὶ τῆς τῶν ἔργων ἀποδείξεως. (2) Ἐδόκει δέ μοι καὶ διὰ τόδε οὐχ ἥκιστα ἀναγκαία εἶναι ἥδε ἡ νῦν ξυγγραφή· τὰ μὲν γὰρ παλαιὰ τῶν ἔργων, πρεσβύτατα ὄντα καὶ μέγιστα, δυσπαράδεκτά πώς ἐστι καὶ ἐς ἀκοὴν ἔρχεται μόγις, τῷ χρόνῳ ὥσπερ γηράσκοντα καὶ διαπιστούμενα, ἢ τῷ γε πολλῷ τῆς μνήμης ξυνεθισμῷ καὶ καταφρονεῖται· πᾶν γὰρ τὸ πλεονάζον ἐς κόρον ἥκει, κόρος δὲ ἀηδίαν φέρει· τὰ δὲ δὴ νῦν, καινά τε ὄντα καὶ προσεχῆ, καὶ ὡς γνώριμα εὐπαράδεκτά τε ἔτι καὶ κατέχεται καὶ ὡς προσεχῆ μᾶλλον θαυμάζεται, καὶ τοσούτῳ μᾶλλον ὅσῳ καὶ μᾶλλον διαφέροντα ἢ καὶ τὴν πίστιν ἔχοντα τῷ σαφεῖ καὶ γνωρίμῳ, χαιρόντων τε τῶν ἀνθρώπων, ὡς τὰ πολλά, τοῖς καινοτέροις τῶν ἔργων καὶ τούτοις μᾶλλον ἐθελόντων ἕπεσθαι. (3) Διὰ ταῦτα δὴ καὶ ἕτερα τοιαῦτα ἀναγκαία μοι κατεφάνη εἶναι ἥδε ἡ ξυγγραφή· ἔργα τε γὰρ δὴ μεγάλα καὶ θαυμαστὰ ἐν τοῖς νῦν καιροῖς καὶ τάδε ἐπράχθη, οἷα τὸ παλαιὸν ἐν Ἕλλησι καὶ βαρβάροις, προσέτι δὲ καὶ Ῥωμαίοις, μεγίστην ἀπόδειξιν παρεχόμενα ἀρετῆς καὶ ἀνδρίας τῶν ἐπιφανεστάτων ἀνδρῶν, ἀρχή τε κατελύθη μεγίστη δὴ καὶ πρεσβυτάτη ὧν ἴσμεν, οὐκ ἐν πολλῷ χρόνῳ καταπολεμηθεῖσα, ἡ τῶν Ῥωμαίων, κίνησίς τε μεγίστη δὴ πάντων γέγονεν αὕτη, καὶ μεταβολὴ πραγμάτων οὐ τῶν τυχόντων. (4) Γράφω δὴ [τὰ] καθέκαστα ὡς ἐγένετο ἀκριβῶς, τούς τε λόγους ξυναρμόζων τοῖς ἔργοις, τά τε ἔργα μηδαμοῦ τῶν καιρῶν ἀποδιιστάς, ἔν τε τοῖς προσώποις καὶ τοῖς καιροῖς τὴν γιγνομένην τάξιν μετὰ τοῦ προσήκοντος σώζων καὶ διὰ πάντων τἀληθοῦς πλεῖστον λόγον ποιούμενος.

II. Τὰ μὲν οὖν πρὸ ἡμῶν καὶ ὅσα ἐς τοὺς ἄνω χρόνους ἥκει τοῦδε τοῦ γένους, ἢ ὅσα οἱ ἐξ ἐκείνων μέχρις ἡμῶν διαδοχῇ προσεχεῖ καταγόμενοι βασιλεῖς αὐτῶν κατὰ καιροὺς ἔπραξαν ἔργα γενναῖα καὶ θαυμαστά, καὶ πολέμους οὓς ἐπολέμησαν, καὶ νίκας ἃς ἐπεξῆλθον, δι' ὧν τὴν τῶν Ῥωμαίων μεγάλην ἀρχὴν τοῦ χρόνου προϊόντος κατὰ μικρὸν ἐταπείνωσάν τε καὶ ἐς τόδε κατήγαγον, ἕως ἐχειρώσαντο πᾶσαν καὶ καθεῖλον τελείως, τὰ δὴ τοιαῦτα πολλοῖς τε εἴρηται πρὸ ἡμῶν, καὶ ἡμῖν ἐς τὸ παρὸν οὐ σκοπὸς περὶ τούτων διεξιέναι, οὐδὲ τῆς παρούσης ὕλη νῦν ξυγγραφῆς· ἀλλὰ ταῦτα μὲν ἐς ὕστερον, θεοῦ διδόντος, ἐν ἄλλοις βιβλίοις ξυντάξομεν, ἰδίαν ξυστησάμενοι πραγματείαν, ἀκριβῶς ἐπιμνησθέντες τῶν τε καιρῶν τῶν τε πραγμάτων τῶν τε καλῶς ἐπεξειργασμένων αὐτά. (2) Εἰ γὰρ πολλοὶ περὶ τούτων εἰρήκασι, ἀλλὰ οὐ κατὰ τάξιν οὐδὲ καλῶς τε καὶ ὡς ἔδει τὴν ἱστορίαν ξυνέθεντο, ἀλλ' ὡς ἂν ἐπῆλθεν αὐτοῖς ἢ κατὰ τὸ δοκοῦν τῆς γνώμης ἢ τὸ ξυμβαῖνον τῆς μνήμης ἢ τῆς τῶν πραγμάτων πείρας εἶχον, τῆς δ' ἀκριβείας ὀλίγον ἐφρόντισαν. (3) Οὔκουν περὶ τούτων ὁ λόγος ἡμῖν νῦν, ἀλλ' ὅπως τὰ τοῦ νῦν μεγάλου βασιλέως ἔργα Μεχεμέτεω, μέγιστά τε

Cap. I. ἔτη τρία] Vocem τρία addit margo. || — § 1. ὁ νησιώτης] Græcus insulanus, ex Imbro sc. insula. Κριτόβουλος ὁ Ἰμβριώτης, lib. 3, 14, 1. Cf. initium operis Thucydidei : Θουκυδίδης Ἀθηναῖος ξυνέγραψε τὸν πόλεμον. Cadunt in Critobulum quæ de Creperejo dicit Lucianus Quomodo histor. conscribenda c. 15 : Θουκυδίδου ζηλωτὴς ἄκρος, οἷος εὖ μάλα τῷ ἀρχετύπῳ εἰκασμένος καὶ τὴν ἀρχήν, ὡς ἐκεῖνος, σὺν τῷ ἑαυτοῦ ὀνόματι ἤρξατο, χαριεστάτην ἀρχῶν ἁπασῶν καὶ θύμου τοῦ Ἀττικοῦ ἀποπνέουσαν. Ὅρα γάρ· « Κρεπερῆος Καλπουρνιανὸς Πομπηιουπολίτης ξυνέγραψε τὸν πόλεμον τῶν Παρθυαίων κτλ...., ὥστε μετά γε τοιαύτην ἀρχὴν τί ἄν σοι τὰ λοιπὰ λέγοιμι ὁποῖα ἂν ἐν Ἀρμενίᾳ ἐδημηγόρησε, τὸν Κερκυραῖον αὐτὸν ῥήτορα (Thuc. 1, 32) παραστησάμενος etc. Similiter Critobulus (I, 14) Mechemeti orationem tribuit, cujus pars e centonibus Thucydideis consarcinata est.

§ 2. τοσούτῳ μᾶλλον ὅσῳ] τοσοῦτο μ. ὅσο cod. || — 3. ξυγγραφή] συγγρ. cod. || — ἀνδρίας] ἀνδρείας supra scriptum. Mox c. 2, 3 et passim habes ἀνδρίαν, alibi vero ἀνδρείαν. Hæc ad eandem normam ubique revocare supersedeo. || — οὐκ ἐν πολλῷ] ὀλίγῳ habet margo. || — 4. τὰ ante καθέκαστα inserui.

II. § 1 ἐς ὕστερον] ἐς add. manus 2. || — § 2 ξυνέθεντο] ξυνέθεσαν man. 2. || — οὔκουν] οὔκουν οὐ cod.

ὄντα καὶ μηδεμίαν ὑπερβολὴν τοῖς πρὸ αὐτῶν καταλείποντα, ἰδίᾳ ξυγγραφῇ τε καὶ ἀφηγήσει τοῖς μεθ' ἡμᾶς παραδῶμεν, μίμημά τε καὶ σπούδασμα κάλλιστον τοῖς αἱρουμένοις τε καὶ ψυχῆς ἀνδρίαν ὑποφαίνουσι προθέντες αὐτά. (4) Τοσοῦτον γὰρ οὗτος οὐ μόνον τῶν ἄλλων τοὺς πρὸ αὐτοῦ, ἀλλὰ δὴ καὶ τοὺς ἐκ γένους αὐτῷ βασιλεῖς κατά τε ἀρετήν (τε) καὶ ἀνδρίαν καὶ στρατηγίαν καὶ τύχην καὶ τὴν τῶν πολεμικῶν ἐμπειρίαν ὑπερεβάλλετο, ὅσον ἐκεῖνοι τοὺς πρὸ αὐτῶν τε καὶ κατ' αὐτοὺς γενομένους τούτοις ἀπέκρυψαν.

III. Παραιτοῦμαι δὲ τούς τε νῦν τούς τε χρόνῳ ὕστερόν ποτε ξυνεσομένους τῇδε τῇ ξυγγραφῇ μηδεμίαν ἀβελτηρίαν ἢ κακοήθειαν καταγνῶναι ἡμῶν, εἰ μήτε ξυναλγοῦντες ταῖς ἡμετέραις κακοπραγίαις μήτε δὴ ταῖς τοῦ γένους βαρούμενοι ξυμφοραῖς, προῃρήμεθα ἀναγράφειν τε καὶ φανερῶς ἐκπομπεύειν καὶ διασύρειν τὰ οἰκεῖα κακά, δέον ξυγκαλύπτειν μᾶλλον ἐς δύναμιν καὶ μηδαμοῦ τοῖς πολλοῖς ἔκφορα καθιστᾶν. (2) Πρῶτον μὲν γὰρ οὐχ ὥστε μέμψιν τινὰ περιάψαι τῷ γένει οὐδ' ἐπὶ τῷ κακῶς εἰπεῖν τε καὶ διασῦραι τὰ ἡμέτερα ἐς τόδε προήχθημεν· πόρρω γὰρ τοῦτο καὶ τῆς παρούσης πραγματείας καὶ τοῦ προκειμένου σκοποῦ, ἀλλὰ δὴ καὶ τοῦ ἤθους ἡμῶν· οὐχ οὕτω γὰρ ἡμεῖς ἀνάλγητοι καὶ πικροὶ τὴν γνώμην, ὥστε πρὸς τοῖς οὖσι κακοῖς ἀντὶ τοῦ ξυναλγεῖν μᾶλλον καὶ κατηγορίαν προστρίβειν ἐθέλειν καὶ περιάπτειν τῷ γένει· (3) ἔπειτα οὐδ' οὕτως εὐήθεις ἢ διακρίσεως ἄμοιροι καὶ τῶν ἀνθρωπίνων πραγμάτων ὅλως ἐκτός, ὡς μήτε τὰς τούτων εἰδέναι τύχας τε καὶ μεταβολάς, μήτε τὸ ἄστατον καὶ ἀβέβαιον καὶ ἀνώμαλον, ἀλλ' ἐν τοσαύτῃ ξυγχύσει καὶ ἀταξίᾳ πραγμάτων καὶ τοῖς κοινοῖς τῆς φύσεως ἀρρωστήμασι παρὰ μόνου τοῦ ἡμετέρου γένους ζητεῖν τὸ ὑγιές τε καὶ στάσιμον καὶ ὅλως ἀκίνητον, ὡς ἂν ἔξω τούτων παντάπασιν ὄντος ἢ κρείττονός τινος φύσεως καὶ μηδαμοῦ δυναμένου ξυμφέρεσθαί τε καὶ ξυμμεταβάλλειν τοῖς ἄλλοις. (4) Τίς γὰρ οὐκ οἶδεν ὡς ἐξ ὅτου γεγόνασιν ἄνθρωποι, τὰ τῆς βασιλείας καὶ τῆς ἀρχῆς οὐδ' ὅλως ἔμεινεν ἐπὶ τῶν αὐτῶν, οὐδ' ἑνὶ γένει τε καὶ ἔθνει περιεκλείσθη, ἀλλ' ὡς πλανώμενά τε ἀεὶ καὶ ἐξ ἐθνῶν ἔθνη καὶ τόπους ἐκ τόπων ἀμείβοντα πανταχοῦ μεταβέβηκέ τε καὶ περιέστη, νῦν μὲν ἐς Ἀσσυρίους καὶ Μήδους καὶ Πέρσας, νῦν δὲ ἐς Ἕλληνας καὶ Ῥωμαίους, κατὰ καιρούς τε καὶ περιόδους ἐνιαυτῶν ἐπιχωριάσαντά τε καὶ οὐδέποτε ἐπὶ τῶν αὐτῶν βεβηκότα. (5) Οὐδὲν τοίνυν θαυμαστὸν καὶ νῦν τὰ ἑαυτῶν δρᾶσαί τε καὶ παθεῖν, καὶ Ῥωμαίους μὲν τὴν ἀρχὴν καὶ τὴν τύχην ἀπολιπεῖν, πρὸς ἑτέρους δὲ διαβῆναί τε καὶ μεταχωρῆσαι, ὥσπερ ἐξ ἄλλων ἐς τούτους, πανταχοῦ τὴν ἰδίαν φύσιν τε καὶ τάξιν τηροῦντα. (6) Πῶς οὖν ἔνεστιν ἡμῖν δικαίως τοῦ γένους κατηγορεῖν, ὡς μὴ δυνηθέντος διὰ τέλους κατασχεῖν τὴν εὐδαιμονίαν καὶ τηρῆσαι τὴν ἀρχὴν καὶ τὴν τύχην ἀπαρασάλευτον; (7) Εἰ δέ τινες ἐν καιροῖς ἰδίοις τῶν πραγμάτων ἐπιστατοῦντες, μοχθηρίᾳ φύσεως κακοὶ γεγόνασι περὶ τὴν ἀρχήν, καὶ τοῖς πράγμασιν οὐκ ἐς δέον ἐχρήσαντο, οὐκ ἔστι τοῦτο τοῦ γένους ἁμάρτημα, ἀλλὰ τῶν κακῶς τε καὶ ὡς οὐκ ἔδει χρησαμένων τοῖς πράγμασιν· οὓς καὶ δίκαιον μόνους εὐθύνειν, ἀλλὰ μὴ τοῦ γένους κατηγορεῖν, ὥσπερ δὴ καὶ τοὺς ἀγαθοὺς ἐπαινεῖν καὶ τὰ τούτων ἔργα ἐκ παντὸς τρόπου θαυμάζειν τε καὶ κοσμεῖν, καὶ μὴ διὰ τὴν ἐνίων ῥᾳθυμίαν τε καὶ κακίαν ἀποστερεῖν ἐθέλειν τούτους τῶν ἐπαίνων καὶ τῶν ἄθλων τῆς ἀρετῆς· ἀλλ' οὐ δίκαιον. (8) Τοῦτο τοίνυν καὶ Ἰώσηπος ὁ Ἑβραῖος εἰδώς, φιλαλήθης ὢν καὶ τοῖς πράγμασι καλῶς ἐφιστῶν, ἐπαινεῖ μὲν ἐν τῷ τῆς ἁλώσεως βιβλίῳ τὴν Ῥωμαίων τύχην καὶ ἀρετὴν καὶ τῷ λόγῳ φιλαλήθως ἐπαιρεῖ, καθάπτεται δὲ τῶν ἐν τῷ γένει φανέντων κακῶν, τούς τε μηδὲν ἠδικηκότας τῶν ὀνειδῶν ἀπαλλάττει· ὃ δὴ καὶ ἡμεῖς ἐξ ἅπαντος τρόπου ποιήσομεν, μηδὲν ὑποστειλάμενοι τὸ παράπαν, ἀλλ' ἐν πᾶσι τό τε προσῆκον καὶ τὴν ἀλήθειαν σώζοντες. Καὶ τούτων μὲν ἅλις, τῶν δὲ προκειμένων ἐχώμεθα.

IV. Ἔτος μὲν οὖν ἐνειστήκει τῶν ἀπ' ἀρχῆς ἔνατον καὶ πεντηκοστὸν πρὸς τοῖς ἐνακοσίοις τε καὶ ἑξακισχιλίοις, καὶ τελευτᾷ τὸν βίον Μωράτης ὁ βασιλεύς, ζήσας τὰ πάντα δύο καὶ πεντήκοντα ἔτη, ἄρξας δὲ ἓν καὶ τριάκοντα, ἀνὴρ ἄριστος ἐν πᾶσι καὶ μεγαλόφρων, ἀλλὰ δὴ καὶ στρατηγικώτατος καὶ πολλὰ παρὰ τὸν βίον ἐπιδεξάμενος ἔργα γενναῖα καὶ θαυμαστά, ὥσπερ δὴ μαρτυροῦσιν αἱ πράξεις αὐταί, τοῦ

III. § 1. βαρούμενοι] βαρρούμενοι cod. || — § 4. Cf. Phrantzes p. 314, 13 : ὥσπερ τοίνυν ἡ τῶν Ἀσσυρίων βασιλεία κατελύθη ὑπὸ τῶν Βαβυλωνίων, ἡ δὲ τῶν Βαβυλωνίων ὑπὸ τῶν Περσῶν, ἡ δὲ τῶν Περσῶν ὑπὸ τῶν Μακεδόνων, ἡ δὲ τῶν Μακεδόνων ὑπὸ τῶν Ῥωμαίων, οὕτως καὶ ἡ τῶν Ῥωμαίων κατελύθη ὑπὸ τῶν Ὀτμανλιδῶν. || — § 7. ἐπαινεῖν] νῦν supra scriptum in cod.

IV. § 1. ζήσας νβ' ἔτη, ἄρξας δὲ λα'] Regni tempus satis recte, vitæ tempus minus accurate tradi videtur. Nam Seadeddinus sive Saidinus Turcus (*Chronica dell' origine e progressi della casa Ottomana composta da Saidino Turco, tradotta da Bratutti.* (*Madrid.* 1652, tom. 2, p. 122) ita habet : *Il re Murad regnò* 30 *anni*, 6 *mesi e* 7 *giorni. Quando sedè al trono reale hebbe diciotto anni, di maniera che visse quaranta nove anni.* Eodem modo computant Hammer *Gesch. des osman. Reiches* tom. 1, p. 400 not. et Zinkeisen *Gesch. des osm. Reiches* tom. I, p. 793. Laonicus Chalcocondylas p. 375, 5 ed. Bonn. pro annis triginta et dimidio computat δύο καὶ τριάκοντα. Sec. Georgium Phrantzen p. 211, 19 ed. Bonn. Murates obiit τῷ Φεβρουαρίῳ μηνὶ τοῦ ,ςϡνθ' ἔτους (1451 p. C.). Sec. Ducam p. 229, 10 ed. Bonn. ἀπέθανεν δευτέρᾳ τοῦ Φεβρουαρίου μηνὸς τοῦ ,ςϡνή (deb. ,ςϡνθ'). Seadeddin p. 120 : *Questo accidente successe l'anno* 855 (1451 p. C.) *li primi della luna Muharrem.* — Primo diei mensis *Muharrem* (2 Febr. 1451) mortem Muratis assignat Hammer. l. l. 1, p. 665; tertio ejusdem mensis die sive die quinto Februarii regem mortuum esse vulgo tradi, non nominatis fontibus, asseverat Zinkeisen 1, p. 793. Sec. Ducam p. 225 Februarii die quinto Mechemetes Magnesiæ versans obitum patris comperit; illico Magnesia profectus biduo itinero

λαμπροτάτου γένους ὢν Ἀτουμάνων, ἕκτος αὐτὸς, εὐγενὴς ἐξ εὐγενῶν. (2) Οὗτοι δὲ τοῦ παλαιτάτου γένους εἰσὶν Ἀχαιμενιδῶν τε καὶ Περσειδῶν, ἀφ' ὧν δὴ γενῶν οἱ τῶν Περσῶν βασιλεῖς πάντες κατήγοντο· ἦσαν μὲν γὰρ δὴ καὶ ἄλλα γένη Περσῶν, ὡς Ἡρόδοτος (1, 126) ἱστορεῖ, ἀλλὰ δημοτικὰ καὶ κοινά, ταῦτα δὲ μόνα ἐξαίρετα ἦσαν τῶν βασιλέων, τὸ ἀνέκαθεν ἀπὸ Ἀχαιμένου καὶ Περσέως ἔχοντα τὴν ἀρχήν· οὗτοι δ' ἦσαν Ἕλληνες ἀπὸ Δαναοῦ καταγόμενοι καὶ Λυγκέως, οἵτινες Αἰγύπτιοι ὄντες τὸ ἐξαρχῆς ἐκ πόλεως Χέμμιος τῆς ἐν τῷ ἕλει κειμένης ἐς τὴν Ἑλλάδα μετῳκίσθησαν· χρόνοις δὲ ὕστερον οἱ τούτων ἀπόγονοι (Ἀχαιμενίδαι τε καὶ Περσεῖδαι) κατὰ ξυμφορὰς διαβάντες ἐς τὴν Ἀσίαν, ἐν Περσίδι τὴν ἀρχὴν κατεστήσαντο, καὶ τελευτήσαντες οὗτοι κατέλιπον τό τε γένος καὶ τὴν ἐπωνυμίαν τῷ τόπῳ. (3) Τελευτήσαντος δ', ᾗπερ ἔφην, Μωράτεω, παραλαμβάνει τὴν βασιλείαν Μεχεμέτης ὁ τούτου υἱὸς, ἕβδομος αὐτὸς, εἰκοστὸν ἔτος ἀγὼν ἤδη τῆς ἡλικίας, μετάπεμπτος ἐξ Ἀσίας γεγονώς· ἐκεῖ γὰρ εἶχε τὴν ἀρχὴν, δόντος αὐτῷ τοῦ πατρός. (4) Πολλὰ δ' εὐθὺς τότε καὶ παρὰ τὸ εἰωθὸς ὑπεσήμηνε τὸ θεῖον ἀήθη τέ τινα καὶ τερατώδη, ὥσπερ δὴ κἀν τῇ τούτου γεννήσει, οὕτω δὴ κἀν τῇ εἰς τὴν βασιλείαν παρόδῳ· σεισμοί τε γὰρ ἀήθεις καὶ ξένοι γεγόνασι, καὶ βρασμοὶ γῆς καὶ τὰ ἐξ οὐρανοῦ, βρονταί τε καὶ ἀστραπαὶ καὶ σκηπτοὶ καὶ πρηστῆρες φρικώδεις καὶ σέλας ὁρώμενον καὶ οἷα πολλὰ πολλάκις προφοιβάζειν φιλεῖ τὸ θεῖον ἐπὶ ταῖς μεγίσταις τῶν καθεστώτων καινοτομίαις τε καὶ μεταβολαῖς· οἵ τε μάντεις τε καὶ θεοφορούμενοι καὶ δὴ καὶ χρησμολόγοι καὶ θεοπρόποι πολλὰ ἐπεθείαζόν τε καὶ εἶδον ἐπί (τε) τοῖς μέλλουσι γίνεσθαι καὶ ἅμα παραδηλοῦντα τὴν τοῦ νέου βασιλέως ἐσομένην περὶ πάντα τύχην καὶ ἀρετὴν, καὶ ὡς μέγιστον ἐν πᾶσιν ἔσται τὸ κράτος αὐτῷ, καὶ πάντας ὑπερβαλεῖται τοὺς πρὸ αὐτοῦ βασιλέας πολλῷ τινι καὶ ἀπείρῳ τῷ μέσῳ ἐπί τε δόξῃ καὶ πλούτῳ καὶ δυναστείᾳ καὶ κατορθώμασι.

V. Καταστὰς δὲ κληρονόμος μεγάλης ἀρχῆς καὶ πολλῶν μὲν χρημάτων, πολλῶν δὲ ὅπλων, πολλῶν δὲ στρατιωτῶν τε καὶ καταλόγων γενόμενος κύριος, καὶ τί γὰρ [ἄλλο] ἢ τὰ πλεῖστα καὶ κράτιστα τῆς Ἀσίας τε καὶ Εὐρώπης ἔχων ὑφ' ἑαυτὸν, οὐκ ἀποχρῆν ἐνόμισεν αὐτῷ ταῦτα, οὐδὲ τοῖς παροῦσιν ἠγάπησεν, ἀλλ' εὐθὺς πᾶσαν ἐπέτρεχε τὴν οἰκουμένην τῷ λογισμῷ, καὶ τὴν ταύτης ἀρχὴν εἶχεν ἐν νῷ, καὶ πρὸς Ἀλέξανδρον ἑώρα καὶ Πομπηίους καὶ Καίσαρας καὶ τοὺς κατ' ἐκείνους βασιλεῖς τε καὶ στρατηγούς. (2) Εἶχε μὲν γὰρ καὶ τὴν φύσιν ξυνεργοῦσαν καλῶς,

venit Callipolim (Febr. d. VII); duos ibi dies moratus perrexit Adrianopolim, ubi a proceribus obviam profectis solenni pompa in urbem deductus est et postero die regnum suscepit. Suscepisse vero regnum die XVI Moharrem mensis (die XVIII *Febr.*) in Turcarum annalibus tradi refert Hammer. 1, p. 605. Attamen Seadeddinus 2, p. 121 narrat Mechemetem, postquam die XVI Moh. mens. Adrianopolim venisset, dies tredecim (?) in palatio absconditum degisse, antequam regni fascibus potiretur. *Quel gran rè*, inquit, *fu tenuto tredeci* (*tres* legitur ap. Zinkeisen l. l.) *giorni nascosto dentro del suo palazzo... Et innanzi che prendesse le fasci dell' imperio quel giovine rè, nessuno seppe la sua venuta.* || — ἐπιδεξάμενος] fort. ἐπιδειξάμενος. || — Ἀτουμάνων ἕκτος] Sextus imperatorum Osmanorum (Ὀτουμανίδας dicit Chalcocond. p. 13, 12), quorum series hæc est : Osman († 1325), Urchan (1359), Murad I (1389), Bajesid I (1403), Mechemetes I (1421), Murad II (1451).

§ 2. Περσειδῶν] Περσιδῶν codex. De Turcorum origine nostro demum sæculo e Sinarum scriptis certiora quædam innotuerunt, quæ post alios paucis comprehendit Zinkeisen l. l. Varias Byzantinorum scriptorum opiniones affert Laonicus Chalcocondylas p. 9 sqq., qui postquam dixerat alios a Turca Persarum urbe, alios e Cœlesyria et Arabia, alios e Parthis originem Turcorum repetere, verisimillimam eorum sententiam esse censet, qui a Tartaris Scythis Turcos oriundos esse perhiberent. Quod quidem a vero longe propius abest quam quæ hariolatur Critobulus noster. Apud Æneam Sylvium, Leonardum Chiensem, Ubertinum Pusculum aliosque Turci Teucrorum nomine introducuntur, quasi Trojanorum posteri. Hinc etiam pendet quod Turci everso Byzantio pœnas eversi olim Ilii de Græcis sumsisse credebantur, referente Chalcocondyla p. 403, et quod apud Critobulum 4, 11, 6 Mechemetes Ilii rudera visens se ultorem Trojanorum fato destinatum profitetur. || — Λυγκέως] Λιγγέως cod. || — Χέμμιος] Χέμιος cod. Chemmis, Thebaidis urbs, non erat ἐν τῷ ἕλει sita.

§ 3. εἰκοστὸν ἔτος ἄγων] Secundum Seadeddinum 2, p. 53 Mechemetes natus foret die VII mensis *Redcheb* anni Hegiræ 833, i. e. die XXXI Martii an. Julian. 1429 p. Ch., adeo ut die XVI mensis *Moharrem* an. 855, quo Adrianopolim venit, natus fuisset an. 21, menss. 10, dies 20. Probat hæc Zinkeisen 1, p. 647, not. Attamen quum Hadchi Chalfa natales Mechemetis ad annum 835 Hegiræ (1431) referat, ut Hammerus 1, p. 444 not. prodit, eundemque annum etiam Critobuli verba flagitent, nescio an apud Seadeddinum numerus 833 in 835 mutandus sit. Sec. Pusculum 2, 253 Machmettus patri succedit *annos bis denos et quinque gerens.* || — ἐξ Ἀσίας] e Magnesia urbe, in quam venerat medio Januario an. 1451, teste Duca p. 225, qui pluribus exponit de itinere quo Adrianopolim Mechemetes reversus est.

§ 4. τερατώδη] De his ostentis apud reliquos scriptores nihil legere est. At quo tempore natus est Mechemetes, terræ motum et pestem et famem et solis eclipsin fuisse refert Hadchi Chalfa, ex eoque Hammerus 1, p. 444. || — περὶ πάντα] Sic num recte scripserim, nescio. Ductus literarum in codice parum perspicui περέπανα exhibere videntur. || — ὑπερβαλεῖται] ὑπερβαλλεῖται codex.

V. § 1. τί γὰρ ἄλλο ἢ] addidi ἄλλο || — ἀποχρῆν] ἀποχρῶν, supra scripto ῆν, codex. || — καὶ Πομπηίους] Hæc adduntur in margine. || — τοὺς κατ' ἐκείνους] Malim τ. μετ' ἐ. || — § 2. καὶ ὀξὺ περὶ πάντα et dein v. ἄγαν adduntur in margine. || — Ἀράβων] Ἀρρ. cod. h. l. et ubique. Literarum studium et favor quo viros doctos prosecutus sit Mechemetes, a multis celebrantur. Vid. Phrantzes p. 93, 8 : καὶ αὐτὸς οὐκ ἀμέθεκτος ἦν σοφίας, καὶ τὴν τέχνην τῆς ἀστρολογίας οὐκ ὀλίγον γευσάμενος ἀναγινώσκειν ἀεὶ ἠγάπα· τά τε κατορθώματα καὶ βίους Ἀλεξάνδρου τοῦ Μακε-

τό τε δραστήριον αὐτῆς καὶ ὀξὺ περὶ πάντα, καὶ τὸ τῆς ψυχῆς ἄγαν ἀρχικὸν καὶ βασιλικόν· μάλιστα δὲ πρὸς τοῦτο ἐνῆγον αὐτὸν ἥ τε σοφία καὶ τὸ πάντα τὰ τῶν παλαιῶν εἰδέναι καλῶς· ἤσκητο γὰρ ἐς ἄκρον πᾶσαν τὴν Ἀράβων καὶ Περσῶν καὶ ὅση τῶν Ἑλλήνων ἐς τὴν Ἀράβων τε καὶ Περσῶν γλῶσσαν μεθηρμηνεύθη, λέγω δὴ τῶν ἀπὸ τοῦ Περιπάτου καὶ τῆς Στοᾶς, παιδευταῖς χρησάμενος Ἀράβων τε καὶ Περσῶν τοῖς σπουδαιοτάτοις τε καὶ σοφοῖς τὰ τοιαῦτα. (3) Οὕτω δὲ γνώμης ἔχων καὶ τοιούτοις χρώμενος λογισμοῖς, οὐδεμίαν ἀναβολὴν ἔτι δίδωσι τῷ τε καιρῷ καὶ τοῖς πράγμασιν, ἀλλ' εὐθὺς ὅλος γίνεται τούτων. Καὶ πρῶτα μὲν σπένδεται Ῥωμαίοις καὶ βασιλεῖ Κωνσταντίνῳ· μετὰ δὲ τοῦτο καὶ Καραμάνῳ τῷ τῆς ἄνω Φρυγίας τε καὶ Κιλικίας ἐπάρχοντι, ἔς γε τὸ παρὸν λυσιτελεῖν τοῦτο τοῖς αὐτοῦ πράγμασιν ἡγησάμενος. (4) Ἔπειτα ἐς ἐξέτασιν καθίσταται τῆς ὅλης ἀρχῆς, τάς τε τῶν ὑπ' αὐτῷ γενῶν σατραπείας φιλονεικῶν, καὶ τοὺς μὲν ἐκβάλλων, τοὺς δὲ ἀντεισάγων τῶν σατραπῶν, ὅσοι τούτῳ ἐδόκουν στρατηγίᾳ τε καὶ ξυνέσει διαφέρειν τῶν ἄλλων καὶ μὴν καὶ δικαιοσύνῃ· ἐμέλησε γὰρ καὶ τούτου πρὸ τῶν ἄλλων αὐτῷ, τοῦ ὡς ἄριστα καὶ δικαιότατα τὴν ὑφ' αὐτῷ πᾶσαν ἀρχὴν διοικεῖσθαι. (5) Ἔτι δὲ τοὺς καταλόγους καὶ τὰς τάξεις τῶν στρατευμάτων ἐξήτασε, τό τε ἱππικὸν ἅμα καὶ ὁπλιτικὸν τούς τε ἐκ τοῦ βασιλικοῦ ταμιείου τρεφομένους· καὶ μάλιστα δὴ τὴν βασίλειον αὐλὴν διὰ φροντίδος ἐποιεῖτο πολλῆς καὶ ἐς ἐπίδοσιν ἦγε· λέγω δὴ τοὺς νεοδαμώδεις τούτους καὶ πεζαιτέρους καὶ τὸ περὶ αὐτὸν ἄγημα, οὓς τῇ σφῶν γλώττῃ γενητζάρους καλεῖν εἰώθασι, νέον ξύνταγμα τῆς φωνῆς σημαινούσης, εἰδὼς ταύτῃ τὸ κράτος προσὸν αὐτῷ καὶ τῇ τοῦ σώματος φυλακῇ καὶ τῇ τῆς ὅλης ἀρχῆς. Πρὸς δὲ τούτοις ὅπλων τε καὶ βελῶν καὶ τῶν ἐς τὴν τοῦ πολέμου χρείαν τε καὶ παρασκευὴν ἀναγκαίων τε καὶ χρησίμων ξυλλογὴν ἐποιεῖτο. (6) Μετὰ δὲ ταῦτα τοὺς θησαυροὺς ἀνηρεύνα τοὺς πατρικούς, ἀνακρίνων ὅτι μάλιστα τοὺς τούτων ταμίας, τούς τε τῶν ἐτησίων φόρων ἄρχοντας ἀκριβῶς ἐξήταζε, καὶ ἐς ἀνάγκην ἦγε λογοθεσιῶν. Καὶ πολλὰ δὴ τῶν δημοσίων τε καὶ βασιλικῶν χρημάτων εὗρε κακῶ.

δόνος καὶ τοῦ Ὀκταβίου Καίσαρος καὶ Κωνσταντίνου τοῦ μεγάλου τοῦ καὶ Φλαβίου καὶ Θεοδοσίου τοῦ ἐξ Ἱσπανίας βασιλέως ἀνεγίνωσκεν, αἰτῶν καὶ ἐρευνῶν μηχανὰς ἵνα τοὺς πάντας ὑπερβῇ καὶ τὰ ὅρια τῆς βασιλείας αὐτοῦ εἰς ἄκρον αὐξήσῃ. Cf. Critobul. 5, c. 10, Seadeddin. 2, p. 124 sqq.

§ 3. Inter primi anni res gestas Critobulus non meminit fatricidii, de quo Ducas p. 230, 15 : Εὑρὼν παιδίον ἄρρεν τοῦ πατρὸς αὐτοῦ ὡς μηνῶν ὀκτὼ γεννηθὲν ἐκ τῆς θυγατρὸς τοῦ ἡγεμόνος Σινώπης Σπεντιάρ, νομίμου γυναικὸς (καὶ γὰρ οὗτος ἐκ δουλίδος ἐγένετο),... τὸ παιδίον ἔπνιξεν. Chalcocondyl. p. 376, 10 : τὸν ἀδελφὸν αὐτοῦ ἐπὶ τὴν βασιλείαν παριὼν ἀνεῖλεν, ὕδατι ἐπιστομώσας αὐτοῦ τὴν ἐμπνοήν. Seadeddin. 2, p. 122 de eodem fratre dicit : *fu per la tranquillità et compositione del mondo scancellato dal libro de' viventi.* Pusculus 2, 256 : *solus Machmettus ut ipse Imperet, ad sese puerum portarier, angi Se spectante jubet per servum guttura fratris Infantis teneri, donec vi spiritus ora Interrupta fugit.* || — σπένδεται Ῥωμαίοις] De Constantini legatione pluribus agit Ducas p. 232. Mechemetes imperatori non modo pacem se servaturum promisit, sed etiam pecuniam (300,000 asprorum) e regione Strymonica quotannis redeuntem assignavit, qua Orchan, ex Osmanorum gente oriundus et Constantinopoli degens (v. Critobul. 1, 64), aleretur. Eandem legationem canit Pusculus 2, 279-378. Princeps legationis, cujus orationem poeta exhibet, vocatur *Sphrancius*, haud dubie Phrantzes protovestiarius, qui multas sane legationes obiit, de hac vero ne verbum quidem habet. Legatis Constantinus inter alia mandavit ut reddi petant Propontidis urbem Heracleam, *e vita regem cum Parca Joannem Abstulit, inviti quam concessere parenti, Iram dum fugiunt trepidi sævam.* Respondit Mechemetus vs. 352 :

Omnia ferte
quæ petitis, vestro pacemque referte tyranno
optatam stabilemque; illi fore semper amicum
me, dum vita erit, hoc et spe promittite certa.
Argenti nummum viginti millia dono
insuper, in pacis monumentum et pignus amoris, etc.

Præter Byzantinos tunc etiam Serviæ despota et Walachi et Bulgari et ex insulis Mitylenæi et Chii et Rhodii nec non Genuenses Galatæ missis legatis donisque amicitiam regis expetiverunt; denique Joannes Hunyades, Ungarici exercitus dux, tunc in triennium inducias fecit, referente Duca p. 233. Chalcocondylas p. 378 de pace cum Constantino pacta nihil prodit; nam quæ Zinkeisen 1, p. 810 huc pertinere putat verba : καὶ τοῖς τε Ἕλλησι σπονδὰς ἐποιεῖτο καὶ δέδωκε τὴν τῆς Ἀσίας παράλιον, ea pertinent potius ad Græcos insulares, Chios et Lesbios etc. Sic Phocæam Asiæ usque ad annum 1455 penes Chios fuisse e Critobulo 2, 5 novimus. || — Καραμάνῳ] Caramaniæ princeps (Ibrahim-beg ap. Seadeddin) statim post obitum Moratis ditionem Turcarum invaserat et castella nonnulla a Morate olim capta recuperaverat. Itaque Mechemetes contra eum exercitum sub Isaaco duce misit, atque ipse in Asiam trajecit, eoque hostem adegit, ut legatos mitteret qui actorum veniam peterent. Pacem rex tanto facilius concessit, quum animus averteretur in Byzantinos, qui altera missa legatione minaces sermones jactare audebant. De his, quæ silentio premit Critobulus, fuse exponit Ducas p. 233-237. Cf. Phrantzes p. 93, Chalcocond. p. 376; Seadeddin 2, p. 128 sq.; Hammer 1, p. 503; Zinkeisen 1, p. 810. Ceterum princeps Caramaniæ apud Chalcocondylam vocatur Καραμᾶνος ὁ Ἀλοσούριος ἐπίκλην p. 65, 19, ὁ Ἀλιζούριος p. 376, 10, ὁ Ἀλοῦρις p. 179, 8. || — ἔς γε τὸ παρὸν etc.] Cf. Chalcocond. p. 376, 4 . καθίστη τὰ ἐν τῇ ἀρχῇ ᾗ αὐτῷ ἐδόκει πρὸς τὰ παρόντα ξύμφορα ἔσεσθαι.

§ 4. καὶ τούτου] καὶ τοῦτο cod. || — § 5 νεοδαμώδεις] νεωδ. codex h. l. et alibi. || — πεζαιτέρους] De hac nominis forma vide veterum testimonia in Steph. Thesaur. s. v. πεζέταιρος.

§ 6. τοὺς θησαυρούς] Ducas p. 230, 11 : Αὐτὸς ἤρξατο ἐρευνᾶν τὰ ταμεῖα καὶ τοὺς θησαυροὺς τοὺς πατρικούς, καὶ εὑρὼν ἀναριθμήτους ἐν ἀργυροῖς σκεύεσιν, ἐν χρυσοῖς, ἐν λίθοις τιμίοις καὶ ἐν νομίσμασι πολυταλάντοις, αὐτὸς οἰκείᾳ

δαπανώμενα καὶ ἐς οὐδὲν ἀναλισκόμενα δέον, τριτημόριόν που μάλιστα τῶν ἐπετείων φόρων, ἃ καὶ τῷ βασιλικῷ ταμιείῳ ἐπανεσώσατο, ἔς τε τὸ ἑξῆς καλῶς διετήρησε τὴν τούτων φυλακήν, τούς τε ἐτησίους φόρους ἐς μεγίστην ἐπίδοσιν ἤγαγε, πολλούς τε τῶν φορολόγων ἀρχόντων σωφρονίσας τῷ φόβῳ, καὶ πιστοὺς καὶ φρονίμους ἀντικαταστήσας αὐτῶν ἐς τὴν τούτων ξυλλογήν τε καὶ φυλακήν· ὁ γάρ τοι πατὴρ αὐτοῦ ἁπλοώτερόν πως τοῖς πράγμασι προσεφέρετο, καὶ τῶν τοιούτων βραχὺν ἐποίει λόγον. (7) Διατιθεμένῳ δὲ ταῦθ' οὕτως τῷ βασιλεῖ καὶ τὰ κατὰ τὴν ἀρχὴν ἄριστα καὶ κάλλιστα διοικοῦντι καὶ πρὸς μειζόνων ἔργων παρασκευὴν ἑτοιμάζοντι ἐξήκει τὸ πεντηκοστὸν καὶ ἔννατον ἔτος πρὸς τοῖς ἐνναχοσίοις καὶ ἑξακισχιλίοις τοῖς ὅλοις, πρῶτον δὲ τῆς ἀρχῆς τῷ βασιλεῖ.

VI. Ὁ δ' εὐθὺς ὅλος γίνεται τοῦ προκειμένου σκοποῦ. Ὁ δὲ ἦν· φρούριον ἐρυμνὸν ἔγνω τειχίσαι ἐν τῷ Βοσπόρῳ ἀπὸ τοῦ τῆς Εὐρώπης μέρους καταντικρὺ τοῦ πέραν φρουρίου τῆς Ἀσίας, ταύτῃ ᾗ στενότατόν τε καὶ ῥοωδέστατον, καὶ διαλαβεῖν τὸν πορθμόν, καὶ ξυνάψαι τὰς ἠπείρους ἀμφοτέρας Ἀσίαν τε καὶ Εὐρώπην, καὶ ἐφ' αὐτῷ ποιήσασθαι τὴν τούτων διάβασιν, ὅταν αὐτῷ βουλομένῳ ᾖ, καὶ μὴ ἐπ' ἄλλοις εἶναι διαβῆναί τε καὶ μή, μηδὲ διισταμένων ἄρχειν αὐτῶν. (2) Ἤδει γὰρ καλῶς ὅσα καὶ οἷα πράγματα τὸ τοιοῦτον παρέσχεν αὐτοῖς ἐν τῷ προτοῦ χρόνῳ ἐπί τε τῶν πάππων καὶ τοῦ πατρός, καὶ ὅσην ἐναντίωσιν ἤνεγκε τοῦτο τοῖς σφῶν πράγμασι, καὶ ὡς ὀλίγου ἐδέησε πολλάκις τὴν ἑτέραν αὐτοὺς τῶν ἠπείρων ἀποβαλεῖν, τοῦτο μὲν τοῦ βασιλέως τῶν Ῥωμαίων ἐν ἐπικαίρῳ τῆς πόλεως καθημένου καὶ ἐφεδρεύοντος ἀεὶ τοῖς καιροῖς τε καὶ πράγμασι, τά τε πολλὰ θαλασσοκρατοῦντος καὶ ἐπεξάγοντος αὐτοῖς ἔστιν ὅτε τοῦ σφῶν γένους ὃν ἂν ἐθέλῃ, καὶ βλάπτοντος, τοῦτο δὲ καὶ τῶν Ἰταλῶν καὶ μάλιστα δὴ τῶν Ἐνετῶν ἐν ταῖς μεταξὺ σφῶν διαφοραῖς τριήρεσιν ἐπιπλεόντων μακραῖς πολλάκις τόν τε Βόσπορον καὶ Ἑλλήσποντον, καὶ κωλυόντων τὴν τούτων διάβασιν. (3) Οὐ ταῦτα δὲ μόνον ἐνῆγεν αὐτόν, ἀλλ' ὅτι καὶ πρὸς τὸν προκείμενόν οἱ σκοπὸν καλῶς ἔχειν ἐδόκει τὸ φρούριον τειχισθέν, καὶ πρὸς τὴν ὅσον οὐ καὶ μελετωμένην πολιορκίαν τῆς πόλεως ἐπιτειχισμὸν ἐνόμιζεν ἰσχυρότατον, ἀποκλείων αὐτῷ οὐ μόνον τὰς ἠπείρους Ἀσίαν τε καὶ Εὐρώπην, ἀλλὰ δὴ καὶ τὰς θαλάσσας ἀμφοτέρας, ἄνω μὲν τὸν Εὔξεινον πόντον διὰ τοῦ Βοσπόρου, κάτω δὲ τόν τε Αἰγαῖον καὶ πᾶσαν

σφραγῖδι κατασφραγίσας ἐν τῷ ταμείῳ πάλιν ἀπέθετο. || — ἦγε] καθίστα, cui suprascriptum ἦγε. Nomina sic suprascripta vel ad marginem notata non sunt glossæ, sed sicuti additamenta, quæ in margine codicis nostri passim satis ampla leguntur, ex alio codice pleniore repetita sunt. || — ἁπλοώτερον] ἁπλοιώτερον cod.

§ 7. Post v. διατιθεμένῳ δὲ ταῦ scriba codicis unius fere versus spatium reliquit vacuum, pergens deinde verbis ὅλος γίνεται (c. 6, 1). Secunda manus et spatium vacuum explevit et, quum explendæ lacunæ illud non sufficeret, reliqua ad marginem scripsit. || — πρῶτον δὲ τῆς ἀρχῆς] Mundi annus 6959 a primo die Septembris 1450 usque ad ultimum diem Augusti mensis an. 1451 pertinet. Exeunte hoc anno Mechemetes regnaverat menses sex et dimidium. Critobulus ita computat, ut regni initium cum anni civilis initio componendum sit.

Cap. VI-XI. *Castellum ad Bosporum ædificatur.* — De castello ad Bosporum exstructo accuratius et absque inani Nostri verbositate narrat Ducas p. 238 sqq.; brevius de eo agunt Chalcocondylas p. 380, Phrantzes p. 233, Seadeddin. 2, p. 132 vers. Bratutti; *Giornale dell' Assedio di Constantinopoli* 1453 *di Nicolo Barbaro, corredato di note e documenti per Enrico Cornet* (*Vienna* 1856, 8°) p. 1 sq.; Ubertinus Pusculus Brixiensis Constantinop. lib. 3, vs. 231-256 in A. Ellisseni *Analecten der mittel-u. neugriech. Literatur.* tom. 3; Hammer l. l. 1, p. 506; idem in *Constantinopolis u. der Bosporus* 2, p. 220; Zinkeisen l. l. 1, p. 813; Mordtmann, *Belagerung Constantinopels* p. 9-18.

VI, § 1. ταύτῃ ᾗ στενότατον] στενώτατον codex. Angustias ibi esse septem stadiorum Critobulus dicit c. 10, 4. Reapse a *Rumeli-hissari* ad objacens castellum *Anadoli-Hissari* sunt stadia tria et dimidium. Stadia quattuor computant Dionysius Byz. fr. 4 (in Geogr. min. tom. 2, p. 13) et Plinius 4, 24, 76, stadia quinque Polybius 4, 43, 2, Strabo p. 315, Mela 1, 19, 5. Promontorium, cui castellum Mechemetes imposuit, Hermæum dicitur apud Polyb. l. l. Ob fluxus vehementiam hic Bospori tractus Πυρρίας κύων vocabatur, teste Dionysio Byz. fr. 35 p. 42; eundem Gillius suo ævo Φωνῆα (i. q. φωνήεντα) nuncupatum esse refert, quod nomen reponendum est apud Ducam p. 241, 20, ubi hæc : Καὶ δὴ καταλαβὼν μίαν ῥαχίαν κάτωθεν τοῦ Σωσθενίου (hod. *Stenia*, 14 stadiis a *Rumeli hissari* boream versus), καλουμένην ἔκπαλαι Φονέαν (leg. Φωνῆα), ἐκεῖ ὡς ἐν τριγόνῳ σχήματι τὸν θεμέλιον ὡρίσατο πηγνύναι, ὃ καὶ γενόμενον· τὴν κλῆσιν τοῦ κάστρου Πάσγεσεν ἐκέλευσε καλεῖσθαι, ἐξελληνιζόμενον δὲ ἑρμηνεύεται Κεφαλοκόπτης, ἔχον ἄντικρυ καὶ τὸ φρούριον ὃ ἐδείματο ὁ πάππος αὐτοῦ. [In antecc. Ducas 241, 12 dixit calcis furnos fuisse ἐν τοῖς Καταφυγίοις. Calcis vero fodinas Moltkius in Bospori tabula exhibet prope hod. *Tchi-boukly* in valle exeunte in maris recessum Gillii ætate *Castacium*, apud Dionysium Byz. vero fr. 63 p. 86 Κατάγγειον· vel Κατάγγιον dictum. Idem nomen ap. Ducam latere probabiliter Bullialdus conjecerit.] Chalcocondylas p. 380, 4 : ᾠκοδόμει,... ᾗ στενότατόν ἐστι διαβῆναι ἀπὸ Ἀσίας, πολίχνην Λαιμοκοπίην καλουμένην. Phrantzes p. 233, 10 Mechemetem dicit κατὰ τὸ τῶν Ἀσωμάτων στενὸν ἄστυ κτίσαι. Videlicet a meridie castelli prope hodiernum *Arnaut-Koi* erat ὁ τῶν Ἀσωμάτων ναὸς sive templum Michaelis angelorum archistrategi, de quo vide Gillium ad Dionys. Byz. p. 38. E templi ejus ruderibus columnas tanquam ædificandi materiam Turci abstulerunt, ut Ducas p. 242, 24 tradit, qui p. 239, 17 nostras Bospori angustias τὸ ἱερὸν στόμιον vocat. Ipsum castellum faucibus appositum, quo transitus navibus præcludi poterat, Turci vocabant *Boghas-kesen* (*Bogas-chiesen* Seadeddin sec. vers. Bratutti 2, p. 130), i. e. *fauces abscidens*, sive λαιμοκοπία, ut recte vertit Chalcocondylas. Apud Ducam l. l. nomen turcicum in Πάσγεσεν corruptum est, quod, quasi a voce *bach* (caput) deducendum esset, græce redditur κεφαλοκόπτης. Vid. Hammer 1, p. 509. || — § 2. τῶν πάππων καὶ τοῦ πατρὸς] Cf. infra c. 8, 3. || — ἔστιν ὅτε] supra ὅτε scriptum

τὴν Ἑλληνικὴν θάλασσαν διὰ τοῦ Ἑλλησπόντου. (4) Οὕτω δὲ διανοηθεὶς, χειμῶνος μὲν τὰ πρὸς τὴν οἰκοδομὴν πάντα κελεύει παρασκευάζεσθαι, λίθους τέ φημι καὶ ξύλα καὶ σίδηρον καὶ ὅσα ἄλλα πρὸς τοῦτο χρήσιμα, ἄρχοντας ἐπιστήσας τοῖς ἔργοις τοὺς σπουδαιοτάτους τε καὶ ἐμπειροτάτους, ἐντειλάμενος τὴν ταχίστην ἅπαντά οἱ εὐτρεπῆ θέσθαι, ὡς ἅμα ἦρι ἀψομένῳ τοῦ ἔργου. Καὶ ὁ μὲν οὕτως.

VII. Βασιλεὺς δὲ Κωνσταντῖνος καὶ οἱ τῆς πόλεως τοῦτο μαθόντες δεινὸν ἡγοῦντο τὸ πρᾶγμα καὶ μεγάλων κακῶν ἀρχὴν καὶ δουλείας πρόδηλον ἀφορμὴν, νομίζοντες, ὅπερ ἦν ἀληθές, ἐπιτειχισμόν σφισί τε αὐτοῖς καὶ τῇ πόλει κατασκευάζεσθαι τοῦτο, καὶ δυσφόρως ἔφερον. (2) Ἔδοξεν οὖν ὡς ἐκ τῶν παρόντων αὐτοῖς πρεσβείαν τε πέμπειν καὶ πειρᾶσθαι εἰ δύναιντο τρόπῳ παντὶ τῷ δυνατῷ τὴν ἐπιχείρησιν ταύτην κωλύειν· καὶ πέμπουσι δή (πρέσβεις). (3) Οἱ δὲ ἀφικόμενοι λόγοις τε παντοίοις ἐχρῶντο, τῶν τε ξυνθηκῶν καὶ τῶν ὡμολογημένων ἀναμιμνήσκοντες, καὶ ὡς ἐν πάσαις ταῖς προγεγενημέναις τε καὶ ἀναγεγραμμέναις αὐτοῖς σπονδαῖς ἐπί τε τῶν πάππων καὶ τοῦ πατρὸς, ἀλλὰ δὴ καὶ αὐτοῦ, παντάπασιν ἀπείρητο μηδένα κτίζειν ἐν τῷδε τῷ χώρῳ μήτε φρούριον μήτε ἄλλο τι, ἀλλὰ καὶ τὸν βουλόμενον ἢ ὅλως ἐπιχειρήσοντα καὶ ἀμφοτέρους κωλύειν τρόπῳ παντί, καὶ διεσώθη τὸ ἐξ ἐκείνου μέχρι καὶ νῦν· « ὁ χῶρος ἐλεύθερος, διάβασις δὲ μόνον ἁπλῶς, ἔφασαν, τῶν ὑμετέρων στρατευμάτων τῶν τε ἄλλων ἀποσκευῶν ἐξ ἠπείρου ἐς ἤπειρον. » Καὶ ἅμα ἠξίουν μηδαμοῦ λύειν τὰς σπονδὰς χθὲς δὴ καὶ πρώην γεγενημένας μικρῶν ἕνεκα, μηδὲ ἀδικεῖν ἐθέλειν μηδὲν ἀδικοῦντας αὐτούς.

VIII. Βασιλεὺς δὲ ἀποκρίνεται τούτοις· « Οὔτε ἀδικεῖν ὑμᾶς, ἄνδρες Ῥωμαῖοι, ἡγοῦμαι, οὔτε παρὰ τὰ ξυγκείμενα πράττειν καὶ τὰς σπονδὰς ἐν τῷδε τῷ ἔργῳ, ἀσφαλίζεσθαι δὲ μόνον τὰ ἑαυτοῦ, μὴ μετὰ βλάβης μέντοιγε ὑμετέρας· ἕκαστον δὲ τὰ ἴδια φυλάττειν καὶ βεβαιοῦν μηδαμοῦ τοὺς ἐνσπόνδους βλάπτοντα δίκαιόν τέ ἐστι καὶ ἀνεμέσητον, καὶ πᾶσιν ἐφεῖται. (2) Ἐγὼ δὲ, ὡς ὁρᾶτε, Ἀσίας τε καὶ Εὐρώπης ἄρχω ἠπείρων διισταμένων ἀλλήλαις, καὶ πολλοὺς ἔχω τοὺς ἐναντιουμένους τε καὶ ἀνθισταμένους τῇ ἡμετέρᾳ ἀρχῇ ἐν ἑκατέρᾳ τούτων, καὶ δεῖ πανταχοῦ τε παρεῖναί με καὶ ἀμφοτέραις ἀρκεῖν, εἴ γε μὴ βουλοίμην ἐξίστασθαι τούτων ἑκὼν εἶναι τοῖς ἡμετέροις ἐχθροῖς. (3) Ἴστε δὲ δήπου καλῶς ὅσα καὶ οἷα πράγματα παρέσχον ἐπὶ τοῦ μου πατρὸς αἱ τριήρεις τῶν Ἰταλῶν βουλομένοις διαβῆναι κατὰ Παιόνων ἐπελθόντων τῇ ἡμετέρᾳ, περιπλέουσαί τε τὴν ἡμετέραν θάλασσαν καὶ κωλύουσαι διαβαίνειν ἡμᾶς. (4) Δεῖ οὖν ἀποτειχίσαι τε τὴν ἐπιχείρησιν ταύτην αὐτοῖς, καὶ ἀσφαλίσασθαι τὴν ἡμετέραν, καὶ μὴ πρὸς τῷ βλαβερῷ καὶ πᾶσιν ὀφλεῖν αἰσχύνην ἡμᾶς ὡς μὴ δυναμένους φυλάξαι τὴν ἡμετέραν θάλασσαν καὶ ἀρχήν. (5) Ὁ δὲ χῶρος οὗτος, ἐν ᾧ τὸ φρούριον μέλλω τειχίζειν, ἡμέτερός τέ ἐστι καὶ τῶν ἡμετέρων διάβασις ἄνωθεν, ἀπό τε Ἀσίας ἐς τὴν Εὐρώπην καὶ ἀπὸ ταύτης ἐς τὴν ἑτέραν, καὶ οὐ δεῖ δήπου πολυπραγμονεῖν ὅλως ὑμᾶς, εἴ γε βούλοισθε τὴν εἰρήνην ἄγειν, εἰ μή που καὶ αὐτοὶ τῆς διαβάσεως ταύτης εἴργειν ἡμᾶς βούλοισθε· τοῦτο γὰρ ἄλλος ἂν εἴη λόγος. (6) Σπονδὰς δὲ οὔτε λύω οὔτε βουλήσομαι, μενόντων καὶ ὑμῶν κατὰ χώραν καὶ μηδαμοῦ τὰ ἡμέτερα πολυπραγμονούντων μηδὲ περιεργάζεσθαι βουλομένων. »

IX. Ταῦτα ἀποκρινάμενος ἀποπέμπει τοὺς πρέσβεις. Οἱ δὲ ἐπανήκοντες ἀπαγγέλλουσι πάντα τῷ βασιλεῖ Κωνσταντίνῳ καὶ τοῖς ἐν τέλει Ῥωμαίοις, τά τε ἄλλα καὶ δὴ καὶ ὡς οὐκ ἔνεστιν ὅλως διακωλῦσαι τὴν ἐπιχείρησιν ταύτην οὔτε λόγοις οὔτε πειθοῖ, βίᾳ μέντοιγε μόνῃ, εἰ δύναιντο. (2) Οἱ δὲ, καὶ γὰρ ἐδόκει αὐτοῖς πρᾶγμα σφόδρα δεινὸν, ὥσπερ δῆτα καὶ ἦν, μὴ ἔχοντες μέντοιγε ὅ τι καὶ δράσαιεν, καὶ ἄκοντες ἡσυχίαν ἦγον.

X. Μεχέμετις δὲ ὁ βασιλεὺς, ὡς ἔαρ ὑπέφαινεν ἤδη, καὶ πάντα οἱ ἦν εὐτρεπῆ, πληρώσας τριήρεις τριάκοντα καὶ καλῶς ὁπλίσας ὡς ἐς ναυμαχίαν, εἴ γε τούτου δεήσειεν εἴ ποτέ τις ἐναντίωσις εἴη, παρασκευάσας δὲ καὶ ἕτερα πλοῖα σκευαγωγὰ πλεῖστα, ἀπὸ

οῦ || — Αἰγαῖον] ἐγαῖον cod. || — διὰ τοῦ Ἑλλησπόντου] Hæc verba velim abesse. De castellis ad Hellespontum structis an. 6971 vide lib. 4, 14.

§ 4. Cf. Ducas p. 237, 19 : Χειμῶνος γὰρ ἀρξαμένου προστάγματα καὶ διαλαλιὰς * ἔν τε δύσει ἔν τε ἀνατολῇ ἐν ἑκάστῃ ἐπαρχίᾳ τοῦ ἑτοιμάσαι οἰκοδόμους τεχνίτας χιλίους καὶ ἐργάτας κατὰ ἀναλογίαν τῶν τεχνιτῶν καὶ ἀσβεστοκαύστας καὶ ἁπλῶς εἰπεῖν πᾶσαν ἐργασίαν καὶ παρακομιδὴν, τοῦ εἶναι ἑτοίμους ἐν ἔαρι εἰς κατασκευὴν κάστρου ἐν τῷ στομίῳ τοῦ ἱεροῦ τῆς πόλεως. Pusculus 3, 159-172. || -- ἀψαμένῳ] ἀψομένῳ supra versum apponitur.

VII. 1. Cf. Ducas p. 238, 3. || — § 2. ἔδοξεν οὖν... αὐτοῖς] ἔδοξε δ' οὖν... αὐτῆς codex. || — πρέσβεις add. margo. || — § 3. Aliam legatorum orationem exhibet Ducas p. 238, 18-239, 16. Cf. Pusculus 3, 199-202. Ceterum aliter de his narrat Seadeddin. 2, p. 131, qui Mechemetem dicit ad Constantinum misisse legatum, qui ex eo peteret ut castellum in isto Bospori loco ædificandum permitteret. Imperatorem dixisse locum illum non suæ ditionis esse, sed Italorum Galatæ; Italorum autem permissionem Mechemetem expetere noluisse. || — ἀμφοτέρους] ἀμφοτέροις cod. || — διάβασις] διάβασιν cod.

VIII. §. 3. Ἴστε δὲ etc.] Fusius de his Mechemetes exponit ap. Ducam p. 240. || — § 5. τοῦτο γὰρ ἄλλος ἂν εἴη λόγος] Minus ambiguis verbis Sultanus utitur ap. Ducam p. 240, 22 : καὶ ὁ ἐλθὼν ἀπὸ τοῦ νῦν ἕνεκα τῆς ὑποθέσεως ταύτης, ἀφαιρεθήσεται τὴν δοράν.

IX. Ῥωμαίοις] Ῥωμαίων supra scriptum in codice.

X. § 1. Μεχέμετις] sic h. l. et passim pro Μεχεμέτης legitur. || — τριήρεις τριάκοντα] 40 naves recenset Nicolaus Barbarus p. 1 : *quando il ditto Turco vene a fabricar el ditto castello, vene da Garipoli* (i. q. *Galipoli*) *con*

Καλλιουπόλεως ἐξέπεμψεν ἐπὶ Βόσπορον· αὐτὸς δὲ στρατῷ πολλῷ κατὰ γῆν ἐπορεύετο. (2) Καταλαβὼν δὲ τὸν πορθμὸν ἑβδομαῖος, καθίζει τὴν στρατιάν· καὶ αὐτὸς ἀναλαβὼν τῶν ἐν τέλει τινάς, ἀλλὰ δὴ καὶ γερόντων ἐνίους, οὓς ᾔδει τῶν τοιούτων ἀκριβῆ πεῖραν ἔχοντας, παριππεύων κατεσκόπει τὸν χῶρον τήν τε θέσιν αὐτοῦ καὶ τὸ κομιδῆ στενὸν τοῦ πορθμοῦ καὶ σφόδρα συνεσταλμένον, τούς τε ἑλικοειδεῖς ἀγκῶνας καὶ τῶν πρωνῶν τὰς πυκνὰς ἐξοχάς τε καὶ ἐς τὰ ἔσω ξυννεύσεις τε καὶ καμπάς, τοῦ τε ῥοῦ τὸν ὀξύτατον δρόμον καὶ τὰς ἐγγινομένας αὐτῷ διὰ τοὺς ἀγκῶνας ξυνεχεῖς δίνας καὶ παλιρροίας καὶ ἴλιγγας, καὶ ὅσα ἄλλα δυσεκπλότατόν τε καὶ δυσδιεξίτητον ποιεῖ τὸν πορθμόν· (3) ἃ δὴ καὶ οἱ παλαιοὶ τῶν Ἑλλήνων κατανοήσαντες Συμπληγάδας τὸν χῶρον ὠνόμασαν, καὶ Ἡρακλέα τε πρῶτον ἔφασαν διαβῆναι ταύτας, καὶ μετὰ τοῦτον [ξὺν] τοῖς Ἀργοναύταις Ἰάσονα, ξὺν πόνῳ μέντοι γε πλείστῳ καὶ τούτους διά τε τὸ κατησφαλισμένον καὶ οἱονεὶ πεφραγμένον τε καὶ ξυμπλῆττον τῇ τε στενότητι τοῦ χωρίου καὶ τοῦ πορθμοῦ καὶ ταῖς πυκναῖς τῶν ἄκρων ἐσοχαῖς τε καὶ ἐξοχαῖς, ὡς δοκεῖν κύκλωθεν ἤπειρον εἶναι τοῖς ἀναπλέουσί τε καὶ καταπλέουσι, αὐτοὺς δ' ἐν τῷ μέσῳ ἀπειλημμένους, ὥσπερ ἐν λίμνῃ βραχείᾳ, μηδαμοῦ διέξοδον ἔχειν, ἔτι τε τῷ πολλῷ ῥοθίῳ καὶ τῇ σφοδρᾷ ῥύμῃ τῶν καταφερομένων ὑδάτων, ἅτε ἀπὸ μεγίστου καὶ εὐρυτάτου πελάγους ἄνωθεν τοῦ Εὐξείνου πόντου κατερχομένων καὶ ἐς στενὸν κομιδῆ τελευτώντων τε καὶ ξυγκλειομένων, τῷ τε ὠθισμῷ καὶ τῇ βίᾳ τοῦ ῥοῦ καχλαζόντων τε καὶ ξυνελισσόντων ἅμα καὶ ἐποκελλόντων τὰ σκάφη καὶ προσαρασσόντων ταῖς πέτραις καὶ καταγνύντων, εἰ μήπου πολλή τις ἐπιμέλεια εἴη τῶν ἐμπλεόντων καὶ ἐπιστήμη. (4) Ἀναμετρῶν δὲ καὶ τὸ μεταξὺ τοῦ πορθμοῦ, ἵναπερ τὸ στενότατον εἴη, εὕρισκε μάλιστά που σταδίους ἑπτά.

XI. Ταῦτα οὖν ἅπαντα καλῶς ἀναθεωρήσας τε καὶ κατασκεψάμενος τῷ τε λογισμῷ ἄριστα διαγνούς, ἐπεί οἱ κατεφαίνετο τὸ χωρίον ἐπικαιρότατον, ἐνταῦθα τειχίζειν ἔγνω τὸ φρούριον· καὶ διαλαμβάνει δὴ σημείοις τὸν χῶρον, ὃν ἔμελλε τειχίζειν. (2) Σχεδιάσας δὲ τοῦ φρουρίου τὴν θέσιν τε καὶ τὸ μέγεθος, τῶν τε πύργων καὶ μεταπυργίων τὰς βάσεις καὶ ἀποστάσεις, ἔτι τε προπύργια καὶ ἐπάλξεις καὶ πύλας καὶ ὅσα ἄλλα καλῶς τε καὶ ὡς ἦν αὐτῷ κατὰ νοῦν, κατακερματίζει τοῖς ἐν τέλει, κελεύσας ὅτι τάχιστα ἀνύττειν τὸ ἔργον· καὶ ἆθλα προὔθηκε κάλλιστα τοῖς ἄριστα καὶ τάχιστα τοῦτο ἐξειργασμένοις· καὶ αὐτὸς δὲ τὸ παρὰ τὴν θάλασσαν μέρος τοῦ φρουρίου λαμβάνει. (3) Ἀρξάμενος δὲ τῆς οἰκοδομῆς μεσοῦντος ἔαρος ἤδη, χειρί τε πολλῇ καὶ δαπάνῃ καὶ σπουδῇ καὶ ἀντιφιλοτιμήσει πάντων πρὸς τὸ ἔργον κεχρημένων, πρὶν ὅλον τὸ θέρος ἐξήκειν τειχίζει τὸ φρούριον, ἐρυμνότατον πάντων καὶ ἀσφαλέστατον καὶ τῶν πώποτε φρουρίων ὀνομαστότατον, λίθοις τε μεγίστοις λογάδην ξυντεθειμένοις ἐξειργασμένον, σιδήρῳ τε πολλῷ καὶ μολυβδωτοῖς γόμφοις ἐνεσχημένοις καὶ πολλοῖς ἄλλοις κατωχυρωμένον τε καὶ κατησφαλισμένον, πύργων τε πυκνότητι καὶ μεγέθει καὶ ἀσφαλείᾳ ἐς ὕψος ἠρμένων, μεταπυργίων τε καὶ ἐπάλξεων καρτερότητι, ὕψει τε καὶ τείχους παχύτητι. (4) Εὖρος τῷ τείχει, ᾗ εὐ-

---

galie 6 *compie* (i. e. *perfettamente fornite*) *e fuste* 18 *e parandarie* 16. || — αὐτὸς ἐπορεύετο] Adrianopoli profectus est die 26 Martii 1452, sec. Phrantz. p. 233, 16; Μαρτίου μηνὸς ἤδη παρεληλυθότος, sec. Ducam p. 241, 11. || — § 2. ἐξοχὰς] ἐξαρχὰς codex, in quo mox συνεύσεις et παλλιρροίας. || — 3. Συμπληγάδας] non insulas intelligit Critobulus, sed sinuosi Bospori ripas. || — μετὰ τοῦτον ξὺν] voculam ξὺν addidi. Dein σὺμ πόνῳ... καγχλαζόντων... ἐπωκελλόντων... προσαρρασάντων... στενώτατον codex.

XI. § 2. Cf. Pusculus 3, 231 :

> *Machmettus totas vires terræque marisque*
> *convenisse videns, castellum signat aratro*
> *condendum; turres, portas describit et alta*
> *fundamenta locat; primos instare labori*
> *præficit, atque viris opera in diversa vocatis*
> *primus adest instans.*

αὐτὸς δὲ τὸ παρὰ θάλασσαν etc.] Aliter de his narrat Ducas p. 242, 4 : Διένειμεν οὖν τὴν οἰκοδομὴν οὕτως· τῷ μὲν Χαλὶλ πασίᾳ δέδωκε μίαν τῶν γωνιῶν, τὴν ἐν θαλάσσῃ κειμένην (τῶν... κειμένων vulgo), τοῦ οἰκοδομῆσαι πύργον ἕνα ὑπερμεγέθη καὶ στερρὸν ὡς ἀκρόπολιν, τῷ δὲ Ζαγάνῳ ἕτερον ἐν τῇ ἑτέρᾳ γωνίᾳ τῇ κειμένῃ ἐν τῇ ξηρᾷ, μέγαν καὶ αὐτόν, τῷ δὲ Σαριτζίᾳ ἄλλον ἐν τῇ τρίτῃ γωνίᾳ, τοὺς αὐτοὺς τρεῖς πύργους ὡς ἀντίμαχα καὶ ἀκροπόλεις ἐκ τῶν οἰκείων ἀναλωμάτων, τὸ δὲ τεῖχος καὶ τὴν ἑτέραν ἄλλην τοῦ κάστρου οἰκοδομὴν αὐτὸς ὁ ἡγεμὼν ἀνελάβετο.

§ 3. πρὶν ὅλον τὸ θέρος ἐξήκειν] Secundum Nic. Barbarum l. l. perfectum opus est mense Augusti an. 1452. Cf. Seadeddin. 2, p. 132 : *in quatro mesi, e, secondo la relatione di Monsignor Idris, in un quarto d' anno fu fornito quel propugnacolo.* Chalcocond. p. 381, 10 : ἐπετετείχιστο ἐς τρεῖς μῆνας. Ducas p. 246, 20 : εἰς Ἀδριανούπολιν ἐπορεύετο τέτρασι μησὶ τὸ πᾶν ἀπαρτίσας, ἤδη τῆς ἡγεμονίας αὐτοῦ τρέχοντος δευτέρου ἔτους, ἀπὸ δὲ κτίσεως κόσμου ϛϡξα'. Silentio prætermisit Critobulus altercationes et rixas et pugnas quæ, dum ædificabatur castellum, Turcis cum Byzantinis intercessere; de his tu adi Ducam et Phrantzem. || — μολυβδωτοῖς] μολύβδῳ τοῖς codex. Aliud hujus vocis exemplum non novi. Plumbum etiam ad tegendas turres adhibuit. Phrantzes p. 235, 17 : μολύβδῳ σκεπάσας τοὺς πύργους. Chalcocond. p. 381, 8 : καὶ μολύβδῳ τοὺς πύργους ἐστέγετο. Barbarus p. 1 : *el qual castello hanno torre quatordexe, de le qual quatordexe ne sun cinque principal coverte de piombo, e sono maxize* (i. e. *massicce*).

§ 4. πήχεις δύο καὶ δέκα] i. e. 24 pedes, quum ex sequioris ævi more in singulos πήχεις bini pedes computandi

ρύτατον, πήχεις δύο καὶ δέκα, ὕψος δὲ τετραπλάσιον· καὶ μέγεθος δὲ οὐ κατὰ φρούριον, ἀλλὰ πολίχνῃ προσεοικός. Τρίγωνον δὲ κατασκευάζει τοῦ φρουρίου τὸ σχῆμα, τὴν μὲν ὀρθὴν γωνίαν ἄνω πρὸς τὸ ἄναντες ἔχον καὶ ἐν τῇ κορυφῇ (ἦν γὰρ ἠρέμα πρόσαντες τὸ χωρίον), ὥσπερ τινὰ πρόβολον μετὰ πύργου προβεβλημένην ἰσχυροτάτου τε καὶ μεγίστου, ξυνάπτουσάν τε τὰς δύο ἐγκαρσίας πλευρὰς καὶ φυλάττουσαν· τὰς δὲ δύο γωνίας τῆς βάσεως κάτω περὶ τὸν αἰγιαλὸν ἑκατέρωθεν τῆς πλευρᾶς, ἣ τοῦτον ἐπέχει, καὶ αὐτὰς πύργοις ἰσχυροτάτοις τε καὶ μεγίστοις ἠσφαλισμένας· καὶ αὐταὶ δὲ αἱ πλευραὶ πύργοις ἑτέροις πεπύκνωνται, ἐλάσσοσι μὲν τῷ μεγέθει τῶν ἐν ταῖς γωνίαις, δυνάμει δὲ οὐδὲν ἀποδέουσι. (5) Τοῦτο δὲ τὸ σχῆμα καὶ ταύτην τὴν θέσιν ἐμηχανήσατο τοῦ φρουρίου, τῇ μὲν ἵν' ὡς πλεῖστον ἐπέχῃ τοῦ αἰγιαλοῦ, διὰ τὰς πετροβόλους μηχανάς, αἳ πυκναὶ περὶ αὐτὸν ἔμελλον εἶναι τετραμμέναι πρὸς θάλασσαν, ἵνα δὴ τὸν διέκπλουν κωλύωσι, καταγνῦσαι τὰ σκάφη, τῇ δὲ καὶ τὴν ἄκραν ἄνω κατέχον τε καὶ φρουροῦν, καὶ τοὺς πολεμίους εἶργον ὡς πορρωτάτω, ἵνα μὴ ὑπὲρ κεφαλῆς οὗτοι βάλλοντες τοὺς ἐπὶ τῶν ἐπάλξεων βλάπτωσιν, ἀλλὰ ἀνασοβῶνται πόρρωθεν. (6) Τειχίσας δὲ τὸν εἰρημένον τρόπον, ἐπισκευάζει παντοίοις ὅπλοις, βέλεσί τε καὶ τόξοις καὶ δόρασιν, ἔτι δὲ καὶ ἀσπίσι καὶ θυρεοῖς καὶ πολλοῖς ἄλλοις τοιούτοις· πρὸς δὲ τούτοις πετροβόλοις μηχαναῖς μείζοσί τε καὶ μείοσι πάσας τὰς ἐπάλξεις ὁπλίζει τῶν τε πύργων καὶ μεταπυργίων καὶ προπυργίων, τὰς δὲ μεγίστας τῶν μηχανῶν τίθησι παρὰ τὴν θάλασσαν ὑπὸ τὸ τεῖχος χαμαὶ πυκνώσας παρὰ ὅλην τὴν πλευρὰν τετραμμένας ἐς θάλασσαν, ᾗπερ ἔφην, οὐκ ἐπ' εὐθείας δρώσας, ἀλλ' ἄλλῃ καὶ ἄλλῃ τοῦ πελάγους, καὶ ἐπαμφοτερίζούσας, τὰς μὲν δεξιὰς ἐπὶ τὰ ἀριστερὰ, τὰς δὲ ἀριστερὰς ἐπὶ τὰ δεξιὰ δρώσας τε καὶ ἐξ ὑπερδεξίων βαλλούσας καὶ τὸν διέκπλουν, ᾗπερ ἔφην, κωλυούσας· (7) ἀφιεῖσαι γὰρ λίθους παμμεγέθεις τε καὶ στρογγύλους ἐν χρῷ θαλάσσης ὥσπερ νηχομένους, ἀπό τε τοῦ φρουρίου τοῦδε μέχρι τοῦ πέραν, καὶ ἀπ' ἐκείνου πάλιν ἐπὶ τόδε τὸν αὐτὸν τρόπον ἕτεραι μηχαναὶ, οὐκ ἐῶσι διεκπλεῦσαι μὴ ὅτι γε ὁλκάδα καὶ τριήρη ἢ ἄλλο τι τῶν φορτηγῶν καὶ σκευαγωγῶν, ἀλλ' οὐδὲ τὸ σμικρότατον ἀκάτιον τοῦ μὴ οὐ κατάξαι τε καὶ συντρῖψαι καὶ ὑποβρύχιον τῷ βυθῷ παραδοῦναι, οὕτω τοι νυκτὸς

---

sint. Haud multum differunt quæ apud ceteros scriptores leguntur. Phrantzes p. 234, 15 : τὸ δὲ τῶν τειχῶν (sc. turrium) εὖρος ἦν κε' ποδῶν, τὸ δὲ ἔσωθεν αὐτῶν εὐρύχωρον ὑπῆρχε τριάκοντα καὶ δύο ποδῶν. Chalcocond. p. 381, 8 : τὸ δὲ πλάτος τοῦ τείχους πόδας κβ', τῶν δὲ πύργων καὶ πλέον τούτων, τριάκοντα. Ducas p. 246, 5 : εἰς πάχος τὰ τείχη καὶ τοὺς πύργους λ' σπιθαμὰς (i. e. 22 pedes et dimidium) ἐκτείνας καὶ τὸ ὕψος εἰς τὸ ἀρκοῦν. Altitudinem turrium solus Critobulus tradidit, fortasse justo majorem; eam 60 pedum esse dicit Mordtmann l. l. p. 17. || — τρίγωνον] Eodem modo Ducas p. 241, 22 : ὡς ἐν τριγώνῳ σχήματι τὸν θεμέλιον ὡρίσατο πηγνύναι. Dispositio autem trianguli sec. Critobulum ea erat, ut rectus angulus turrisque maxima versus continentem in solo elatiore, reliquæ duæ juxta oram maritimam essent. Ceteri scriptores græci rectius inversum ordinem exhibent. Phrantzes p. 234, 12 : ᾠκοδόμησε πύργους τρεῖς ἰσχυρούς, τοὺς δύο μὲν χερσαίους, τὸν δὲ ἕτερον κατὰ θάλασσαν, ὃς καὶ ὀλίγον τι μεῖζον τῶν δύο ὑπῆρχε. Chalcocond. p. 381, 4 : ᾠκοδόμει πύργους τρεῖς μεγίστους πάντων ὧν ἴσμεν, δύο μὲν κατὰ τὴν ἤπειρον, ὥστε ὡρμημένοι ἀπὸ τούτων ἀμύνειν τῷ ἐπὶ τῇ θαλάσσῃ ἐρχομένῳ (sc. πύργῳ), τοῦτον δὲ μέγιστον ἐπῳκοδόμει. In his verba ὥστε ὡρμ. etc. perperam vertuntur : *ut ab his progressi irruere possent in naves quæ mare legunt.* Vertendum : *ut hinc auxilio venirent turri maximæ juxta mare erectæ.* Vox ἐρχομένῳ pro κειμένῳ usurpatur. Allatis adde verba Ducæ p. 242, quæ supra ad § 2 emendavi. Ceterum quæ de castelli forma triquetra deque tribus turribus traduntur, ea falsa esse dicit Mordtmannus l. l. p. 133; reapse enim 14 turres inter easque 5 majores esse, ut recte legeretur apud Barbarum l. l.; errorem inde repetendum videri, quod ab urbe in Bosporum navigantibus tres tantum turres apparerent eo itineris momento quo *Defterdar* promontorium circumnavigandum esset. Ego vero vix crediderim ejusmodi errorem fuisse quattuor scriptorum, quorum nullus ab altero pendet. Celeberrimus noster Moltkius in tabula egregia quæ inscribitur *Karte des nœrdlichen befestigten Theils des Bosporus* (Berlin. 1849) delineationem castelli dedit, in qua tres solummodo sunt turres majores ac rotundæ, quarum una juxta mare, reliquæ duæ versus continentem in clivo positæ sunt. Lineis rectis junctæ triangulum efficerent, qui angulum rectum haberet ad turrem maritimam. At muro recto non junguntur nisi turres rotundæ mediterraneæ, inter quas intercedunt quinque turres minores et quadratæ, quarum historici nostri rationem non habuerunt. Murus ille a borea versus meridiem extenditur. Inter ejus turrem meridionalem et turrem rotundam maritimam notantur quattuor turres quadratæ minoresque, quæ lineam describunt angulo recto fractam. Inter clivi turrem borealem et turrem rotundam oræ maritimæ nonnisi unam turrem quadratam, ceteris quadratis majorem, conspicimus. Itaque quæ de triquetra castelli figura traduntur, haud premenda sunt. Multo minus autem audiendi fuerint Turcorum scriptores, qui castellum figura sua lineas imitari perhibent, quibus Mohamedis nomen Arabes exarare solerent. Vid. Hammer. l. l. 1, p. 507. De hodierna castelli ratione vid. idem in libro de Bosporo. et Constant. tom. 2, p. 222 sq. || — ἐν τῇ κορυφῇ] Dicendum erat πρὸς τὴν κορυφὴν, *versus verticem collis.*

§ 6. πετροβόλοις μηχαναῖς] Secundum Ducam p. 246, 7 Mechemetes collocavit ἐν τῷ πύργῳ τοῦ Χαλὶλ πασία χώνους χαλκοῦς ἀπολύοντας πέτρας ὑπὲρ ἑξακοσίων λιτρῶν τὸ βάρος. Ejusmodi globos marmoreos etiam nunc prope castellum reperiri testatur Mordtmannus l. l. p. 18. De bombardis castelli vid. etiam Barbarus p. 2. || — ἄλλῃ καὶ ἄλλῃ] καὶ ἄλλῃ m. 2 supra lineam additur; eadem manus 2 mox addit τε post vocem δρώσας.

§ 7. διεκπλεῦσαι] διαπλεῦσαι m. 1, διεκπλ. m. 2. Quævis navis Bosporum transiens ad castellum cursum sistere et vectigal (τὸ κομμέρκιον) pendere debebat. Ἡ δ' ἀπειθήσασα ναῦς Sultanus jussit, καὶ μὴ ἐνδοῦσα σὺν τῇ πετροβόλῳ καταποντισθήτω. Ducas p. 246. Cf Barbarus l. l.

ὥσπερ δὴ καὶ ἡμέρας, εἰ μή που κατὰ γνώμην εἴη γε τοῦ φρουράρχου. (8) Οὕτως αὐτῷ τὰ τοῦ φρουρίου ἐμελετήθη, καὶ τοῦτον τὸν τρόπον τάς τε ἠπείρους συνῆψε καὶ τὴν διάβασιν ὑφ' αὑτῷ πεποίηται. Ἐπισκευάσας τοίνυν αὐτὸ καλῶς καὶ ὁπλίσας καὶ τοῖς πᾶσιν ἀχείρωτον καταστήσας ἤ, μᾶλλον εἰπεῖν, ὅλως ἀνεπιχείρητον, φρουράν τε ἱκανὴν ἐγκαταλιπὼν καὶ φρούραρχον ἕνα τῶν πιστοτάτων αὐτῷ ἀποδείξας, ταῖς τε μηχαναῖς ἐπιστήσας τοὺς καλῶς τε καὶ ἐπιστημόνως χρησομένους, ἐπάνεισιν ἐς τὴν Ἀδριανοῦ, φθινοπώρου φθίνοντος ἤδη. Καὶ ἑξηκοστὸν ἔτος πρὸς τοῖς ἐνναχοσίοις τε καὶ ἑξακισχιλίοις τοῖς ὅλοις ἠνύετο, δεύτερον δὲ τῆς ἀρχῆς τῷ βασιλεῖ.

XII. Κατὰ δὲ τὸν αὐτὸν χρόνον οἰκοδομεῖ καὶ βασίλεια λαμπρὰ περὶ τὴν Ἀδριανοῦ, αὐτοῦ που περὶ τὸν Εὖρον ποταμὸν πέραν τοῦ ἄστεος, λίθοις τε λαμπροῖς καὶ μαρμάροις διαφανέσι κεκοσμημένα, χρυσῷ τε πολλῷ καὶ ἀργύρῳ καταστραπτόμενα ἔνδοθέν τε καὶ ἔξωθεν, ἔτι δὲ γλυφικῇ καὶ γραφικῇ τέχνῃ πεποικιλμένα καὶ διαφόροις ἄλλαις πολυτελείαις φιλοτίμως ἐξειργασμένα καὶ ἠσκημένα· (2) παραδείσους τε φυτεύει περὶ αὐτὰ, φυτοῖς τε παντοίοις καὶ δένδροις ἡμέροις κομῶντας καὶ καρποῖς ὡραίοις βρίθοντας, ζώων τε διάφορα γένη ἡμέρων τε καὶ ἀγρίων καὶ πτηνῶν ἀγέλας τούτοις ἐμβάλλει, καὶ πολλοῖς ἄλλοις ἀγάλλει καλοῖς, ὅσα τέρψιν ἅμα καὶ κόσμον εἶδε φέρειν καὶ ἡδονήν· (3) Κατασκευάζει δὲ καὶ βασίλειον αὐλὴν φιλοτίμως ξύνεγγυς τούτων, καὶ οἴκησιν ὅτι πλείστην ποιεῖται νέων καταλόγων καὶ πεζαιτέρων ἐν αὐτῇ τε καὶ περὶ αὐτὴν, πανταχόθεν ἀσφαλιζόμενος τὰ βασίλεια. Καὶ ταῦτα μὲν ἐς τοσοῦτον.

XIII. Ὁ δὲ τὴν πάλαι οἱ μελετωμένην βουλὴν καὶ ὃν ὤδινε λογισμὸν ἐν τῇ ψυχῇ καὶ πρὸς ὃν ἔφερεν αὐτῷ πάντα σκοπὸν ἐξ ἀρχῆς ἐς πέρας ἄγειν ἤδη διενοεῖτο καὶ μηκέτι μελλήσειν μηδ' ἐν ἀναβολαῖς εἶναι· ἦ δὲ ἦν πόλεμον ἐξενεγκεῖν Ῥωμαίοις καὶ βασιλεῖ Κωνσταντίνῳ καὶ πολιορκίαν τῇ πόλει. (4) Ἐνόμιζε γὰρ, ὅπερ καὶ ἦν, ὡς, εἰ ταύτην ἕλοι τρόπῳ παντὶ, καὶ τῶν ταύτης κύριος κατασταίη, μηδὲν εἶναι τὸ κωλῦσον ἔτι ἐντὸς ὀλίγου χρόνου ὡς ἔκ τινος πάντων κοινῆς ἀκροπόλεως ταύτης ὁρμώμενόν τὰ λοιπὰ πάντα καταδραμεῖν καὶ ὑφ' ἑαυτῷ ποιήσασθαι. (3) Διά τοι τοῦτο οὐδαμοῦ καθεκτὸς ἦν ἔτι, οὐδ' ἐπὶ τῶν αὐτῶν τοῦ λοιποῦ μένειν ἠξίου καὶ εἰρήνην ἄγειν, ἀλλὰ πολεμητέα οἱ ἐδόκει εἶναι ἐν τάχει καὶ τὴν πόλιν ἐξαιρετέα. (4) Ἐνῆγον δὲ αὐτὸν μάλιστα πρὸς τοῦτο καὶ θεοσημεῖαί τινες, ἔτι δὲ μαντεῖαι καὶ οἰωνισμοὶ καὶ κληδόνες, καὶ ἄλλα ἄττα, οἷς τε προσεῖχε πάνυ, καὶ οἷς τὸ μέλλον οἱ ἄνθρωποι θηρῶνται, ἅπαντα ἐς ταὐτὸν ἔφερε, καὶ χρηστάς οἱ ὑπετίθει ἐλπίδας ἁλώσιμον εἶναι τὴν πόλιν αὐτῷ. (5) Ξυγκαλέσας οὖν τοὺς ἐν τέλει πάντας, σατράπας τέ φημι καὶ στρατηγοὺς καὶ ἰλάρχας καὶ ταγματάρχας καὶ ἡγεμόνας τῶν τάξεων, καὶ ξύλλογον ποιήσας ἔλεξε τοιάδε·

XIV. « Ἄνδρες φίλοι καὶ τῆς ἡμετέρας ἀρχῆς, ὅτι μὲν οἱ ἡμέτεροι πρόγονοι τὴν ἀρχὴν τήνδε ἣν ἔχομεν, μετὰ πολλῶν ἀγώνων τε καὶ κινδύνων τῶν μεγίστων ἐκτήσαντο καὶ ἐς δεῦρο διαδοχῇ τῇ σφῶν αὐτῶν διασώσαντες, παῖς παρὰ πατρὸς ἐκδεχόμενοι, παρέπεμψαν ἐς ἐμέ, πάντες ἴστε δήπου καλῶς, οἱ μὲν ὑμῶν καὶ κοινωνοὶ ἐνίων ἔργων ἐν μέρει γεγονότες ἐκείνοις, ὅσοιπερ ἐν τῇδε τῇ νῦν μάλιστα καθεστηκυίᾳ ἡλικίᾳ τυγχάνετε πρεσβύτατοι ὄντες, οἱ δὲ καὶ παρὰ τῶν πατέρων ἀκοῇ παρειληφότες, ὅσοι νέοι

---

§ 8. φρουρὰν ἱκανὴν] τετρακοσίους νέους sec. Ducam p. 246, 19. || — ἕνα τῶν πιστοτάτων] Φεροὺζ Ἄγαν (*Firouz Aga*) sec. Ducam l. l. || — ἐπανεισιν] Absolutis rebus castelli, Mechemetes in agrum Constantinopolitanum profectus muros urbis fossasque inspexit die 28 mens. Augusti 6960 (1452) (Phrantzes p. 234. Cf. Chalcocondyl. p. 381. Pusculus 3, 359-366). Adrianopolim profectus est primo die an. 6961, sive primo die Septembr. 1452 (Phrantz. l. l.). || — δεύτερον δὲ] Accuratior Ducas p. 246, 21 : ἤδη τῆς ἡγεμονίας αὐτοῦ τρέχοντος δευτέρου ἔτους, ἀπὸ δὲ κτίσεως κόσμου ϛϡξά.

XII. Βασίλεια] Seadeddin 2, p. 133 : *Il rè se n' andò alla sua felicissima residenza d' Adrianopoli, dove giunto comandò che alla sponda del fiume Tungia* (i. e. Tonzi fluvii, qui prope urbem in Hebrum influit) *fabricassero il palazzo nuovo; e con intentione e mira di prendere Constantinopoli fece fondere smisuratissimi pezzi d'artigliaria*. Ducas p. 249, 1 narrat Mechemetem (Januar. 1453) maximam illam bombardam, quam Orbanus Hungarus fecerat, collocasse ἔμπροσθεν τῆς μεγάλης πύλης τῆς αὐλῆς τῶν παλατίων τῶν παρ' αὐτοῦ τὸ ἔτος ἐκεῖνο κτισθέντων. Ceterum die primo mensis Octobris 1452 rex Turchanem ducem cum exercitu in Peloponnesum miserat, ut bello impediret Thomam et Demetrium despotas ne Constantino fratri auxiliarentur. Expeditionem hanc, cujus neque Ducas neque Critobulus meminerunt, narrant Phrantzes, p. 235 sq. et Chalcocondylas, p. 381 sq. Mense Decembri Mechemetes Didymoticho (*Dimotica* hod.) versabatur, ubi Antonium Rizzum Venetum, cujus navis in Bosporo bombardæ maximæ lapide demersa (d. 26 Novembr., sec. Barbar. p. 2) erat, palo per anum adacto necari jussit. Hinc deinceps mense Ianuario 1453 Adrianopolim reversus est (Ducas p. 249, 21). || — ἔνδοθεν καὶ ἔξωθεν] Hæc addidit manus secunda. || — § 2. ἐμβάλλει] ἐνεβάλει codex.

XIII. § 1. ὃν ὤδινε λογισμόν] Cf. Ducas p. 249, 16 : Ἔχων οὖν ὁ ἡγεμὼν καὶ ἐν νυκτὶ καὶ ἡμέρᾳ τὴν πᾶσαν φροντίδα καὶ μέριμναν, κοιτώμενος καὶ ἀνιστάμενος καὶ ἐντὸς τῆς αὐλῆς αὐτοῦ καὶ ἐκτός, ποίῳ πολέμῳ καὶ ποίᾳ μηχανῇ καθέξει τὴν Κωνσταντινούπολιν, etc. Id. p. 252, 1 : τὰς πάσας οὖν νύκτας ἐκείνας οὐκ ἔλιπε διανυκτερεύων καὶ μεριμνῶν τὰ κατὰ τῆς πόλεως, λαμβάνων ἐν χερσὶ χάρτην καὶ μέλανα καὶ σκιαγραφῶν τὴν περιοχὴν τῆς πόλεως. || — μελλήσειν] μέλλησιν cod. || — § 3. διά τοι τοῦτο] τοι man. 2 additum. || — § 4. μαντεῖαι] De vaticiniis quæ apud Osmanos ferebantur, vid. Hammer I, p. 524 sq. || — ἄττα] ἄτα codex.

XIV. Cf. oratio Mechemetis ap. Pusculum 3, 23-51, ubi post regem loquitur Chalil bellum dissuadens (56-92), et deinceps regis consilia probans Zaganus (103-143). || — § 1. ἀρχῆς] Supra scriptum est αὐλῆς. || — ὅσοιπερ

ἐστέ· οὐδὲ γάρ εἰσι τῶν πάνυ παλαιῶν, οὐδ' οἷα καὶ διὰ χρόνου πλῆθος λανθάνειν, ἀλλ' ὄψις ταῦτα μαρτυρεῖ τῶν λεγόντων μᾶλλον ἢ τῶν δρώντων ἀκοὴ βεβαιοῖ, χθὲς καὶ πρώην γεγενημένα. (2) Πάρεστι γὰρ σαφῶς ἔτι καὶ νῦν ὁρᾶν πανταχοῦ τῆς ἡμετέρας σημεῖα τῶν ἐκείνων ἔργων δεικνύμενα ἐναργῆ, τείχη τε φρουρίων καὶ πόλεων χθὲς καὶ πρώην κατεσκαμμένων, γῆν τε τοῖς ἐκείνων αἵμασι σχεδὸν ἔτι φοινισσομένην καὶ μεμιγμένην καὶ πολλὰ τοιαῦτα μνημεῖα, ἅττα κάλλιστα τῆς ἐκείνων ἀνδρίας καὶ ἀρετῆς καὶ τῆς ἐν τοῖς δεινοῖς εὐψυχίας ἀείμνηστα μαρτύρια· τοσαύτῃ γὰρ ἀνδρίᾳ ψυχῆς καὶ γνώμης στερεότητι καὶ φρονήματος μεγαλείῳ περὶ πάντα ἐχρήσαντο, ὡς εὐθὺς ἐξ ἀρχῆς, ἐκ πάνυ μικρῶν ἀρχῶν τῆς δυνάμεως, εἰς νοῦν βαλέσθαι καθελεῖν τὴν Ῥωμαίων ἡγεμονίαν καὶ πᾶσαν ἐλπίσαι τὴν τῆς Ἀσίας τε καὶ Εὐρώπης ἀρχήν· καὶ μέντοιγε οὐκ ἐψεύσθησαν· (3) Ὁρμηθέντες γὰρ τὴν ἀρχὴν ἀπὸ τῶν Κιλικίας καὶ Ταύρου ὀρῶν μετὰ σμικρᾶς, ὅπερ ἔφην, ἰσχύος, μεγίστου μέντοιγε λογισμοῦ καὶ φρονήματος, κατατρέχουσι μὲν εὐθὺς Λυκίαν καὶ Παμφυλίαν καὶ τὴν ἄνω Φρυγίαν, καταστρέφονται δὲ Λυδούς, Κᾶρας, Μυσούς, Φρύγας τοὺς κάτω, Ἴωνας, πᾶσαν τὴν Ἑλληνικὴν παραλίαν, ἔτι δὲ χειροῦνται Γαλάτας, Καππαδόκας, Παφλαγόνας, Χάλυβας, Βιθυνούς, Ἑλλησποντίους, ἁπλῶς εἰπεῖν πᾶσαν ἣν ὁ Ταῦρος ἐντὸς ὁρίζει, ἀπὸ Κιλικίας παρήκων μέχρι Σινώπης τῆς πρὸς τῷ Εὐξείνῳ πόντῳ, ἣν δὴ Κάτω Ἀσίαν φασίν, ἐντὸς ὀλίγου χρόνου χειροῦνται καὶ ὑφ' ἑαυτοῖς βεβαίως ποιοῦνται. (4) Καταστάντες δὲ κύριοι ταύτης ἁπάσης καὶ τῆς παραλίας αὐτῆς, καὶ τῶν ἐν αὐτῇ πόλεων ἄρξαντες ἐγκρατῶς, βασίλειόν τε τὴν Προυσίαν καταστησάμενοι διαβαίνουσι τὸν Ἑλλήσποντον εὐαρίθμητοι πάνυ, ἅτε οὐκ ἐπὶ πολέμῳ προφανεῖ, ἀλλ' ἐπὶ λῃστείᾳ προσκαίρῳ τε καὶ κλοπῇ διαβάντες καὶ ἅμα τῆς ταύτῃ θαλάσσης εἰργόμενοι, τῶν Ῥωμαίων ἔτι κρατούντων αὐτῆς. (5) Καταλαβόντες δὲ τὴν ἄκραν τοῦ ὄρους τοῦ πρὸ τοῦ σήματος τῆς Ἕλλης καὶ [τοῦ] τῆς Χερσονήσου ἰσθμοῦ κειμένου καὶ φρούριον ἐξ ἐπιδρομῆς ἢ ἀπάτης λαβόντες αὐτοῦ, τὸ μὲν πρῶτον ἐκεῖθεν ὁρμώμενοι λῃστείαις τε ἐχρῶντο καὶ καταδρομαῖς ἀφανέσι καὶ προνομαῖς, ληιζόμενοι τοὺς ἐγγύς. (6) Ὡς δὲ κατὰ μικρὸν προϊόντες καὶ ἀεὶ πλείους γινόμενοι, καί τινα τῶν ξύνεγγυς φρουρίων, τὰ μὲν ἐξ ἐπιδρομῆς βίᾳ, τὰ δὲ ἀπάτῃ ἑλόντες ἐκράτησαν, καὶ ἐς τὸ πεδίον κατέβησαν, ἐνταῦθα λοιπὸν οὐκέτι οὐδὲν ἦν αὐτοῖς ἐμποδών, ἀλλὰ πεδία τε εἴχετο καὶ κῶμαι διηρπάζοντο καὶ πόλεις ἡλίσκοντο καὶ φρούρια κατεσκάπτετο καὶ στρατεύματα ἡττᾶτο καὶ γένη πολλὰ καὶ μεγάλα ἐχειροῦτο, καὶ βραχεῖ λόγῳ κατατρέχουσι μὲν οὐκ ἐν πολλῷ χρόνῳ Θρᾴκην ἅπασαν καὶ Μακεδονίαν, καταστρέφονται δὲ Μυσοὺς τούς τε ἐν τῇ μεσογείᾳ καὶ πρὸς τῷ Ἴστρῳ οἰκοῦντας, ἔτι δὲ Ἰλλυριούς, Τριβαλλούς, Ἕλληνας ἄλλα τε γένη πολλά, χειροῦνται δὲ φρούρια ἐρυμνὰ καὶ πόλεις πολλὰς καὶ μεγάλας, τὰς μὲν ἐν τῇ μεσογείᾳ, τὰς δὲ ἐν τῇ παραλίᾳ κειμένας. (7) Καὶ τί δεῖ πόλεις καὶ ἔθνη καταλέγοντα διατρίβειν; πᾶσαν ἣν ὁ Ἴστρος ἐντὸς ὁρίζει, ἀπὸ τῶν ἐκβολῶν αὐτοῦ τῶν πρὸς τὸν Εὔξεινον πόντον ἀνιόντι μέχρι τῶν ἐσβολῶν Σάου τῶν ἐς αὐτόν, κἀκεῖθεν διὰ τῆς μεσογείας ἰόντι μεταξὺ Ἴστρων τε καὶ Δαλματῶν Παιόνων τε τῶν ἐντὸς Σάου καὶ Ἰλλυριῶν πρὸς μεσημβρίαν καὶ νότον ἄνεμον μέχρις Ἰωνίου κόλπου χειροῦνταί τε βεβαίως καὶ καταστρέφονται καὶ φόρου ποιοῦνται ὑποτελεῖς πάντας τοὺς ἐν αὐτῇ, ξὺν αὐτοῖς δὲ καὶ τοὺς πέραν τοῦ Ἴστρου Γέτας, οὐ μόνον δέ, ἀλλὰ καὶ πᾶσαν τὴν παραλίαν αὐτῆς, πλήν γε δὴ Πελοποννήσου, ὑπὲρ τοὺς μυρίους σταδίους περίπλουν ἔχουσαν. (8) Ταῦτα δὲ οὐχ ἀμογητὶ μέν, οὐδ' ὡς ἄν τις ἁπλῶς ἐπέλθοι τῷ λόγῳ, οὐδ' ἄνευ ἐναντιωμάτων τε καὶ κωλυμάτων τῶν μεγίστων, οὐδ' ἀναιμωτὶ καὶ κινδύνων χωρὶς ἔσχον τε τὴν ἀρχὴν καὶ διεσώσαντο μέχρι νῦν, ἀλλὰ μετὰ πολλῶν αἱμάτων, πολλῶν δὲ τραυμάτων, πολλῶν δὲ ἱδρώτων καὶ πόνων. (9) Καὶ γὰρ καὶ γένη πολλὰ καὶ μεγάλα ἔν τε Ἀσίᾳ καὶ Εὐρώπῃ ἐναντία τούτοις ὅπλα ἤραντο καὶ λαμπρῶς ὑπὲρ ἐλευθερίας ἠγωνίσαντο μέχρι θανάτου καὶ μετ' ἀρετῆς, καὶ πόλεις ἐν αὐτοῖς πολλαὶ καὶ μεγάλαι καὶ τείχεσι

ἐν τῇδε τῇ νῦν μάλιστα καθεστηκυίᾳ ἡλικίᾳ τυγχάνετε] Cf. Thucyd. 2, 36, 3 in Periclis oratione : ἡμεῖς οἵδε οἱ νῦν ἔτι ὄντες μάλιστα ἐν τῇ καθεστηκυίᾳ ἡλικίᾳ. || — ἀλλ' ὄψις ταῦτα] Ob oculos auctor habuit verba Thucydidis 1, 73, 2 in oratione legatorum Atheniensium : τὰ μὲν πάνυ παλαιὰ τί δεῖ λέγειν, ὧν ἀκοὴ μᾶλλον λόγων μάρτυρες ἢ ὄψις τῶν ἀκουσομένων. || — § 2 κατεσκαμμένων] Sic manus 2.,... ἕνα m. 1. || — ἅττα] supra scriptum. || — § 3. ὅπερ ἔφην] velim ὥσπερ vel ex more Nostri ᾗπερ ἔφην. || — Ταῦρος... παρήκων μέχρι Σινώπης] Eandem de Tauri tractu opinionem repetit lib. 4, c. 4, 2. || — § 4. βασίλειόν τε τὴν Προυσίαν καθεστάμενοι] Paullo post annum 1326, quo anno urbs ab Urchane sub Osmane I rege capta est. Vid. Seadeddin. 1, p. 23. Obiter rem memorant Byzantini, Nicephorus, Chalcocondylas et Phrantzes. Cf. Zinkeisen l. l. I, p. 95.

§ 5. Πρὸ τοῦ σήματος τῆς Ἕλλης] Schol. Apollon. Rhod. 2, 1144 : Τελευτῆσαι δὲ τὴν Ἕλλην κατὰ Πακτύην φησὶν Ἑλλάνικος. Pactye autem ad isthmum Chersonesi Thracicæ sita est. Ea in regione Turci an. 1356 castellum maritimum occuparunt, 30 fere stadia a Callipoli distans, quod *Tzympe* ap. Cantacuz. IV, 33, *Cimeni* ap. Seadeddin. vers. Bratutti, nunc *Tchini* vel etiam *Dchemenlik* vocatur. Anno sequenti ipsa etiam Callipoli potiti sunt. V. Zinkeisen 1, p. 206 sqq. || — τοῦ τῆς Χερσοννήσου] τοῦ addidi; olim etiam in codice fuerit, quum ante τῆς duarum vel trium literarum spatium vacuum sit. || — § 6. ξύνεγγυς] sic m. 2, ἐγγὺς m. 1. || — ἐξ ἐπιδρομῆς ἢ ἀπάτης] Amplam de his narrationem habes apud Seadeddin. p. 61 sq. || — ἄλλα τε γένη πολλὰ] Haec in margine adduntur. || — § 7. Ἴστρων τε καὶ Δαλματῶν] in margine adduntur. || — § 9 τοῦ πρόσω] Verba transductâ lineâ deleta, adeo ut in altero codice, qui cum nostro collatus est, non exstitisse videantur.

καὶ σώμασι καὶ ὅπλοις καὶ πλούτῳ καὶ ἀρετῇ τῶν ἐνοικούντων καὶ πολλοῖς ἄλλοις ὠχυρωμέναι πρὸς ἄμυναν διανίσταντο, καὶ φρούρια ἐρυμνὰ καὶ δυσάλωτα καὶ τόποι δύσβατοι καὶ δυσχωρίαι πολλαὶ καὶ ποταμοὶ ξυνεχεῖς καὶ οὐ ῥᾳδίως διάβατοι καὶ πολλὰ τοιαῦτα εἶργον αὐτοὺς (τοῦ πρόσω), τὸ δὲ μέγιστον, αἱ τῶν Ῥωμαίων δυνάμεις κατά τε γῆν καὶ θάλασσαν ἀεὶ κατὰ πρόσωπον αὐτοῖς ἀνθιστάμεναι καὶ μαχόμεναι καὶ πολλὴν ἐναντίωσίν τε καὶ ἀγωνίαν παρέχουσαι. (10) Ἀλλ' ὅμως οὐδὲν τούτων ἐπέσχεν αὐτοὺς τοῦ πρόσω, οὐδ' ἐκώλυσε τὴν τούτων ὁρμήν τε καὶ ἀρετήν, ἕως ἅπαντα καταστρεψάμενοί τε καὶ καθελόντες τελείως ἐκρατύναντο τὴν ἀρχὴν βεβαίως, καὶ τοῖς πᾶσιν ἰσχυροτάτην ἀπέδειξαν, ἄνδρες ἀγαθοὶ γενόμενοι διὰ τέλους καὶ μηδὲν τοῦ ἐξ ἀρχῆς ὅλως ὑφέντες λογισμοῦ καὶ φρονήματος. (11) Κρατοῦντες μὲν γὰρ τῶν ἐχθρῶν ἐπεξήρχοντο μέχρι πολλοῦ, νικώμενοι δὲ οὐκ ἀνέπιπτον, οὐδὲ τὰς χρηστὰς ἀφῄρουν ἐλπίδας, ἀλλὰ τῷ τε σφῶν αὐτῶν εὐψύχῳ καὶ τῇ ἐλπίδι τοῦ μέλλοντος τὸ πᾶν ἐπιτρέποντες, ἔτι δὲ καὶ τῷ τῆς τύχης ἀδήλῳ, αὖθις εἴχοντο τῶν πραγμάτων ἐρρωμένως, τολμῶντες μὲν καὶ παρὰ δύναμιν, κινδυνεύοντες δὲ καὶ παρὰ γνώμην, ἐν δὲ τοῖς δεινοῖς ὄντες εὐέλπιδες, καὶ μὴν ἀνένδοτοι μὲν ἐν πόνοις, ἄοκνοι δὲ πρὸς πᾶν τὸ δόξαν εὖ ἔχειν αὐτοῖς, πρὸς δὲ μηδὲν τῶν καλῶν μελληταί, ὀξεῖς μὲν ἐπινοῆσαι τὸ δέον, ταχεῖς δὲ τὸ νοηθὲν ἔργῳ τελέσαι· (12) ἀποδημίαις τε μακραῖς χαίροντες ἀεὶ πρὸς τὸ κτᾶσθαί τι τῶν οὐκ ὄντων, καὶ μηδέποτε μένοντες ἐπὶ τῶν αὐτῶν, μηδὲ τοὺς ἄλλους ἐῶντες, τὸ μὲν παρὸν ἐς οὐδὲν λογιζόμενοι διὰ τὸ ἀεὶ τῶν απόντων ἐφίεσθαι, τὸ δὲ μὴ ἤδη κτηθέν, ἐπινοηθὲν δέ, ὡς ὂν κατέχοντες, ἐλάχιστα μὲν ἀπολαύοντες τῶν ὑπαρχόντων διὰ τὴν τοῦ πλείονος ἔφεσιν, ἀεὶ δὲ μοχθοῦντες διὰ τὴν τῶν μὴ ὄντων κτῆσίν τε καὶ ἀπόλαυσιν, τοῖς μὲν σώμασιν ὡς ἀλλοτρίοις χρώμενοι πρὸς τοὺς πόνους τε καὶ κινδύνους, μηδ' ὅλως τούτων φειδόμενοι καὶ σφαλλομένων πολλάκις, τὰς δὲ ψυχὰς ἀήττητοι διαμένοντες, καὶ οὕτως ὅλον τὸν ἴδιον αἰῶνα μοχθοῦντες, ἐναγώνιον τε καὶ ἐπίπονον αὐτοῖς καταστησάμενοι τὴν ζωήν, ἐς τοῦτο δόξης τε καὶ δυνάμεως ἦραν τὴν ἀρχὴν καὶ σώμασι καὶ χρήμασι καὶ ὅπλοις καὶ τριήρεσι καὶ πᾶσι τοῖς ὑπάρχουσι, μεγίστην τε ἀπέδειξαν καὶ πρὸς πόλεμον καὶ εἰρήνην αὐταρκεστάτην, καὶ ἡμῖν παρέδοσαν· (13) ἣν μὴ φανῶμεν προδιδόντες τό γε ἡμῶν μέρος, μηδὲ τὰς τῶν προγόνων ἀνδραγαθίας ἀφανίσωμεν, μηδὲ τὴν ἡμετέραν αὐτῶν ἀναιρήσωμεν δόξαν, ἣν ἔσχομεν ἐκ πάνυ πολλοῦ, ὀνομαστοὶ παρὰ πᾶσιν ὄντες ἐπ' ἀνδρίᾳ καὶ στρατηγίᾳ καὶ ἀρετῇ, καὶ ἀκαταγώνιστοι ἐς δεῦρο καὶ δοκοῦντες καὶ ὄντες, μιᾶς νῦν πόλεως ἡττημένοι, καὶ ταύτης οὔτε τοῦ θαρρεῖν ἐχούσης ἔτι καιρὸν ὑπὲρ ἑαυτῆς, ἀλλὰ κεκενωμένης διόλου τῶν οἰκητόρων σχεδόν, πάντα δὲ τὰ πρόσθεν καλὰ περικεχομμένης τε καὶ περιῃρημένης τελείως τῷ τε μακρῷ χρόνῳ καὶ ταῖς ξυνεχέσι καταδρομαῖς καὶ πολιορκίαις τῶν ἡμετέρων, καὶ μηδὲ πόλεως οὔσης ἔτι, ὄνομα δὲ μόνον σωζούσης· τὰ δ' ἄλλα γῆς ἀροσίμου καὶ φυτῶν καὶ ἀμπέλων περίβολός ἐστιν, ὡς ὁρᾶτε, καὶ ματαίων οἰκοδομιῶν τε καὶ τοίχων κενῶν καὶ τούτων ἐρειπίων τῶν πλείστων. (14) Ὁρᾶτε γὰρ ὡς ἐν τῷ μέσῳ κειμένη τῆς ἡμετέρας ἀρχῆς, ἐν ἐπικαίρῳ τε γῆς καὶ θαλάσσης, ὅσα καὶ οἷα πράγματα παρέσχεν ἡμῖν ἐξ ἀρχῆς, ἀεὶ πολεμοῦσα, καὶ νῦν ἔτι παρέχει, τοῖς ἡμετέροις πράγμασιν ἐφεδρεύουσα καὶ ταῖς ἡμῶν ἀκαιρίαις ἀεὶ ἐπιφυομένη καὶ τὰ μέγιστα βλάπτουσα. (15) Τίς γὰρ οὐκ οἶδεν, ὡς ἐπὶ τοῦ ἡμετέρου προγόνου Παϊαζήτου ἐκείνου πᾶσαν τὴν ἑσπέραν ἐκίνησε καθ' ἡμῶν ὁ ταύτης βασιλεύς, ἀπὸ μὲν ὠκεανοῦ καὶ Μασσαλίας Γαλάτας τε τοὺς ἑσπερίους καὶ Πυρηναίους καὶ Ἱσπανούς, ἀπὸ δὲ Ῥήνου ποταμοῦ καὶ τῶν προσαρκτίων Κελτοὺς καὶ Κελτίβηράς τε καὶ Γερμανούς, τόν τε Παιόνων τε καὶ Δακῶν βασιλέα πολύ τι χρῆμα στρατιᾶς ἄγοντα κατὰ γῆν, ἔτι δὲ καὶ διὰ τοῦ ποταμοῦ τριήρεις· οἳ καὶ διαβάντες τὸν Ἴστρον καὶ παρὰ τὰς τούτου ὄχθας ἐν τῇ ἡμετέρᾳ στρατοπεδεύσαντες, οὐδὲν ἐνενόουν μικρόν, ἀλλὰ πᾶσαν τὴν ἡμετέραν δύναμιν καὶ ἀρχὴν καθελεῖν

§ 10 Ἰσχυροτάτην] supra ι scriptum ε. Igitur in altero codice fuerit ἐχυρωτάτην. || — § 11. In sqq. Atheniensium potius quam Turcorum indolem describi dixeris. Critobulus in usus suos convertit Thucydideam orationem legatorum Corinthiorum (1, c. 68 sqq.) et Periclis orationem funebrem (2, 35 sqq). || — κρατοῦντες] Thucyd. 1, 70, 3 : κρατοῦντές τε τῶν ἐχθρῶν ἐπὶ πλεῖστον ἐξέρχονται, καὶ νικώμενοι ἐπ' ἐλάχιστον ἀναπίπτουσιν. || — τῷ τε σφῶν αὐτῶν εὐψύχῳ] Thuc. 2, 39, 1 : πιστεύοντες... τῷ ἀφ' ἡμῶν αὐτῶν ἐς τὰ ἔργα εὐψύχῳ. || — τολμῶντες... εὐέλπιδες] Thuc. 1, 70, 3 : αὖθις οἱ μὲν καὶ παρὰ δύναμιν τολμηταὶ καὶ παρὰ γνώμην κινδυνευταὶ καὶ ἐπὶ τοῖς δεινοῖς εὐέλπιδες. || — ἀνένδοτοι ἐν πόνοις] Thuc. 1, 70, 8 : καὶ ταῦτα μετὰ πόνων πάντα καὶ κινδύνων δι' ὅλου τοῦ αἰῶνος μοχθοῦσιν. || — ἄοκνοι] Thuc. 1, 70, 4 : ἄοκνοι πρὸς ὑμᾶς (Lacedæmonios sc.) μελλητάς. || — μελληταί] μεληταί cod. || — ὀξεῖς] Thuc. 1, 70, 2 : ἐπινοῆσαι ὀξεῖς καὶ ἐπιτελέσαι ἔργῳ ὃ ἂν γνῶσιν.

§ 12. Ἀποδημίαις] Thuc. 1, 70, 4 : ἀποδημηταὶ.., οἴονται γὰρ τῇ ἀπουσίᾳ ἄν (ἀεί?) τι κτᾶσθαι, et § 9 : ὥστε μήτε αὐτοὺς ἔχειν ἡσυχίαν μήτε τοὺς ἄλλους ἀνθρώπους ἐᾶν. || — τὸ μὲν παρὸν etc.] Thuc. 1, 70, 7 : Καὶ ἃ μὲν ἂν ἐπινοήσαντες μὴ ἐξέλθωσι, οἰκεῖα στέρεσθαι ἡγοῦνται, ἃ δ' ἂν ἐπελθόντες κτήσωνται, ὀλίγα πρὸς τὰ μέλλοντα τυχεῖν πράξαντες. || — ἐλάχιστα μὲν ἀπολαύοντες etc.] Thuc. 1, 70, 8 : καὶ ἀπολαύουσιν ἐλάχιστα διὰ τὸ ἀεὶ κτᾶσθαι. || — τοῖς μὲν σώμασιν] Thuc. 1, 70, 6 : ἔτι δὲ τοῖς μὲν σώμασι ἀλλοτριωτάτοις ὑπὲρ τῆς πόλεως χρῶνται, τῇ γνώμῃ δὲ οἰκειοτάτῃ ἐς τὸ πράσσειν τι ὑπὲρ αὐτῆς. || — μοχθοῦντες] Thuc. 1, 70, 8 : δι' ὅλου τοῦ αἰῶνος μοχθοῦσιν.

§ 13. Τῶν ἡμετέρων] sic mgo, ἡμῶν cod. || — § 14. ἀκαιρίαις ἀεὶ ἐπιφυομένη] Cf. 16, 6 : τοῖς ἡμῶν ἐπιφυομένην σαθροῖς, atque c. 48, 6 in alia Mechemetis oratione : πόλιν ἐχθρῶς ἔχουσαν ἡμῖν ἐξ ἀρχῆς καὶ ἀεὶ ἐπιφυομένην τοῖς ἡμετέροις καλοῖς (leg. κακοῖς) καὶ πάντα τρόπον ἐπιβουλεύουσαν τὴν ἡμετέραν ἀρχήν. || — § 15 Πυρηναίους] Πυριναίους et mox Κελτήβηρες codex. || — κατὰ γῆν] Hæc in margine supplentur.

καὶ τῆς Εὐρώπης τε καὶ Ἀσίας ἡμᾶς ἐκβαλεῖν, εἰ μὴ ἡ τοῦ Παϊαζήτου τότε στρατηγία καὶ ἐμπειρία καὶ τόλμη τοῦτο διεκώλυσε καὶ διέλυσε, κατὰ κράτος αὐτοὺς νικήσασά τε καὶ καθελοῦσα, καὶ τοὺς μὲν αὐτοῦ κατακοπῆναι, τοὺς δ' ἐναποπνιγῆναι τῷ Ἴστρῳ πεποίηκεν, ἐκ πάνυ πολλῶν βραχεῖς τινας καὶ τούτους μόγις περισωθέντας. (16) Καὶ πάλιν μετὰ μικρὸν Τιμήριον τὸν Σκύθην ἀπὸ Βαβυλῶνος ἀναστήσασα καθ' ἡμῶν ἤγαγεν· ὑφ' οὗ πεπόνθαμεν οἷα ἴστε, καὶ ὡς παρ' οὐδὲν ἤλθομεν τότε πάσης τῆς ἡμετέρας ἀρχῆς καὶ δυνάμεως ἐκπεσεῖν. (17) Καὶ τὸ ἐξ ἐκείνου μέχρι νῦν οὐ διέλιπεν ἐπεξάγουσά τε καὶ ὁπλίζουσα κατ' ἀλλήλων τοὺς ἡμετέρους καὶ ξυγκρούουσα καὶ ταράττουσα καὶ βλάπτουσα τὴν ἡμετέραν ἀρχήν, χθές τε καὶ πρὸ ὀλίγου τὸν Γέτην Ἰωάννην μετὰ Παιόνων τε καὶ Δακῶν κινήσασα καθ' ἡμῶν, ὃς δίς τε καὶ τρὶς τὸν Ἴστρον διαβὰς ξὺν δυνάμει καὶ ἐς τὴν ἡμετέραν ἐσβαλών, πολλὰ κακὰ τὸν ἐμὸν πατέρα πεποίηκε. (18) Καὶ παρίημι τὸ τῶν αὐτομόλων πρᾶγμα τοσοῦτον καὶ τὴν ἀπὸ τούτου βλάβην τε καὶ ζημίαν καθ' ἡμέραν ἐγγινομένην ἡμῖν, οὐ μόνον δούλων, ἀλλ' ἤδη καὶ ἐλευθέρων. (19) Βραχὺς ὁ λόγος· οὔθ' ἡσύχασεν οὔθ' ὅλως ἡσυχάσει ποτὲ ἀνθισταμένη καὶ ἐναντιουμένη τοῖς ἡμετέροις, οὐδὲ στήσεται τοῦ καθ' ἡμῶν πολέμου καὶ τῆς κινήσεως, ἕως ἂν μένειν ἐῶμεν αὐτὴν ἐπὶ τῶν αὐτῶν, καὶ μὴ πάντη ἐξέλωμεν ἢ ὑπὸ χεῖρα σφῶν ποιησώμεθα. »

XV. « Ταύτης τοίνυν, ὦ φίλοι ἄνδρες, [καὶ] τοιαύτης πόλεως ἀντικαθεστηκυίας ἡμῖν καὶ πάντα πραττούσης καθ' ἡμῶν φανερῶς τε καὶ ἀφανῶς καὶ τὴν ἡμετέραν ἐπιβουλευούσης ἀρχήν, ἡμεῖς διαμέλλομεν καὶ λόγον οὐδένα ποιούμεθα, οὐδὲ πρὶν ἢ κακῶς δρᾶσαι ἡμᾶς, σπεύδομεν αὐτὴν ἐξελεῖν, ἀλλὰ νομίζομεν ἐφ' ἡμῖν εἶναι ἀεὶ διατίθεσθαι τὸν πόλεμον ᾗ βουλοίμεθα; καὶ οὐκ οἴδαμεν ὡς τὰ τῶν πολέμων καὶ τῶν καιρῶν ἔργα οὐ μενετά, καὶ τῷ χρόνῳ οὐδὲν ἀνέλπιστον, καὶ τὰ τῆς τύχης ἄδηλα πανταχοῦ, καὶ τὸ τῶν πραγμάτων τέλος ἀστάθμητον καὶ ἀτέκμαρτον, καὶ δεῖ τὰ τοιαῦτα προλαμβάνειν τε ἀεὶ τοὺς νοῦν ἔχοντας, καὶ καιρὸν ἔχοντας ἐπιτίθεσθαι τοῖς ἐχθροῖς, καὶ μὴ ἀναμένειν παθεῖν κακῶς καὶ τότε ἀμύνασθαι, ἀλλὰ πρὸ τοῦ παθεῖν μᾶλλον αὐτοὺς δρᾶν καὶ προεπιβουλεύειν ἢ ἀντεπιβουλεύειν, καὶ τοῦτο νομίζειν κέρδος ἐν τοῖς τοιούτοις ὅ τι ἂν προλάβοι τις ἐξαπατήσας ἢ βιασάμενος τὸν ἐχθρόν; τοιαῦτα γὰρ τὰ τοῦ πολέμου· οὐκ εἰσὶν ἐπὶ ῥητοῖς, ἀλλ', ὡς τὰ πολλά, τοῦ δυναμένου καὶ βουλομένου λαθεῖν ἢ προλαβεῖν τι καὶ πλεονεκτῆσαι, οὕτω παρασχὸν, ἡ νίκη γίνεται. »

XVI. « Ἐγὼ μὲν οὖν οὕτω γνώμης ἔχων, ὦ ἄνδρες, καὶ τοιούτοις τισὶ λογισμοῖς καὶ αἰτίαις χρώμενος, προσέτι δὲ καὶ μεγίστοις ἐγκλήμασι κεκινημένος, ξυνήγαγον ἐνθάδε ὑμᾶς, οὐκ ἔτι ἀνασχετὰ ἡγούμενος εἶναι· καὶ δικαιῶ πάντας ἀναπειθομένους κοινωνεῖν τῆς γνώμης ἐμοί· καὶ ἐπιχειρητέα εἶναί φημι καὶ πολεμητέα ἐν τάχει, καὶ τὴν πόλιν ταύτην ἐξαιρητέα, πάσῃ προθυμίᾳ καὶ σπουδῇ τὸν πόλεμον ἀραμένους, ἢ μηδὲ τῆς ἡμετέρας ἀρχῆς ἔτι καὶ τῶν ταύτης καλῶν ὡς οἰκείων ἀντιποιεῖσθαι μηδὲ νομίζειν τοῦ λοιποῦ βέβαια εἶναι. (2) Ἀδύνατον γὰρ ταύτην τε ἀτρεμεῖν καὶ τὰ ἡμέτερα μὴ ἐν ἀμφιβόλοις εἶναι, μὴ τῆς πόλεως ταύτης ἢ ληφθείσης ἡμῖν ἢ γεγονυίας ἐκ μέσου. (3) Ἁπλοῦς ὁ λόγος· αἱροῦμαι ἢ μετ' αὐτῆς καὶ τὴν ἡμετέραν ἔχειν ἀρχήν, ἢ ταύτης χωρὶς καὶ ταύτην γε ξυναποβαλεῖν· μετ' αὐτῆς γάρ, εὖ ἴστε, καὶ τὰ ὄντα ἡμῖν βέβαια καὶ τὰ μὴ ὄντα κτητά, ἄνευ δὲ ταύτης ἢ ἐχούσης ὡς ἔχει, τῶν τε ἡμετέρων οὐδὲν πιστὸν, τῶν τε ἄλλων οὐδὲν ἐλπιστόν· (4) εἴτε γὰρ ἔχοντες οὗτοι ταύτην καὶ βιαζόμενοι παρ' ἡμῶν, ξυμμαχίαν ἰσχυροτέραν ἐπάξωνται καὶ τῆς καθ' ἡμᾶς θαλάσσης κρατήσωσιν, ἐν πολέμοις ἀεὶ τὰ ἡμέτερα ἔσται καὶ κινδύνοις καὶ δαπάναις ἐπιζημίοις, καὶ τὸ πέρας ἄδηλον τοῦ πολέμου· πολλὰ γὰρ καὶ παρὰ λόγον πολλάκις, καὶ ὧν οὐκ ἄν τις προσεδόκησεν, ἐν τοῖς τοιούτοις ξυμβαίνειν φιλεῖ, ὅ τε πόλεμος μηκυνόμενος ἐς τύχας τὰ πολλὰ περιίσταται· (5) εἴτε πάλιν μὴ δυνάμενοι σώζειν αὐτὴν, ἑτέροις ἰσχυροτέροις σφῶν ἐπιτρέψωσι, καὶ σώμασι καὶ χρήμασι καὶ τριήρεσι καὶ ὅπλοις καὶ τοῖς πᾶσιν ἄριστα ἐξηρτυμένοις, οἱ δ' ἐρρωμενέστερον ἀνθέξωνται τῶν πραγμάτων καὶ ὡς οἰκείων ἤδη ἀντιποιήσαιντο, σκοπεῖτε ἐν οἵοις τὰ ἡμέτερα ἔσται. (6) Πόλιν οὕτω μεγάλην ἐν ἐπικαίρῳ γῆς καὶ θαλάσσης κειμένην, ἐφορμοῦσάν τε τοῖς ἡμετέροις ἀεὶ καὶ τοῖς ἡμῶν ἐπιφυομένην σαθροῖς, δύναμίν τε κτησαμένην ἀντίρροπον ἀπὸ τοῦ ἴσου ἡμῖν πολεμεῖν ἐγὼ μὲν οἶμαι, ἀλλ' οὐ βούλομαι λέγειν οὐδὲν δυσχερές, τρέποιτο δ' εἰς τὰς τῶν ἐχθρῶν κεφαλὰς τὸ βλάσφημον, πλὴν εἰ καὶ δεινόν τῳ ἀκοῦσαι, οὐ πρός ἡμῶν γε καὶ τοῦ ἡμετέρου καλοῦ τά γε τοιαῦτα.

---

§ 16. Τιμήριον] τι μήριον codex. Fortasse erat μικρόν τι Τεμήριον. Infra c. 16, 10 codex habet Τεμήρτις et lib. 4, c. 4, 3 : Τόμιρις (Τέμιρις?) ὁ Μασσαγετῶν τε καὶ Σκυθῶν βασιλεύς. Apud Chalcocond. p. 64 et passim Τομήρης, apud Phrantzen p. 64, 20 Ντεμίρης, apud Ducam p. 57, 23 Τεμὺρ χὰν σουλτᾶνος Περσίας καὶ Βαβυλῶνος vocatur. Timur in Osmanorum ditionem irrupit anno 1400. Eum a Byzantinis contra Turcos excitatum esse, num alius scriptor tradiderit, quæro. || — παρ' οὐδὲν ἤλθομεν ἐκπεσεῖν] sc. post prœlium ad Angora mense Julii an. 1402 commissum, quo Bajasides captus est. || — § 17. Ἰωάννην] Joannem Hunyadem, an. 1441 sq. V. Zinkeisen 1, p 597 sqq.

XV. Καὶ ante τοιαῦτα inserui. || — τὰ τῶν πολέμων καὶ τῶν καιρῶν ἔργα οὐ μενετά] Thucyd. 1, 142, 1 : τοῦδε πολέμου οἱ καιροὶ οὐ μενετοί. || — τὰ τῆς τύχης ἄδηλα] Thuc. 2,11, 4 : ἄδηλα γὰρ τὰ τῶν πολέμων. || — τὸ τῶν πραγμάτων τέλος ἀστάθμητον] Thuc. 3, 59, 1 : ἀστάθμητον τὸ τῆς ξυμφορᾶς. || — οὐκ εἰσὶν ἐπὶ ῥητοῖς] Thuc. 1, 122, 1 : ἥκιστα γὰρ ὁ πόλεμος ἐπὶ ῥητοῖς χωρεῖ, αὐτὸς δὲ ἀφ' αὑτοῦ τὰ πολλὰ τεχνᾶται πρὸς τὸ παρατυγχάνον.

XVI. § 1. Ταύτην post v. τὴν πόλιν supplevit margo. || — § 6. Εἰ καὶ δεινόν τῳ ἀκοῦσαι] Cf. Thuc. 1, 22, 2 : τὴν

(7) Διὰ τοῦτο οὐ δεῖ μέλλειν ἡμᾶς ἔτι, οὐδὲ καιρὸν ἔχοντας ἀναδύεσθαι, ἀλλ' ἐπιτίθεσθαι ταύτῃ πάντας πάσῃ καὶ χειρὶ καὶ δυνάμει καὶ μάλιστα ἕως ἂν καὶ τὰ τοῦ δαιμονίου μεθ' ἡμῶν ᾖ, μηδενὸς φειδομένους τῶν ἐς τὸν πόλεμον, μήτε σωμάτων μήτε χρημάτων μήτε ὅπλων μήτε ἄλλου του τῶν τοιούτων οὐδενός, μηδ' ἄλλο τι προὔργου τῶν ἁπάντων τιθέναι, ἕως ἂν ἢ πάντῃ ταύτην ἐξελόντες ἐκ μέσου θείημεν, ἢ ὑπὸ χεῖρα σφῶν ποιησαίμεθα. (8) Νομίσει τε μηδεὶς ὑμῶν ἀδύνατα εἶναι ταύτην ἑλεῖν, λογιζόμενος τὸ τοῦ ἡμετέρου πάππου τε καὶ πατρός, καὶ ὡς οὗτοι ταύτην σχόντες τὴν γνώμην εὐθὺς ἐξ ἀρχῆς καὶ πόλεμον ἄσπονδον ἀράμενοι πρὸς αὐτὴν, χειρί τε πολλῇ καὶ δυνάμει περισχόντες καὶ ὅπλοις, ἔτι τε χρονίῳ πολιορκίᾳ καὶ λιμῷ πολλῷ πᾶσαν ἐκτετρυχότες οὐκ ἠδυνήθησαν ὅμως ταύτης περιγενέσθαι. (9) Εἰ μὲν γὰρ αὕτη τοτε ἰδίᾳ ῥώμῃ τε καὶ δυνάμει ἀντέσχε, καὶ κρείττων ἐφάνη τῶν ἀντιπολεμούντων, ἅτε σώμασι καὶ χρήμασι καὶ ὅπλοις καὶ τοῖς ἄλλοις πᾶσιν ἠσφαλισμένη καλῶς, ἢ οὗτοι ταῖς οἰκείαις δυνάμεσι καὶ παρασκευαῖς ἐλάττους ὄντες ὑστέρησαν, μηδαμοῦ δυνηθέντες ταύτην ἑλεῖν, εἶχεν ἂν λόγον τὸ δέος καὶ οὗτος ὁ λογισμός· (10) νῦν δὲ τίς οὐκ οἶδεν ὡς τῶν μὲν τοῦ Παϊαζήτου χειρῶν τύχη τίς ποθεν ἀδοκήτως ἐπιφανεῖσα παρὰ λόγον ἐξήρπασεν, ὁποῖα πολλὰ πολλάκις παρὰ τοῦ δαιμονίου τοῖς ἀνθρώποις ξυμβαίνει· ξυγκείμενον γὰρ αὐτοῖς ἐπὶ ῥηταῖς ἡμέραις ἐνδιδόναι τοὺς πολίτας τήν τε πόλιν καὶ ἑαυτοὺς, ἅτε πλέον μὴ δυναμένους ἀντέχειν λιμῷ τε καὶ πολιορκίᾳ μακρᾷ, αἴφνης ἐπιφανέντες ἐκ μὲν Εὐρώπης Παιόνων καὶ Δακῶν βασιλεὺς πρότερον, ἐκ δὲ Ἀσίας μικρὸν ὕστερον Τεμήρτις ὁ Βαβυλώνιος ἀνέστησάν τε αὐτὸν τῆς πολιορκίας, καὶ τρέψαντες ἐς αὐτοὺς, οὕτω ξυνέβη ταύτην περιγενέσθαι ἀνελπίστῳ τύχῃ περισωθεῖσαν. (11) Ὁ δέ γε πατὴρ ὁ ἐμὸς, ἴστε μεθ' οἵας παρασκευῆς καὶ δυνάμεως ἐστράτευσεν ἐπ' αὐτὴν, καὶ ὡς τοσοῦτον τῇ πολιορκίᾳ ταύτης ἐκράτησεν, ὡς μηδ' αὐτὸ τὸ τεῖχος ἔχειν ἐᾶσαι τοὺς προμαχομένους ἐλεύθερον, βαλλομένους τοῖς τε τόξοις καὶ τοῖς ἀπὸ τῶν μηχανῶν λίθοις· οὕτως εἶχεν αὐτὴν ἐν χεροῖν· κἂν εἷλε βίᾳ τοῖς ὅπλοις μαχόμενος, εἰ μὴ τοὺς σφόδρα οἰκείους καὶ οἷς μάλιστα ἐπίστευεν, ἀντιπράττοντας ἀφανῶς εἶχεν αὐτῷ καὶ τὸ πλέον τῆς γνώμης νέμοντας τοῖς πολιορκουμένοις ἰδίων ἕνεκα κερδῶν· οὗτοι τοίνυν τῆς τε πολιορκίας αὐτὸν ἀνέστησαν καὶ ταύτην περιεσώσαντο. (12) Εἰ δὲ καὶ ἰδίᾳ δυνάμει τότε περιγενέσθαι ταύτην ξυνέβη (θῶμεν γὰρ καὶ τοῦτο), ἀλλ' οὐ τὰ αὐτὰ τῶν τότε καὶ νῦν καιρῶν ταύτῃ τε καὶ ἡμῖν· τότε μὲν γὰρ αὕτη ξυνετωτέροις τε καὶ στρατηγικωτέροις, προσέτι δὲ καὶ τῶν πραγμάτων ἐμπειροτέροις ἐκέχρητο τῷ τε βασιλεῖ καὶ τοῖς ἄρχουσιν, οἰκήτορσί τε πλείοσιν ἐφρουρεῖτο, τῆς τε θαλάσσης ἐκ μέρους ἐκράτει τῆς κατ' αὐτήν, τά τε παρὰ τῶν Ἰταλῶν, ἐπικουρίας τῆς μὲν ἐτύγχανεν ἤδη, τῆς δὲ ἐν ἐλπίσιν ἦν, καὶ ἄλλα δὲ πολλὰ εἶχε τὰ βοηθοῦντα· (13) τὰ δὲ δὴ νῦν ἀσθενέστερά τε αὐτῇ καὶ τοῖς ὅλοις χείρω· τῶν τε γὰρ οἰκητόρων πλεῖστον κεκένωται, τῆς τε θαλάσσης τελείως ἐστέρηται, ὅ τε βασιλεὺς αὐτῇ καὶ οἱ περὶ αὐτὸν τοιοῦτοί εἰσιν οἵους ἄν τις εὔξαιτο ἀνταγωνιστὰς σχεῖν, τὰ δὲ παρὰ τῶν Ἰταλῶν καὶ σφόδρα οὐδ' ἐν ἐλπίσιν αὐτοῖς, μᾶλλον μὲν οὖν καὶ πάντῃ ἐχθρά, ἐκπεπολεμωμένων τῇ περὶ τὸ θεῖον δόξῃ, τά τε ἔνδον αὐτῇ στάσεως γέμει καὶ ταραχῆς διὰ ταύτην γε τὴν αἰτίαν· καὶ πολλὰ ἄν τις εὕροι ἐλαττώματα ἄλλα σκοπῶν ἀκριβῶς. (14) Ἡμῖν δὲ καὶ τὰ τῆς ἀρχῆς ἐπὶ μέγα ἦρται πολλῶν ἐπιδόσει· κατάλογοί τε γὰρ στρατευμάτων ἱππικοί τε καὶ πεζικοὶ πλεῖστοι καὶ κάλλιστοι καὶ εὐοπλότατοι, μᾶλλον εἴπερ ποτὲ καὶ νεότης εὐανδροῦσα πολλὴ, καὶ ἡ ἡμετέρα αὐλὴ νῦν μέγιστον ἔχει τὸ κράτος, χρήματά τε ἡμῖν πλεῖστα ἔν τε θησαυροῖς καὶ φόροις ἐπετείοις, καὶ ὅπλων εὐπορία πολλὴ καὶ μηχανῶν καὶ παρασκευῶν τῶν ἐς τὸν πόλεμον, καὶ τριήρεις οὐκ ὀλίγαι καὶ ἄλλα πολλὰ ἐπεγένετο, ἃ πάντα οὐ πρὸς μίαν ταύτην πόλιν, ἀλλὰ πολλαῖς πόλεσιν ἀντιρρόποις αὐτῇ μερισθέντα ἤρκεσεν ἂν καταγωνίσασθαι πάσας. (15) Ἔτι τε τῆς καθ' ἡμᾶς θαλάσσης κρατοῦμεν καὶ τῆς κατ' αὐτὴν ἁπάσης, καὶ φρουρίοις αὐτὴν ἄνω καὶ κάτω ἠσφαλισάμεθα διὰ τῶν πορθμῶν τῶν τε ἠπείρων ἀμφοτέρων, εἴργοντες αὐτὴν γῆς καὶ θαλάσσης ἁπάσης· ἄλλα τε πρόσεστιν ἡμῖν οὐκ ὀλίγα πλεονεκτήματα, οἷς πᾶσι θαρρῶ καὶ πάνυ πιστεύω οὐκ ἀντισχήσειν ὅλως αὐτὴν, ἀλλ' ἢ ἐξ ἐπιδρομῆς βίᾳ ἡμᾶς τοῖς ὅπλοις ἑλεῖν ἂν, ἢ οὐ μακρᾷ πολιορκίᾳ αἱρήσειν. (16) Μόνον μὴ μέλλωμεν, μηδὲ διδῶμεν

ἦσαν, εἰ καὶ δεινόν τῳ ἀκοῦσαι, ἴστω οὐκ ἄλλο τι φέρουσαν ἢ ἄντικρυς δουλείαν· ὃ καὶ λόγῳ ἐνδοιασθῆναι αἰσχρόν. || — § 10. Παϊαζήτου] Παγιαζὴτ ap. Ducam nomen scribitur. || — ἐνδιδόναι] Sic m. 2, ἐνδοῦναι m. 1. || — πρότερον] πρῶτον margo. Sigismundus Ungariæ rex, cujus auxilium Emanuel imperator in summas angustias adactus imploraverat, prœlio ad Nicopolim mense Sept. an. 1396 commisso a Bajaside debellatus est. || — Τεμήρτις] τις ex ις vel ης ortum fuerit. Cf. not. ad cap 14, 16. De Bajeside Timuris motu a rebus Byzantinis avocato v. Ducas p. 59, 19 et Phrantzes p, 64, 17 et 88, 17. || — ἀνελπίστῳ] ἀπίστῳ mgo.

§ 11. Ὁ δέ γε πατὴρ ὁ ἐμὸς] Morates II sive *Murad*, pater Mechemetis, Constantinopolim anno 1422, inde a die X Junii ad diem XXIV Augusti, obsedit. Qua de obsidione peculiarem libellum habemus Joannis Cananæ (ad calcem Phrantzæ in edit. Bonn. p. 457-479). Cf. Phrantzes p. 116, Ducas p. 186, Chalcocond. p. 232 sqq. Morates in urbem omni machinarum genere circumvallatam vi irrumpere tentans a Byzantinis clade affectus et repulsus est. Ne ultro rex insisteret, movit rebellio Mustaphæ fratris junioris, cujus conatus Emanuel imperator missis pecuniarum subsidiis adjuvaverat. Mustapha ille in Nicæa urbe captus strangulatur. || — § 13. τῇ περὶ τὸ θεῖον δόξῃ] Notissima intellige dissidia quæ de ecclesiarum junctione Nicolao V cum Constantino imperatore intercedebant. || — § 14. μηχανῶν] μηχαν..... margo; ultimas vocis literas bibliopega præcidit. Fuerit μηχανημάτων.

αὐτῇ καιρὸν ἔτι βουλεύεσθαι καθ' ἡμῶν, ἀλλὰ φανῶμεν ὅτι τάχιστα ἄνδρες ἀγαθοί, καὶ δείξωμεν αὐτῇ τε καὶ πᾶσιν ἀνθρώποις, ὡς οὐκ ἀνανδρίᾳ ἢ δειλίᾳ καὶ ἀσθενείᾳ, μελλήσει δὲ μᾶλλον καὶ ῥαθυμίᾳ καὶ μαλακίᾳ ἡμῶν περιγέγονε μέχρι τοῦ νῦν, μηδὲ τὰς τῶν ἡμετέρων προγόνων ἀνδραγαθίας καὶ ἀρετὰς καταισχύνωμεν, μηδ' ἀνάξιοι φανῶμεν ἐκείνων, ἐν μέσῃ τῇ ἡμετέρᾳ ἀρχῇ τηλικαύτῃ γε οὔσῃ μίαν πόλιν ἐῶντες ὥσπερ τύραννον καθεστάναι, πάντα τρόπον ἐπιβουλεύουσαν ταύτῃ, ἀλλὰ μᾶλλον δείξωμεν ἐξ ἐκείνων τε ὄντες καὶ τῇ ἐκείνων ἀνδρίᾳ καὶ ἀρετῇ κεχρημένοι. (17) Ἐκεῖνοί τε γὰρ πᾶσαν Ἀσίαν τε καὶ Εὐρώπην ἐν βραχεῖ χρόνῳ παραστησάμενοι ἰδίοις πόνοις τε καὶ κινδύνοις ἐκληρονόμησαν, καὶ πόλεις πολλὰς καὶ μεγάλας ἐγειρώσαντο, καὶ φρούρια ἐρυμνὰ ἐξεῖλον, καὶ γενῶν ἀπείρων ἐκράτησαν· ἡμεῖς τε ταύτην ἑλόντες, ὡς ἔκ τινος ἀκροπόλεως ὁρμώμενοι, ξὺν ὀλίγῳ πόνῳ τε καὶ καιρῷ τὰ λοιπὰ πάντα καταδραμούμεθα, καὶ οὐδὲν ἡμᾶς ἐπίσχει τοῦ πρόσω, οὐδὲ τῶν ἄλλων οὐδὲ ἓν ἀντιστῆναι δυνήσεται τῇ ἡμετέρᾳ δυνάμει τε καὶ ἀρχῇ, ἀλλ' ἐν βραχεῖ κύριοι γῆς καὶ θαλάσσης ἐσόμεθα. (18) Μὴ τοίνυν ἀναβολαῖς ἔτι κεχρώμεθα, ἀλλὰ κατὰ τάχος ἐσβάλλωμεν ἐς αὐτὴν πᾶσι τοῖς ὑπάρχουσιν, οὕτω γνώμης ἔχοντες, ἢ ταύτην ἑλεῖν τε καὶ ἐξελεῖν, ἢ μηδ' ὅλως ταύτης ἀπαναστῆναι, εἴ γε δὴ καὶ τεθνάναι δέοι, ἕως ἂν ταύτης γενώμεθα κύριοι. (19) Ἐγὼ δὲ καὶ αὐτὸς πρῶτος παρέσομαι ὑμῖν καὶ τῶν πόνων προθύμως ξυμμετασχήσω, καὶ πᾶσιν ἐπιστατήσω καλῶς, τιμήσω τε τοὺς ἀγαθοὺς τοῖς ἀξίοις δώροις ἕκαστον κατά τε ἀξίωσιν ἰδίαν καὶ ἀρετήν, καὶ ὅπως τις ἐπιφανὴς ἐν τοῖς κινδύνοις γενήσεται, ἢ ἐπ' ἄλλῃ τινὶ διαπρέψῃ ἀνδραγαθίᾳ.»

XVII. Ὁ μὲν δὴ τοιαῦτα εἰπὼν ἐπεψήφισεν ἤδη τὸν πόλεμον, τῶν δὲ παρόντων πάντες σχεδὸν ἐπεκρότησαν πρὸς τὰ παρὰ τοῦ βασιλέως ῥηθέντα, ἐπαινοῦντες μὲν αὐτὸν τῆς εὐβουλίας τε καὶ ξυνέσεως καὶ τῆς ἄλλης ἀνδρίας καὶ ἀρετῆς, ξυναινοῦντες δὲ καὶ αὐτοὶ καὶ μᾶλλον παροξύνοντες ἐς τὸν πόλεμον, οἱ μὲν ἰδίας ἕνεκεν φιλοτιμίας καὶ κερδῶν, ἐλπίζοντες ἐκ τοῦδε πλέον ἕξειν καὶ τὰ αὐτῶν ἐπὶ μέγα χωρήσειν, οἱ δὲ χαριζόμενοί τε τῷ βασιλεῖ καὶ ἅμα κερδαίνειν καὶ αὐτοὶ ἀπὸ τῶν τοιούτων ἐθέλοντες, ἕτεροι δὲ ἀγνοίᾳ τῶν τοῦ πολέμου, ὅσοι τε νέοι ἦσαν καὶ τῶν τοιούτων ἀπείρατοι· (2) οἷς δὲ μὴ κατὰ γνώμην ἐδόκει τὸ πρᾶγμα διά τέ τινας ἄλλας αἰτίας καὶ τὰς ἀναφυομένας δὴ τῷ πολέμῳ δυσχερείας καὶ τύχας ὡς τὰ πολλά, οὗτοι δὴ ἐβούλοντο μὲν εἰπεῖν τι πρὸς ἀποτροπὴν τοῦ πολέμου, ὁρῶντες δὲ τὴν τοῦ βασιλέως ἔνστασιν καὶ καταδρομήν τήν τε τῶν ἄλλων πάντων πρὸς τοῦτο ὁρμήν, δείσαντες, ἐμοὶ δοκεῖν, καὶ ἄκοντες παρεχώρησαν καὶ ξυναπήχθησαν τοῖς πολλοῖς, καὶ κυροῦται δὴ οὕτως ἐξ ἁπάντων ὁ πόλεμος. (3) Κελεύει τοίνυν αὐτίκα τὸν τῆς Εὐρώπης σατράπην στρατιὰν ἀγείραντα κατὰ τάχος, τήν τε πόλιν αὐτὴν καὶ τὰ πέριξ ταύτης καταδραμεῖν, ὅσα τε ἄλλα ὑπὸ Ῥωμαίοις ἦν. Ὁ δὲ μηδὲν μελλήσας, εὐθὺς στρατιὰν ἀγείρας κατατρέχει μὲν τὰ περὶ τὴν πόλιν ἅπαντα καὶ τὸ ἄστυ μέχρις αὐτῶν τῶν πυλῶν, καὶ λῄζεται· κατατρέχει δὲ [καὶ] Σηλυβρίαν καὶ τὰ περὶ αὐτήν, ἀφιστᾷ τε τὰ περὶ τὴν ταύτῃ θάλασσαν, Πέρινθόν τε καὶ τὰ λοιπά, προσχωρεῖ δὲ αὐτῷ καὶ τὸ τῶν Ἐπιβατῶν φρούριον ὁμολογίᾳ, ξυναφιστᾷ δὲ καὶ τὰ περὶ τὸν Μέλανα πόντον ὅσα Ῥωμαίοις ὑπήκοα ἦν, χειροῦταί τε πρὸς τούτοις καὶ τὸ ἐν Μεσημβρίᾳ φρούριον, ὁμολογίᾳ καὶ

§ 16. Μίαν πόλιν ἐῶντες ὥσπερ τύραννον καθεστάναι] Cf. Thucyd. 1, 122, 3 in Corinthiorum oratione: ἐν ᾧ ἢ δικαίως δοκοῖμεν ἂν πάσχειν ἢ διὰ δειλίαν ἀνέχεσθαι καὶ τῶν πατέρων χείρους φαίνεσθαι, οἳ τὴν Ἑλλάδα ἠλευθέρωσαν· ἡμεῖς δὲ οὐδ' ἡμῖν αὐτοῖς βεβαιοῦμεν αὐτό, τύραννον δὲ ἐῶμεν ἐγκαθεστάναι πόλιν (Athenas sc.) etc. || — § 18. κεχρώμεθα] κεχρήμεθα codex; quod mutavi, quamvis conjunctivum hujus verbi aliunde probare nequeam. || — § 19. πρῶτος] in margine additum. || — γενήσεται... διαπρέψῃ] Supra adscriptum γένοιτο... διαπρέψοι.

XVII. § 1. Ἐς τὸν πόλεμον] ἐς τὸ τ...... [πολεμεῖν?] mgo. Pars vocis abscisa. || — § 3 τὸν Εὐρ. σατράπην] *Karadcha-beg*, qui infra c. 27, 3 vocatur Καρατζίας, ap. Ducam, p. 258, 16 Καρατζία πέγις, apud Phrantzem p. 236, 17 Καρατζῆς πασία. || — μελλήσας] μελήσας codex. || — Σηλυβρίαν vel Σηλυμβρίαν] Συλληβρίαν codex; quod præcedit καὶ, de meo addidi. Mox Πείρινθον codex. Τὸ τῶν Ἐπιβατῶν φρούριον a Selymbria 50 stadia ortum versus distans, hodie *Piwatos* vocatur. Ceterum accuratiora de his tradit Ducas p. 258: Ἦν γὰρ ὁ Καρατζία πέγις πρὸ καιροῦ (antequam Mechemetes castra ad urbem posuit) σταλθεὶς σὺν δυνάμει εἰς τὰ τοῦ Πόντου κάστρα, ἤγουν Μεσημβρίαν, Ἀχελῶον (leg. Ἀγχίαλον), Βυζὸν (aliis Βίζος, Βίζων, Βιζώνη dicitur. V. G. Min. 1, p. 400; hodie *Kawarna*) καὶ τὰ λοιπά, καὶ πρὸς ἑαυτὸν ἐποιήσατο. Ὁμοίως καὶ τὰ πρὸς τὴν Σηλυμβρίαν κείμενα πυργία τοῦ ἁγίου Στεφάνου (hod. *Stephanos*, a Constantin. 50 stadia, a *Selivria* autem ultra 250 stadia distans) σὺν πολέμῳ λαβὼν πάντας τοὺς ἔνδον κατέσφαξεν. Οἱ δὲ λοιποὶ πύργοι προσεκύνησαν καὶ οἱ Ἐπιβάται (οἱ ἐπιβάται edit. Bonn.). Ὅσοι γοῦν παρεδόθησαν ἀβλαβεῖς ἐσώθησαν, οἱ δὲ ἀντισταθέντες ἀπεκεφαλίσθησαν· ἡ δὲ Σελυμβρία μαχίμως ἀνθίστατο. Præter Selymbriam etiam Mesembria non expugnata est, ut Pusculus 3, 375 tradit:

Machmettus quoniam vires nondum orbe coegit
oppugnare urbem, [quam] obsessam claudere longo
Marte parat, victum prohibet, subigitque subire
sub sua jura omnes Danaos, qui proxima circum
rura colunt. Castella capit, totumque subactum
urbis agrum. Subeunt cuncti invidiosa laturi
sponte juga imbelles. Duo tantum fortia forti
præsidio munita manent castella, minasque
Machmetti intrepida accipiunt, Martisque pericla
exspectant, mortemque pati pro laude parantur,

αὐτὸ προσχωρῆσαν, τά τε ἄλλα πάντα ληίζεται καὶ πρὸς τὸ δοκοῦν διατίθησι.

XVIII. Βασιλεὺς δὲ Κωνσταντῖνος καὶ οἱ τῆς πόλεως τῷ τε ἀθρόῳ τῆς μεταβολῆς τῷ τε παραλόγῳ τῆς ἐφόδου καταπλαγέντες καὶ πόλεμον ἀκήρυκτον ἐπελθόντα σφίσι θεασάμενοι παρ' ἐλπίδα (καὶ γὰρ ἤδη πρὸ μικροῦ ἔτυχον γεγονυῖαι αὐτοῖς αἱ σπονδαί), διαπρεσβεύεσθαι μὲν τοῦ λοιποῦ περὶ τούτων καὶ ξυμβάσεων καὶ εἰρήνης μεμνῆσθαι παντάπασιν ἀπέγνωσαν· (2) ᾔδεσαν γὰρ ἀδύνατον ὄν, πρός τε τὴν τοῦ βασιλέως ὁρμὴν ἀφορῶντες καὶ τὰ γεγενημένα ὑπ' αὐταῦ εὐθὺς ἐξ ἀρχῆς, καὶ ὡς πάντα ταῦτα ἐς οὐδὲν χρηστὸν ἔφερε, πολιορκίαν δὲ προσεδόκων ὅσον οὐκ ἤδη αὐτοῖς ἔσεσθαι, καὶ πόλεμον ἄσπονδον κατὰ γῆν τε καὶ θάλασσαν, καὶ ὅσα πολέμου κακά, ἅλωσίν τε καὶ τὰ τῆς ἁλώσεως πάθη, φόνον τε τῶν ἐν ἡλικίᾳ καὶ διαρπαγὴν τῶν ὑπαρχόντων καὶ σύλησιν ἱερῶν καὶ δουλείαν καὶ ὕβριν γυναικῶν τε καὶ παίδων· (3) οὐδὲ γὰρ ἐπὶ μικρὸν ἂν ἀντισχήσειν ᾤοντο, ἐπιόντος αὐτοῖς τοσούτου πολέμου κατὰ γῆν τε καὶ θάλασσαν· οὕτως ἠλλοίωντό τε τὰς γνώμας εὐθὺς ἐξ ἀρχῆς, καὶ παντάπασιν ἀπεγνώκεσαν, καὶ χρηστὸν οὐδὲν ἐνενόουν περὶ αὐτῶν· πρὸς γὰρ τὸ ἀνέλπιστόν τε καὶ ἀδόκητον τοῖς λογισμοῖς τραπόμενοι, ἑτοίμως προΐεντο σφᾶς αὐτούς, καὶ οὐδεμίαν εἶχον τοῦ λοιποῦ σωτηρίας ἐλπίδα· (4) αἴτιον δὲ ἦν αὐτοῖς· ἐν μὲν γὰρ ταῖς προλαβούσαις πολιορκίαις πολλὰ εἶχον τὰ βοηθοῦντα, καὶ ἐν ἐλπίσι μεγίσταις ἦσαν ἀεὶ τοῦ περιγενέσθαι· τῆς τε γὰρ κατ' αὐτοὺς θαλάσσης ἐκράτουν, καὶ κατὰ γῆν μόνον ὁ πόλεμος αὐτοῖς ἦν, ὃν εἶχον ἀναφέρειν ῥᾳδίως, ἐν ἑνὶ μέρει τῷ κατὰ γῆν ἀντιτεταγμένοι τοῖς πολεμίοις, τά τε τῆς θαλάσσης ἑκατέρας πλώιμα ἦν ὁλκάσι τε καὶ πλοίοις μακροῖς, ἥ τε ἐμπορία καθειστήκει πολλὴν παρέχουσα τῶν ἀναγκαίων καὶ τῶν ἄλλων τὴν ἀφθονίαν, καὶ ἡ πόλις ξένων τε καὶ ἀστῶν ἔγεμε, χρήματά τε πολλὰ ἔν τε τοῖς κοινοῖς καὶ τοῖς ἰδίοις καὶ τοῖς ἱεροῖς ἀποκείμενα ἦν, ὅπλα τε καὶ νῆες καὶ βέλη τά τε ἄλλα πάντα καλῶς αὐτῇ παρεσκεύαστο, ὡς μηδὲ πολιορκίαν εἶναι τότε τὸ πρᾶγμα δοκεῖν. (5) Νῦν δὲ ταῦτα πάντα ἐς τοὐναντίον ἦν τε καὶ ἐδόκει· ἥ τε γὰρ θάλασσα φρουρίοις τὸν ἄνω καὶ κάτω πορθμὸν διείληπτο καὶ ὅλως ἄπλωτος ἦν, αἵ τε ἤπειροι ἐξεπεπολέμωντο, στόλος τε μέγας προσεδοκᾶτο καὶ τοῖς κατὰ θάλασσαν τείχεσι προσβαλεῖν, καὶ αὐτοῖς ἀδύνατα ὅλως εἶναι ἐδόκει τῷ πολέμῳ πρὸς πάντα τὸν περίβολον ἐξαρκεῖν ὀλιγανθρωπίᾳ· ἔνδειά τε παντελὴς χρημάτων καὶ κοινῶν καὶ ἰδίων ἐπῆν, ἥ τε πόλις τῶν ἀναγκαίων πάντων ἐσπάνιζεν, ἐπικουρία τε αὐτοῖς οὐδεμία οὐδαμοῦ πανταχόθεν ἐφαίνετο. (6) Οὐχ ἧττον δὲ αὐτοὺς ἔθραττε καὶ τὰ παρὰ λόγον τότε γινόμενα, ἅπερ εἰς θεοσημείαν ἐλάμβανον, σεισμοί τε ἀήθεις καὶ ξένοι καὶ βρασμοὶ γῆς τά τε ἐξ οὐρανοῦ, βρονταί τε καὶ ἀστραπαὶ καταρρηγνύμεναι καὶ κεραυνοὶ φρικώδεις καὶ σέλας ὁρώμενον καὶ πνεύ-

Ponti opidum tuto lætata Mesembria portu,
et Spartana amplæ Propontidis alita fluctu
mœnia protendens invicta Selymbria muro (*Marte?*).
Fata ambo exspectant urbes, finemque morantur
bellorum. Teucer pugna ne robur inani
incassum frangat, tentans castella per arma
expugnare, animos et ne spe exhauriat, omen
hoc fore venturi infelicis triste tumultus
sperans, in solam cunctas contendere vires
Constantini urbem se comparat.
Paucis hæc absolvit Phrantzes p. 236 sq.

XVIII, § 1. Διαπρεσβεύεσθαι. ἀπέγνωσαν] Aliter Seadeddin. 2, p. 136 : *Spedì avvisi humili e supplichevoli alla real corte, e pregò il re che si degnasse d'accettare et gradire tutte le sue città e fortezze che si trovano nel territorio di Constantinopoli, e di far a lui gratia della sola città di Constantinopoli, et ammerlo al numero degl' altri prencipi sui tributarii, obligandosi di pagargli ogni anno il tributo. Ma il rè senza ascoltar le parole degl' ablegati, domandò le chiavi della città. Però il prencipe vedendo ch' era disperata la sua dimanda, s' applicò à tutto potere alla diffesa.* || — § 2. καὶ σύλησιν ἱερῶν] Hæc in margine suppleta. || — § 5. νῦν δὲ] ταύτῃ δὲ margo. || — ἐξεπεπολέμωντο] ἐξ suprascr. || — ὀλιγανθρωπίᾳ] Ex recensu quem tunc jussu imperatoris Phrantzes (p. 240) instituit, οἱ πρὸς ἀντιπαράταξιν ἄνδρες ὄντες ἔνδον τῆς πόλεως τῆς τοσαύτης εἰς μέγεθος ἦσαν χιλιάδες τέσσαρες καὶ τρεῖς καὶ ἑβδομήκοντα καὶ ἐννακόσιοι, ἄνευ τῶν ξένων μόλις ὄντων χιλιάδων δύο. Sec. Ducam p. 287, 16 : πᾶς ὁ τῶν ἐνόπλων στρατὸς οὐχ ὑπερβαίνει τοὺς ὀκτακισχιλίους. Leonardus Chiens. l. l. p. 325 : *Græci ad sex millia bellatorum non excedebant; reliqui sive Genuenses sive Veneti cum his qui ex Pera clam ad præsidium accesserant, vix summam trium millium æquabant.*

§ 6. Τὰ παρὰ λόγον τότε γενόμενα] Pusculus 4, 205 :

Præterea monstris diris terrentur, et atris
prodigiis cœlo, terra et super æquore visis.
Paucos ante dies angusto ex æquore capta
ostrea sanguineo maduere infecta rubore;
sanguis erat succus proprius, fluctusque cruenti
æquoris. Et cœlo crebri micuere per auras
nocte ignes. Animos insueta tonitrua crebro
terrebant sonitu horribili, nimbisque
fulgure direptis veniebant fulmina densa.
Ipsa etiam tellus vento concussa sub ima

ματα βίαια καὶ λάβρων ὑετῶν ἐπικλύσεις τε καὶ καταφοραί, ἔτι δὲ ἀστέρων ἀσυνήθων ἄτακτοι φάσεις καὶ δρόμοι πεπλανημένοι καὶ πάλιν ἀφανισμοί, ἕτεροι δ' αὖ κατεστηριγμένοι τε καὶ πολὺν δὴ χρόνον καπνὸν ὑποφαίνοντα· (7) ἄλλα τε πολλὰ τοιαῦτα τερατώδη τε καὶ παρὰ τὸ εἰωθὸς ὑπεσήμαινε τὸ θεῖον, τό τε μέλλον προφοιβάζοντα καὶ μεγίστην ὑποφαίνοντα καινοτομίαν τῶν καθεστώτων τε καὶ μεταβολήν· εἰκόνες τε γὰρ ἵδρουν ἐν ἱεροῖς καὶ στῆλαι καὶ ἀνδριάντες τῶν μακαρίων ἀνδρῶν, κατοχαί τε καὶ ἐνθουσιασμοὶ ἀνδρῶν τε καὶ γυναικῶν παρὰ δόξαν ἐγίνοντο, οὐδὲν αἴσιον προμηνύουσαι, οἵ τε μάντεις ἀπαίσια πολλὰ ἐπεθείαζον, λόγιά τε παλαιὰ ᾔδετο καὶ χρησμοὶ ἀνηρευνῶντο, καὶ ὅσα ἄλλα ἐν τοῖς τοιούτοις ξυμβαίνειν φιλεῖ, πάντα ἐγίνετο, ἃ πάντα ἐς οὐδὲν χρηστὸν φέροντα φόβον τε παρεῖχε πολὺν καὶ ἀγωνίαν αὐτοῖς, καὶ ἑαυτῶν ὅλως ἐξίστα, καὶ περὶ τοῦ μέλλοντος οὐκ ἐδίδου θαρρεῖν. (8) Πλήν γε δὴ ὡς ἐν κακοῖς μικρὸν ἀναφέροντες, ἐκ τῶν ἐνόντων παρεσκευάζοντο, τάφρους τε καθαίροντες καὶ τὰ πεπονηκότα τοῦ τείχους ἀνορθοῦντες, τάς τε ἐπάλξεις ὁπλίζοντες πύργων τε καὶ μεταπυργίων, καὶ τὸ τεῖχος ἅπαν ἐπισκευάζοντες κατὰ γῆν τε καὶ θάλασσαν· ἔτι δὲ ὅπλων τε καὶ βελῶν ξυλλογὴν ἐποιοῦντο καὶ μηχανημάτων παντοίων, τά τε ἔξω τῶν φρουρίων ἐπεσκεύαζον, ὅπλα καὶ φυλακὰς ἐπιπέμποντες, τάς τε νήσους ἠσφαλίζοντο, μετὰ δὲ τὸν μέγαν λιμένα καὶ τὸ Κέρας ἅπαν, ἀπό γε τῶν τοῦ Γαλατᾶ νεωρίων μέχρι τῶν Εὐγενίου πυλῶν, ᾗπερ τὸ στενότατον ἦν, ἀλύσεσι μακραῖς διελάμβανον· (9) χρήματά τε ἀπό τε τῶν κοινῶν καὶ τῶν ἰδίων καὶ τῶν ἱερῶν ξυνέλεγον, σῖτόν τε καὶ τὰ ἐς διατροφὴν ἐσεκόμιζον, τοῖς τε ἄλλοις πᾶσιν ὡς δυνατὸν ἐξηρτύοντο καὶ τοῖς ὅλοις ἐπεσκεύαζον τὴν πόλιν τε καὶ τὰ τείχη, ὡς κατὰ γῆν καὶ θάλασσαν πολιορκηθησόμενοι.

XIX. Πρὸς δὲ τούτοις πρεσβείας ἔπεμπον πανταχοῦ, ὅθεν ἦν αὐτοῖς ἐλπὶς ἐπικουρίαν ἕξειν τινά, τοῦτο μὲν ἐς Πελοπόννησον παρὰ τοὺς ταύτῃ δεσπότας, σῖτόν τε καὶ ἄνδρας εἰς ἐπικουρίαν αἰτοῦντες (ἐνόμιζον

radice intremuit, ruere et visa omnia tecta
urbibus in magnis, ac terræ mergier alto
noctes atque dies fundo stygiaque palude.
Fama quoque attulerat vastantem rura draconem
ingentem pecori magnisque inferre ruinam
armentis, morsuque truces consternere tauros
tabifico et prædæ depasci viscera passim,
desertisque metu venientem cedere aratris
agricolam, et petiisse fugam, segetemque secari
inceptam liquisse ferunt, vacuosque manere
ruricolis campos; hunc per deserta vagari,
afflatuque loca inficientem pergere ad urbem.

§ 7. Ἐγίνοντο] Sic margo; ἐφαίνοντο textus. || — § 8. παρεσκευάζοντο sqq.] Cf. Seadeddin. 2, p. 135. Ducas p. 246, 1: Ὁ δὲ βασιλεὺς προορῶν τὸ μέλλον, πρὸ ἓξ μηνῶν εἶχε τὰ φρούρια ἐν ἐπιμελείᾳ, καὶ τοὺς χωρίτας τοὺς ἐγγὺς τῆς πόλεως καὶ τὸν θεριζόμενον στάχυν καὶ τὰς λικμιζομένας ἅλωνας ἔνδον ἐκόμιζεν Cf. idem p. 265. || — μέχρι τῶν Εὐγενίου πυλῶν] De catena ista cf. Phrantzes p. 238, 6: Προσέταξε τὴν σειρὰν τὴν σιδηρᾶν τὴν βαρυτάτην ἐν τῷ στόματι τοῦ λιμένος βαλεῖν. Chalcocond. p. 384: Διὰ θαλάσσης πέδας σιδηρᾶς διατείνοντες ἀπὸ τῆς καταντικρὺ πόλεως ἐς τὸ τεῖχος τοῦ Βυζαντίου παρὰ τὴν ἀκρόπολιν καλουμένην. Ducas p. 268, 3: Ὁ δὲ λιμὴν τῆς πόλεως ἦν κεκλεισμένος σὺν τῇ ἁλύσει ἀπὸ τοῦ μέρους τῆς πύλης τῆς πόλεως τῆς καλουμένης Ὡραίας εἰς τὸ τοῦ Γαλατᾶ μέρος. Pusculus 4, 340:

Dispositæ naves porti ostia claudunt
turritæ, ac trabibus ferro et connexa catena
litore ab utroque ingressum religata coercet.

Barbarus p. 13: *A dì do April el serenissimo imperator si comandò à ser Bartolamio Soligo che dovesse destender la cadena a traverso del porto.... Questa tal cadena si iera de legnami grossissimi e redondi, e innarpexa di uno cun l' altro cun feri grossi e cun cadene grosse di fero, e li cavi de la cadena, uno cavo si era dentro da le mure de Constantinopoli, e l' altro cavo si era dentro da le mure de Pera per piu segurtade de la dita cadena.* Cf. Seadeddin. 2, p. 138. — Porta ὡραία, quam Ducas etiam p. 282, 23 nec non Phrantzes p. 254, 19 memorant, a porta quam τοῦ νεωρίου Pachymeres 5, 10 vocat, et a hodierna *Bagtche-Kapou* (horti porta) non diversa fuisse censetur probabiliter. Eandem vel vicinam fuisse Eugenii portam ex eo colligas quod hæc prope S. Pauli in Palatio ædem a Nicephoro Gregora 7, p. 192, et sub acropoli a Cantacuzeno 4, 11. 29. 31 et Codino de offic. c. 22 fuisse perhibetur. Ibidem fuerit ὁ τοῦ Εὐγενίου πύργος, usque ad quem veteris Byzantii muros juxta Cornu sinum pertinuisse prodit Codinus De ambitu Constantin. p. 25 ed. Bonn., dum Zosimus 3, 30 muros illos usque ad τὸ νεώριον pertinuisse dicit. In Galata oppido Gillius (Topogr. Constant. 4, 10 p. 222) suo adhuc ævo portam *Catenam* dictam fuisse refert. Ceterum de catena, qua sæpius jam Byzantini portum clauserant, vide quæ collegit Ducangius in Constantin. Christ. p. 49 sq. || — ᾗπερ τὸ στενότατον (στενώτατον codex) ἦν] Hoc parum accurate dictum est. Angustissima sinus pars est prope *Odun-Kapou* et *Sindou-kapou*, ubi non fuisse catenam certissimum est.

§ 9. Καὶ τῶν ἱερῶν] V. Phrantzes p. 256, 7 et Leonardus Chiensis *De urbis Const. jactura* in Leoniceri Chronicis Turcicis 1, p. 325. || — σῖτον] V. Ducas p. 257, 20, qui ad frumentum importandum quattuor naves in Chium missas esse narrat.

XIX. Ἕξειν] σχήσειν margo || — ἐς Πελοπόννησον] V. Phrantzes p. 223 sqq. E Peloponneso quominus auxilium veniret, Mechmetes misso contra despotas exercitu impedivit. Vide supra not. ad cap. 12. || — ἀρχιερέα] Nicolaum V

γὰρ παρατεθήσεσθαι πολιορκίαν αὐτοῖς μέχρι πολλοῦ, καὶ μὴ ἐξ ἐπιδρομῆς βίᾳ ὅπλοις ἁλῶναι ἄν, ᾗπερ ἑάλωσαν), τοῦτο δὲ παρὰ τὸν μέγαν ἀρχιερέα τῆς Ῥώμης, ᾧ καὶ μᾶλλον εἶχον θαρρεῖν, ἔτι δὲ καὶ παρὰ τοὺς ἄλλους ἡγεμόνας τῆς Ἰταλίας καὶ τῶν ἄλλων ἑσπερίων γενῶν, δεόμενοι ξυμμαχίας τε καὶ ἐπικουρίας τὴν ταχίστην τυχεῖν, εἴ γε μὴ μέλλοιεν κινδυνεύσειν ἐν ἀκμῇ κινδύνων ἤδη καθεστηκότες. Καὶ οἱ μὲν ἐν τούτοις ἦσαν.

XX. Βασιλεὺς δὲ Μεχέμετις, ἐπειδὴ τὸν πόλεμον λαμπρῶς ἐξήνεγκεν ἤδη, καὶ τῶν ἔξω τὰ μὲν κατέδραμε καὶ διήρπασε, τὰ δὲ ἀπέστησε, τὰ δὲ ἐχειρώσατο, παρεσκευάζετο ἅμα ἦρι καὶ αὐτῇ τῇ πόλει κατὰ γῆν καὶ θάλασσαν προσβαλεῖν. (2) Καὶ πρῶτα μὲν ξυνῆγε τὰς δυνάμεις καὶ ξυνεκρότει, καὶ τὰ στρατεύματα πανταχόθεν ξυνήθροιζεν ἔκ τε Ἀσίας καὶ Εὐρώπης, ἱππικά τε καὶ πεζικά, ἔτι δὲ ὁπλίτας τε καὶ τοξότας καὶ σφενδονήτας κατέλεγε, καὶ ἀκοντιστὰς καὶ πᾶσαν ἄλλην τάξιν ἐξήταζεν, ὅπλα τε κατεσκεύαζεν ἐς ἀσφάλειαν τῶν προμαχομένων, ἀσπίδας τε καὶ κράνη καὶ θώρακας καὶ θυρεοὺς ἔξωθεν καταφράκτους σιδήρῳ, πρὸς δὲ βέλη τε καὶ ἀκόντια καὶ ξίφη καὶ ὅσα ἄλλα οἱ ἐς τειχομαχίαν ἐδόκει ἐπιτήδεια εἶναι πάντα μετὰ πολλῆς ἐποίει σπουδῆς· πρὸς δὲ τούτοις μηχανὰς κατεσκεύαζε τῷ τείχει παντοίας, τάς τε ἄλλας καὶ τὰς πετροβόλους δὴ ταύτας (καὶ) νεωτέρας, πρᾶγμα ξένον καὶ εἰς ἀκοὴν ἄπιστον, ὡς ἔδειξεν ἡ πεῖρα, αἳ καὶ τὸ πᾶν ἐδυνήθησαν κατεργάσασθαι.

XXI. Πρὸ πάντων δὲ τοῦ ναυτικοῦ ἐπεμέλετο, τριήρεις τὰς μὲν ἐκ νέου ναυπηγούμενος, τὰς δὲ τῷ χρόνῳ πεπονηκυίας ἀνορθῶν, τὰς δὲ διαβρόχους οὔσας ἀνακεύων καὶ θεραπεύων· ἔτι δὲ πλοῖα μακρὰ κατεσκεύαζε, τὰ δὲ καὶ κατάφρακτα, καὶ ταχείας ναῦς τριακοντόρους τε καὶ πεντηκοντόρους, καὶ τὴν ἄλλην δὲ ἅπασαν τούτων ἐπισκευήν τε καὶ χρείαν ἑτοιμάζων τε ἦν καὶ διορθούμενος ὅτι τάχιστα, μηδενὸς τῶν ἐς τοῦτο φερόντων φειδόμενος. (2) Πρὸς δὲ τούτοις ναυτικὸν ξυνέλεγεν ἐκ πάσης τῆς αὐτοῦ παραλίας Ἀσιανῆς τε καὶ Εὐρωπαίας, ἐρέτας τε καὶ θρανίτας καὶ θαλαμίους καὶ τοὺς ἐπὶ τῶν καταστρωμάτων ἐπιλεγόμενος, ἔτι δὲ κυβερνήτας καὶ κελευστάς, τριηράρχους τε καὶ ναυάρχους καὶ στρατηγούς· καὶ τὰ ἄλλα δὲ πληρώματα τῶν νεῶν μετὰ πολλῆς ἐπιμελείας τε καὶ σπουδῆς ἐξεπλήρου· πλέον γὰρ ἰσχύσειν ἐς τὴν πολιορκίαν τε καὶ τὸν πόλεμον ἐδόκει τῷ κατὰ θάλασσαν ναυτικῷ ἢ τῇ κατὰ γῆν στρατιᾷ, καὶ διὰ τοῦτο τὸ πλέον ἔνεμε τῆς ἐπιμελείας αὐτῷ, καὶ πάσῃ σπουδῇ καὶ προθυμίᾳ, προσέτι γε μὴν καὶ φιλοτιμίᾳ πρὸς τὸ ἔργον ἐχρῆτο, προὔργου τι τοῦτο νομίζων εἶναι.

XXII. Ἐν τούτοις δ' ὄντος αὐτοῦ καὶ παρασκευαζομένου χειμῶνος, καὶ τὸ ἔαρ ὑπέφαινεν ἤδη, καὶ ὃς εὐθὺς τὰς μὲν ναῦς παρεσκεύαζεν ἐς ἀναγωγὴν ἀπὸ Καλλιουπόλεως (ἐκεῖ γὰρ ἦσαν αὐτῷ ξυνηγμέναι),

---

qui in testamento suo apud Manetti in Vita Nicolai V, lib. 3 (Murat. III, 2, p. 935) de his ita habet : *Constantini imperatoris oratoribus, qui ad nos impetrandi favoris gratia venerant, clara et aperta responsione omnia præsidia nostra partim pecuniarum, partim triremium, partim terrestrium exercituum, parata et in promptu esse foreque significavimus, et quia nostra duntaxat subsidia ad arcendam et amovendam a cervicibus suis obstinatam illam tot immanium tantarumque barbararum gentium obsidionem nequaquam sufficere posse arbitrabamur, monuimus, ut ad celerem quandam aliorum Christianorum favorum impetrationem animum mentemque converteret, ac subsidia nostra certa et vera tamquam solida quædam ceterorum omnium fundamenta semper parata esse intelligeret, sicque in hunc modum nostro nomine aliis principibus regibusque denuntiaret...... At quum oratores nonnisi generalia responsa retulissent, re infecta ad nos rediere.* Hæc ego exscripsi ex Zinkeisenii hist. imp. osm. 1, p. 821, ubi vide. Misit pontifex Isidorum cardinalem, qui Genuensi nave Constantinopolim venit mense Novembri 1452 (Ducas p. 253, 9).

XX. § 1. Μεχέμετις] Sic etiam in sqq. c. 26. 31. 35. 38. 42 et passim nomen regis exaratur. || — τῶν ἔξω τὰ μὲν κατέδραμε etc.] Vicina urbis ante Mechemetis adventum Caratzias vastaverat. V. Duc. p. 263, 8. Phrantzes p. 236, 16. Chalcocond. p. 383, 1. || — § 2. τὰς πετροβόλους] Barbaro p. 3 : *Del mexe de Fevrer el Turco comenzò a mandar le sue bombarde xoso Constantinopoli acompagnade con Turchi diexe millia.* Phrantzes p. 237, 5 : Ἔφερον γὰρ τηλεβόλους πολλάς,, ἐξ αὐτῶν δέ τινες τοσοῦτον ὑπῆρχον εἰς μέγεθος, ἃς οὐκ ἐδύναντο τεσσαράκοντα ζεύγη βοῶν σύρειν ἑκάστην αὐτῶν ἢ καὶ πεντήκοντα ζεύγη καὶ πλέον ἢ δύο χιλιάδες ἀνθρώπων. De bombarda maxima, quam Adrianopoli Orbanus Hungarus fecerat (v. Ducas p. 247 et 249. Chalcocond. p. 385), ita habet Ducas p. 258 : Τοῦ Φεβρουαρίου ἄρξαντος ἐκέλευσε τὴν χωνείαν μετακομισθῆναι ἐν τῇ Κωνσταντινουπόλει, καὶ ζεύξας ἁμάξας τριάκοντα, εἷλκον αὐτὴν ὄπισθεν οἱ ξ' βόες, λέγω βόες βοῶν (Leonard. Chiens. p. 318 : *quam vix boum quinquaginta centum juga vehebant*)· καὶ ἐκ πλαγίου τῆς χωνείας ἄνδρες σ', καὶ εἰς τὸ ἓν καὶ εἰς τὸ ἕτερον, τοῦ ἕλκειν καὶ ἐξισοῦν αὐτήν, ἵνα μὴ ὀλισθήσει τοῦ δρόμου· καὶ ἔμπροσθεν τῶν ἁμαξῶν τέκτονες ν', τοῦ κατασκευάζειν γεφύρας ξυλίνους εἰς τὰς ἀνωμαλίας τῆς ὁδοῦ, καὶ ἐργάται σὺν αὐτοῖς σ'. Ἐποίησε γοῦν τὸν Φεβρουάριον καὶ Μάρτιον ἕως οὗ κατήντησεν ἐν τόπῳ μακρὰν τῆς πόλεως ἀπὸ μιλίων ε' (?). Deinde bombardam illam ἔστησεν ἐν τῇ πύλῃ τοῦ ἁγίου Ῥωμανοῦ πλησίον (Ducas p. 272, 1). Chalcocond. p. 382, 20 magnam bombardam tantam fuisse dicit ὡς ζεύγη βοῶν ἕλκειν ἑβδομήκοντα καὶ ἄνδρας ἐς δισχιλίους. Critobulus hujus bombardæ non meminit, sed de alia, quæ obsidionis tempore in ipsis castris conflata sit, narrat c. ap. 29, ubi vide. || —

XXI. § 1. Διαβρόχους] Cf. Thucyd. 7, 12 : νῆες διάβροχοι τοσοῦτον χρόνον ἤδη θαλασσεύουσαι. || — ἀνακεύων] Vox alibi non obvia, quantum sciam; attamen ἀκεύω usurpari pro ἀκέομαι, ἀκέω, ἀκείω in lexicis perhibetur.

XXII. § 1. Ἡγεμόνα... τὸν σατράπην Καλλιουπόλεως] Hæc in margine supplentur. Παλτόγλης apud Mordtmannum c. l. p. 43 e turcicis scriptoribus, ut videtur, vocatur *Baltaoglu Suleiman Bej*. Apud Chalcocondylam, p. 390, 4 editur Παντόγλης; ibid. p. 519, 9 Παιτόγλης Καλλιουπόλεως ὕπαρχος; ap. Leonardum Chiens. p. 333 *Balthoglus*; Πάλδα apud Ducam p. 270, 5, ubi : Ἦν δὲ ὁ ἄνθρωπος τὸ γένος ἐκ τῶν Βουλγάρων ἕλκων, τινὸς τῶν ἀρχόντων Βουλ-

ἡγεμόνα καὶ στρατηγὸν ἐπιστήσας αὐταῖς Παλτόγλην τὸν σατράπην Καλλιουπόλεως. (2) Ἦσαν δ' αἱ πᾶσαι τὸν ἀριθμὸν, ὡς ἐλέγοντο, τριακόσιαι καὶ πεντήκοντα, ἄνευ μέντοι γε τῶν σκευαγωγῶν καὶ τῶν κατ' ἄλλην τινὰ χρείαν ἢ ἐμπορίαν ἀφικνουμένων· αἳ δ' ἀνήγοντο τάχει πολλῷ ξὺν βοῇ καὶ θορύβῳ καὶ ἀλαλαγμῷ, εἰρεσίᾳ τε χρώμεναι καὶ παρακελευσμῷ καὶ πατάγῳ καὶ ἀντιφιλοτιμήσει πρὸς ἀλλήλας, ὑπερηχοῦσαι τὸν Ἑλλήσποντον, ἔκπληξιν δὲ καὶ φόβον ὅτι πλεῖστον παρέχουσαι τοῖς ὁρῶσι· (3) διὰ πολλοῦ γὰρ χρόνου οὐδαμοῦ τοσοῦτος στόλος νεῶν καὶ παρασκευὴ τοσήδε κατὰ θάλασσαν ἐγεγόνει· ὃ δὴ καὶ μᾶλλον τοὺς ταλαιπώρους Ῥωμαίους ἐξέπληξε παρ' ἐλπίδα φανὲν, καὶ εἰς ἀπόγνωσιν καὶ ἀθυμίαν μεγίστην ἐνέβαλε, καὶ πᾶσαν ἄλλην ἐλπίδα χρηστὴν αὐτῶν παρῄρητο. (4) Πρότερον μὲν γὰρ ἡνίκα προσέβαλλον αὐτοῖς οἱ πολέμιοι, κατὰ γῆν ἐπολιορκοῦντο μόνον, τῆς δὲ θαλάσσης ἐκράτουν, καὶ εἶχον τά τε ἐπιτήδεια ἄφθονα τῇ κατὰ θάλασσαν ἐμπορίᾳ χρώμενοι, τόν τε πόλεμον ῥᾳδίως ἀνέφερον, καὶ τὰς προσβολὰς οὐ χαλεπῶς ἀπεκρούοντο διὰ πολυχειρίαν, τῶν πολεμίων ἑνὶ μέρει καὶ μόνῳ τῷ κατὰ γῆν μαχομένων· νῦν δὲ κατά τε γῆν καὶ θάλασσαν ἐπιόντα ὁρῶντες τὸν πόλεμον, εἰκότως ἐξεπλήττοντο καὶ εἰς ἀπορίαν μεγίστην καὶ φόβον δεινὸν ἐνέπιπτον. Καὶ ὁ μὲν κατὰ θάλασσαν στόλος τῷ βασιλεῖ οὕτως ἀνήγετο.

XXIII. Αὐτὸς δὲ ἄρας ἐκ τῆς Ἀδριανοῦ παντὶ τῷ στρατῷ ἱππικῷ τε καὶ πεζικῷ διὰ τῆς μεσογείας ἐχώρει, ἅπαντα ξυγχυχῶν τε καὶ ξυνταράττων καὶ φόβον καὶ ἀγωνίαν καὶ φρίκην μεγίστην ἐμποιῶν καθ' οὓς ἂν γένοιτο, ξυνεπαγόμενος ἅμα οἱ καὶ τὰς μηχανάς· καὶ ἀφικνεῖται δεκαταῖος ἐς τὸ Βυζάντιον, καὶ στρατοπεδεύεται πρὸς τῇ πόλει ἐγγύς που τοῦ τείχους, ὅσα ἀπὸ σταδίων τεσσάρων, πρὸς ταῖς καλουμέναις πύλαις τοῦ

γαρίας υἱὸς, Πάλδα ἐπονομαζόμενος. Ἐδουλώθη οὖν πρὸ καιροῦ, καὶ ἐξωμόσατο τὸ πάτριον σέβας, καὶ ἦν δοῦλος πατρικὸς τοῦ Μεχεμέτ. Ab hoc viro locum Bospori *Balta liman* dici putat Hammerus l. l. 1, p. 528; in hoc enim sinu, qui a *Rumeli Hissari* est boream versus, hieme anni 1452 naves a Paltaogle structas esse dicit, nullo rem firmans testimonio.

§ 2. Τριακόσιαι πεντήκοντα] Navium numerus apud varios scriptores varius : 480 vel 420, 375, 300, 250, 230, 170, 145. Ad Critobulum, qui naves 350 fuisse dicit, non annumeratis onerariis, proxime accedit Phrantzes. Is enim p. 237, 21 eodem die secundo mensis Aprilis quo Mechemetes ad urbem venit, etiam partem classis advenisse refert; ἦσαν δὲ τριήρεις ὡσεὶ τριάκοντα καὶ δρόμωνες, νῆες δὲ καὶ πλοιάρια καὶ μονήρεις τριακοντα καὶ ἑκατόν. Deinde Aprilis die decimo quinto (p. 239, 241) ἔφθασε καὶ ὁ ἐναπολειφθεὶς στόλος αὐτοῦ ἔκ τε τοῦ Εὐξείνου πόντου καὶ Νικομηδείας καὶ Ἀσίας, ὧν ὁ ἀριθμὸς εἴκοσι καὶ τριακόσια, ἐξ ὧν ὑπῆρχον τριήρεις δέκα καὶ ὀκτὼ, διήρεις τεσσαράκοντα καὶ ὀκτὼ, τὸ δὲ λοιπὸν ὑπῆρχον νῆες μακραὶ καὶ πλοῖα. Hinc summa colligitur navium 480, υπ', qui numerus pro vulgato υκ' (420) restituendus fuerit in sqq., ubi Mechemetes Aprilis die decimo sexto copiarum recensum instituens naves 420 numerasse dicitur. Stationem classis habebat, ut idem Phrantzes tradit p. 240, 10, κάτωθεν ὀλίγον τι τοῦ Διπλοῦ κίονος (ad hod. *Bechiktach*) καὶ μέχρι τῆς ἐκκλησίας τοῦ ἁγίου Κωνσταντίνου ἐγγύς. Marinus Sanutus *Vit. de' Duchi* apud Murat. scc. 22, p. 1148 classem 375 navium fuisse tradit; trecentas naves refert Ducas p. 268, 2. Secundum Leonardum Chiens. p. 321, *ducentarum et quinquaginta fustarum ex diversis Asiæ et Thraciæ Pontique litoribus contra urbem disposita classis venit, inter quas triremes sex et decem biremes, septuaginta reliquæ fustæ unis bancaremis; cymbæ etiam barculæque sagittariis ad ostentationem plenæ vehebantur... Quæ minus ad stadia centum in Propontidis* (sic pro *Bosporo* dicere solet L.) *ripa ancoras figunt.* Chalcocondylas p. 384, 3 : Παρῆν καὶ ὁ στόλος αὐτῷ διὰ θαλάσσης, τριήρεις μὲν τριάκοντα, πλοῖα δὲ μικρὰ ἀμφὶ τὰ διακόσια. Pusculus 4, 332 :

Exspectata diu tandem de litore venit
Hellespontiaco classis delata secundis
flatibus. Armatæ verrebant æquora nigra
bis denæ ante alias fluctu spumante triremes;
pone secant aliæ centum mare remige puppes;
quinquaginta illas parvæ comitantur.

Nicolaus Barbarus p. 21 Aprilis mens. die duodecimo, diei hora septima, classem Turcorum ancoras jecisse dicit *in uno luogo che se chiama le Colone, che son mia do* (duo miliaria) *luntan da Constantinopoli... La dita armada del Turco fò vele cento e quaranta cinque fra galie e fuste e parandarie e bergantini, ma ne iera galie adodexe compie, fuste grose ne iera ad setanta in otanta, parandarie da vinti in vinti cinque; tutto el resto si iera bregantini.*

XXIII. § 1. Δεκαταῖος] Aliter Pusculus 4, 237 : *Carpit iter, quartoque die sub mœnibus altis castra locat.* Adrianopoli ad Constantinopolim via est stadiorum fere 1200 sive 50 leugarum gallicarum; quod spatium itinere quatriduo rex exercitum ducens vix emensus fuerit. Quæ vero Critobulus tradit, aliorum testimoniis comprobari queunt. Nam Feridoun-Bey in opere quod inscribitur *Munch at ut Salatein* (Constantinop. 1848), 1, p. 239 (citante Mordtmanno l. l. p. 44) regem cum exercitu Adrianopoli profectum esse scribit Martis mensis die vicesimo tertio. Itaque decem dierum iter pertinet usque ad Aprilis diem secundum, quo advenisse Turcum et castra ad urbem posuisse tradit Phrantzes p. 237, 9, qui ab eodem die etiam tempus obsidionis minus exacte computat p. 273, 9, ubi Constantinus Maii die 28 dicit : ὁ ἀλιτήριος ὁ ἀμηρᾶς πεντήκοντα καὶ ἑπτὰ ἡμέρας ἄγει σήμερον, ἀφ' οὗ ἡμᾶς ἐλθὼν ἀπέκλεισεν. Sec. Ducam p. 263, 8 rex urbem περιεχαράκωσεν Aprilis die sexto. Accuratiora præbet Diarium Barbari p. 18. Aprilis die quinto, ejusque hora prima (septima, e nostro computandi more) Mechemetes cum 160,000 militum exercitu castra posuit duobus miliariis et dimidio fere a muris Constantinopolitanis. Die sexto cum dimidia exercitus parte propius accessit, ita ut unum tantum miliarium a muris abesset; deinde die septimo *el signor si se redusse cun gran parte de quela gente zerca uno quarto di mio luntan pur delle ditte mure, e steva el*

Ῥωμανοῦ. (2) Αἱ δὲ νῆες ὁρμίζονται ἄλλῃ καὶ ἄλλῃ τῆς ἠπείρου καταντικρὺ τῆς πόλεως, πληρώσασαι πᾶσαν τὴν ταύτῃ παραλίαν. (3) Ὁ δὲ στρατὸς ἅπας ἦν, ὡς ἐλέγετο, ὑπὲρ τὰς τριάκοντα μυριάδας τὸ μάχι-

campo a la fila quanto che durava la faza de le mure de tera, che iera mia sie [τὸ ἑξαμίλιον ap. Phrantz. p. 237, 11], *che sun da la Cresca* (sic etiam p. 42; i. e. Chrysea, aurea) *per fina al Chinigo* (i. e usque ad τὸ Κυνήγιον). Cf. idem p. 42. Seaddedin p. 145 urbem captam dicens obsidionis die quinquagesimo primo (29 Maii), initium computandi facit ab Aprilis die nono. Sec. Pusculum naves Genuenses, quas die 20mo Aprilis venisse Barbarus notat, apparuerunt post elapsos obsidionis dies decem, adeo ut initium sumserit ab Aprilis die decimo. Ac sane die undecimo demum Mechemetes bombardas suas juxta murum disposuit, ut Barbarus monet. || — πρὸς τ. πύλαις τοῦ Ῥωμανοῦ] Phrantzes p. 237, 9 : ἐλθὼν τὴν σκηνὴν αὐτοῦ πήγνυσιν ἐξ ἐναντίας τῆς πύλης τοῦ ἁγίου Ῥωμανοῦ. Chal. cocond. p. 385, 5 : κατὰ τὴν τοῦ Ῥωμανοῦ καλουμένην πύλην, ᾗ καὶ αὐτὸς ἐστρατοπεδεύετο βασιλεύς. Ducas p. 263, 2: πήξας τὰς αὐτοῦ σκηνὰς κατέναντι τῆς πύλης τοῦ Χαρισοῦ ὄπισθεν τοῦ βουνοῦ. Portam S. Romani esse hodiernam *Top kapoussi*, i. e bombardæ portam, contra quam bombardam maximam Mechemetes collocaverat, inter omnes constat. Porta, quam Ducas l. l. et p. 287, 10 Χαρισοῦ, p. 286, 14. 294, 7. 300, 7 Χαρσοῦ vocat (τῇ Χαρισοῦς ap Critobul. 1, 27, 3; τῆς Χαρσῆς ap. Joan. Cananum p. 462 ed. Bonn.; *Charsæa* ap. Puscul. 4, 169, Χαρσίου ap. Theophan., Annam Comnen., Pachymerem, Cantacuzenum, Codinum, quorum locos excitat Ducangius Const. christ. lib. 1 p. 51. Eandem indicat Barbarus p. 18, ubi die VI Aprilis Constantinus stationem sibi sumsisse dicitur ad portam *la qual se chiama Cressu*), a porta Romani boream versus erat, adeo ut in medio esset vallis per quam Lycus fluviolus in urbem influit. Probatur hoc verbis Canani p. 462 : ἑβδομήκοντα βοχία τῆς βολῆς τῆς μεγίστης ἐκείνης τὸν σεσαθρωμένον ἐκεῖνον ἔκρουσε πύργον... Ἦν γὰρ ὁ τόπος καὶ σοῦθα (fossa) καὶ πύργος πλησίον Κυριακῆς τῆς ἁγίας, μέσον Ῥωμανοῦ τοῦ ἁγίου καὶ τῆς Χαρσῆς τε τῶν πυλῶν, καὶ πλησιέστερον τούτων εἰς τὸν ποταμὸν τὸν ἐπονομαζόμενον Λύκον. Eodem facit Pusculus 4, 151 sqq., apud quem portæ a meridie versus boream hoc se ordine excipiunt : Aurea, Pegæa, Romani, Charsæa, Regia (Hebdomi, palatii regii), Caligaria, Xyline. Secundum Critobulum 1, 27 exercitus pars, quam ipse Mechemet s duxit, a Myriandrio boream versus pertinebat usque ad Charsiam portam; inde quæ sunt usque ad portam palatii regii et dehinc ad Xylinam portam copiis Caratziæ occupabantur. Hæc igitur quum optime inter se concinant, patet falsum esse quod apud plurimos legitur (V. Ducangius l. l. et Hammer), scilicet Charsiæ portam non differre a porta Caligaria et ab hodierna *Egri kapou* (i. e porta obliqua, πύλη καρσία), quæ est ad regionem Blachernarum. Quæ quidem opinio non nititur nisi inepto lusu etymologico, quo κάρσιος vox et Χαρσίας componuntur, quamquam Codinus De ædif. p. 47, 19 et 107, 12 et p. 110, 3 ed. Bonn. docet portam nomen habere a Charsia, Mandalæ fratre, Prasinæ factionis duce, qui eam struxerit (an. 447) quo tempore sub Theodosio minore Constantinus Cyrus præfectus prætorio murum urbis mediterraneum ædificandum curaverit. Unus Mordtmannus l. l. p. 137 ex Ducæ narratione et Canani loco (nam Pusculum et Critobulum non novit) regionem in qua Charsiæ porta quærenda sit, recte definivit; minus liquet num ipsum etiam portæ locum recte indicaverit. Hunc enim reperisse sibi videtur in porta nunc muro clausa, quæ inter *Top Kapussi* (P. Romani) et *Edrene Kapussi* s. Adrianopolitanam portam (veterem Polyandrii sive Myriandrii portam, ut Mordtmannus cum aliis plurimis censet) conspicitur, a Lyco fluvio boream versus nonnisi 180 fere metra gallica distans. Inscriptum supra hanc portam distichon legitur :

Portarum valido firmavit omine muros
Pusæus, magno non minor Anthemio.

In quo illud *omine* vix recte legerit Mordtmannus; *limine* scriptum esse suspicor. Anthemium intellige præfectum prætorio qui an. 413 Theodosianos muros struxit. Pusæus vero, ni fallor, is est qui an. 467 sub Leone imp. consul fuit. Vel hoc anno vel sequente Thracia et Hellespontus terræ motu quassatæ, ut Priscus f. 43 (Fr. Histor. t. 4 p. 110) tradit. Collapsos autem muros a Leone Magno refectos esse testatur Codinus. Ceterum portam hanc Pusæi citeriore adhuc ævo in usu fuisse haud constat, deinde vero in situm ejus non cadit quod Ducas l. l. dicit Mechemetem castra habuisse *pone collem* ex adverso Charsiæ portæ; nam clausa illa porta ex adverso non collem habet, sed vallem Lyci fluvii, in cujus vallis parte superiore juxta *Maltepe* collem regem consedisse recte haud dubie statuitur. Contra facilem explicatum verba Ducæ habent, si Charsiæ porta erat hodierna porta Adrianopolitana; ab hac enim prospectus in castra regis, inter *Top Kapussi* et *Edrene Kapussi* media, interposito colle præcludebatur. Bene scio hodiernam portam Adrianopolitanam apud omnes, quantum sciam, pro vetere porta Myriandrii sive Polyandrii venditari; id vero falsum esse pro certo assevero. Nam Myriandrium et a Charsæa et a Romani porta versus *meridiem* fuisse e Critobulo, 1, 27 patet, qui Mechemetis copias a Charsæa porta pertinuisse dicit usque ad Myriandrium, a quo deinceps usque ad portam Auream et Propontidem collocatæ erant Isaaci copiæ Asiaticæ. Idem colligitur ex Phrantze p. 252, apud quem mediterraneæ portæ hoc recensentur ordine : Aurea, Myriandrii, Selymbriana, Romani, Caligaria, Lignea. Ex Leonardo Chiense p. 325, qui item Myriandrii mentionem facit, de situ loci nihil certioris colligi potest. Errore autem laborant quæ leguntur apud Codinum De ædif. p. 47 ed. Bonn. Narrat auctor murum mediterraneum a Blachernis ad auream portam sexaginta dierum spatio perfectum esse a Venetis et Prasinis, octonum millium hominum opera usis, ὄντων δημάρχων Μανδαλᾶ μέρους τῶν Βενέτων καὶ Χαρσίου ἀδελφοῦ αὐτοῦ μέρους Πρασίνων μετὰ καὶ Εὐλαμπίου συγγενοῦς· ἠνώθησαν δὲ οἱ Βένετοι ἀπὸ Βλαχερνῶν, οἱ δὲ Πράσινοι ἀπὸ Χρυσείας πόρτης εἰς τὴν Μυρίανδρον πόρτην τὴν καλουμένην [καὶ] Πολύανδρον· οὕτως δὲ ἐκλήθη Πολύανδρος διὰ τὸ ἀμφότερα τὰ μέρη ἐκεῖσε ἑνωθῆναι. Hæc si recte haberent, Polyandros porta sita foret a *borea* Charsiæ portæ, quoniam hæc esse debebat in tractu quem Charsia duce *Prasini* a porta Aurea proficiscentes ædificarant. At ipse Codinus p. 110 Charsiam non Prasinorum, sed *Venetorum* ducem fuisse dicit; hinc igitur alter locus corrigendus est, quum sic demum conciliari possit cum testimonio Critobuli. Ceterum e Codini narratiuncula consequitur Myriandrum portam in muro Theodosiano inter Blachernas et portam auream fuisse fere mediam, adeo ut de hodierna *Edrene Kapussi*, quæ Blachernis propinqua est, cogitari nequeat. Medium ferme muri locum nunc obtinet *Merolane Kapussi* sive

μον, ἄνευ μέντοιγε τοῦ ἄλλου ὁμίλου, ὅς πολὺς εἵπετο. XXIV. Ῥωμαῖοι δὲ στρατὸν τοσοῦτον πεζόν τε καὶ ναυτικὸν καὶ παρασκευὴν τοσήνδε κατὰ γῆν καὶ θάλασσαν ἐπιοῦσαν ὁρῶντες ἐξεπλήττοντο μὲν τῷ τε παραλόγῳ τῆς θέας τῷ τε ἀθρόῳ τῆς ἐπιθέσεως, οὐ μὴν ἠμέλουν γε καὶ αὐτοὶ τῶν ἐς τὸν πόλεμον καὶ τὴν ἐναντίαν παρασκευὴν, ἀλλὰ πάντα ἐποίουν, μηδὲν ὑφιέντες. (2) Καὶ πρῶτον μὲν ὁλκάδας μεγάλας περί τε τὴν ἅλυσιν καὶ τὸ στόμα τοῦ μεγάλου λιμένος ἀντιπρῴρους βύζην ὥρμιζον, καὶ τριήρεις μακρὰς περὶ αὐτὰς, ὡς ταύτῃ τὸν ἔσπλουν τῶν πολεμίων κωλύσοντες. (3) Ἔτυχον δὲ τότε παροῦσαι καὶ τριήρεις ἐξ Ἰταλίας ἐξ Ἐνετικαὶ, οὐκ ἐπὶ πόλεμον, ἀλλὰ κατὰ χρείαν ἰδίαν, καὶ ὁλκάδες μεγάλαι ἐκ Κρήτης ἀφιγμέναι κατ' ἐμπορίαν, ἃς ἀξιώσει κατέσχον, πείσαντες παραμεῖναι τῷ πολέμῳ.

Yeni Kapu (i. e. nova porta), quæ proxima est portæ *Top Kapussi*, a qua muro duodecim turres habente (sec. Mordtmann l. l. p. 135) separatur. His duodecim muri turribus totidem turres ligneas opposuisse videtur Chaganus Avarum dux, qui sub Heraclio imp., an. 622, urbem obsedit; nam sec. Chron. Paschal. p. 720, 1 ed. Bonn. παρεσκεύασεν εἰς τὸ διάστημα τὸ ἀπὸ τῆς Πολυανδρίου πόρτας ἕως τῆς πόρτας τοῦ ἁγίου Ῥωμανοῦ στῆναι ιβ' πυργοκαστέλλους ὑψηλούς etc. Obstat sane huic de Myriandrii situ sententiæ quod Phrantzes Myriandrium inter portam Auream et Selymbrianam (*Selivri Kapussi*) memorat; et quoniam in hoc tractu exstat porta nunc clausa et ab ora maritima sex fere stadia distans, hanc Phrantzii verbis innitens Myriandrii esse dixeris; attamen parum probabile est Asiaticas Turcorum copias (100,000 milit. sec. Ducam) non obtinuisse nisi brevissimum hunc tractum, qui ne quintam quidem muri mediterranei partem constituit. Itaque ordinem quo duæ hæ portæ apud Phrantzem enumerantur, haud premendum esse credere malim. Idem etiam Leonardus p. 326 suadet, qui ita habet: *Mauritius Catanæus, vir nobilis Genuensis, præfectus inter portam Pighi, id est fontis, usque ad Auream cum ducentis balistariis commixtis etiam Græcis, contra ligneum castrum, pellibus boum contectum, oppositum decertat. Paulus, Troilus, Antonius de Bochiardis fratres in loco arduo Myriandri, quo urbs titubabat* (ὅπου ἡ πόλις ἡ ἐπικίνδυνος Phrantz. p. 253, 12), *pugnam sustinent.* Fontis porta eadem est quam Selymbriæ dicit Phrantzes. Haud igitur inter hanc et Auream Myriandrium fuisse Leonardus censuit. Castrum illud ligneum positum fuisse inter Pegæam et Auream portam etiam Pusculus 4, 154, dicit.

§ 2. Ὁρμίζονται ἄλλῃ καὶ ἄλλῃ] Principalem classis stationem fuisse constat ad Διπλοκιόνιον, qui locus nunc *Bechiktach* vocatur. || — ὑπὲρ τὰς τριάκοντα μυριάδας] Chalcocond. p. 383, 14: Λέγεται δὲ γενέσθαι ξύμπαντα τὸν στρατὸν ἀμφὶ τὰς τεσσαράκοντα μυριάδας. Ducas p. 267, 6: Ἔλεγον οὖν, ὅσοι κατεσκόπευον, εἶναι ὑπὲρ τετρακοσίας χιλιάδας. Idem p. 283, 10 numerum eorum qui expugnationis die ad murum mediterraneum pugnarunt, ita definivit, ut Mechemetes et adjuncti ei duces contra mediam muri partem duxerint militum 110,000; meridionalem vero partem oppugnarent 100,000, borealem denique 50,000, adeo ut summa sit 260,000. Similiter Phrantzes p. 240, 15: Ὁ δὲ στρατὸς ὁ θέλων μάχεσθαι ἐκ τῆς χέρσου χιλιάδες ὑπῆρχον σνή (258). Leonardus p. 317 pugnatorum fuisse dicit *trecenta et ultra millia*, inter eosque quindecim millia Genitzarorum. Nicolaus Barbarus p. 18 numerum minimum sed fortasse corruptum habet: *fo Turchi*, inquit, *zerca zento* (200?) *e sesanta milia.* Ampliorem copiarum catalogum exhibet auctor τοῦ θρήνου τῆς Κωνσταντινοπόλεως (v. 750 sqq.), quem edidit et commentariis illustravit A. Ellissen in *Analecten der mittel u.-neugriechischen Literatur*, tom. 3. Ex eo summa conflatur militum 217,000, quorum 70,000 ex Asia, 147,000 ex Europa collecti sunt. Adrianopoli rex adduxit 55,000, inter eosque 15,000 janitzaros. Vicina regio præbuit 25,000, Callipolis 3,000, Didymotichus et Nicopolis 12,000, Serræ, Bergia (Berga? Berrhœa?) et Scopia 15,000, Ochrida et Castoria et cetera Bulgaria 7,000, Aulona, Radovici, Grevenos, Stepe (?) 4,000; Arta et Janina 1,000, oppida Valachiæ inferioris (τῆς χαμηλῆς Βλαχίας), Triccala, Larissa, Phersala, Phanari, Zitani, Domoco, Salona, Levadia, Hellas (Thessalica), Patra (ubi olim Hypata), Agrapha, Beluchi, Protolio (?) 25,000.

XXIV. § 3. Ἐνετικαὶ] Αἰν. codex. Secundum Barbarum p. 3 sqq. Venetæ naves duæ onerariæ a Caffa urbe Constantinopolim venerant die X mensis Novembris; eas duxit Moresinus. Deinde e Tana sub Aloisio Diedo præfecto venerant tres naves mercatoriæ, easque comitantes et tuentes duæ naves longæ, quibus præerat Gabrielus Trevisanus. Hæ naves quinque (quarum etiam Leonardus p. 323 meminit), invito Trevisano, Constantinopoli ad tutelam urbis remanere d. XIV mens. Decembris coactæ sunt decreto, cujus tenorem Barbarus, qui in una earum medici munere fungebatur, servavit. — Præterea alia navis Veneta mercatoria, cui præfectus erat Jacobus Coco, die IV Decembris Trapezunte in portum urbis venerat. Alia navis Veneta, cujus dux Petrus Davanzo, die XXVI Februarii fuga se subduxit. Secundum hæc igitur octo naves Venetæ in portu remanserunt; sex ibi affuisse Critobulus tradit. || — ἐκ Κρήτης ἀφιγμέναι] Tres naves Creticas obsidionis tempore in portu fuisse tradunt Barbarus p. 3 et Phrantzes p. 238. Mense Novembri naves octo vino onustæ e Creta venerant, quarum sex die XXVI Februarii 1453 aufugerunt. — In sqq. Critobulus memorat naves duas Genuenses, quas Justinianus adduxit mense Januario. Mentio etiam facienda fuisset aliarum duarum navium Genuensium, quarum in altera mense Novembris Constantinopolim venerant Isidorus cardinalis et Leonardus Chiensis Mytilenæ archiepiscopus (Ducas p. 253. Barbar. l. l.). Phrantzes p. 238 de navibus, quæ in Cornu sinu præsto erant, ita habet: ἦσαν δὲ νῆες τοιαῦται· ἐκ μὲν Λιγουρίας τρεῖς, ἐκ δὲ Ἰβηρίας ἤτοι Καστελίας μία, ἐκ τοῦ Γάλλου τῆς Προβεντβίας*, ἐκ δὲ τῆς Κρήτης τρεῖς (ἐκ τῆς πόλεως λεγομένης Χάνδαξ (Candia) ἡ μία, καὶ αἱ δύο ἐκ Κυδωνίας), πᾶσαι εἰς παράταξιν πολεμικὴν καλῶς ἡτοιμασμέναι· ἔτυχον δὲ καὶ ἐκ τῶν Ἐνετῶν τριήρεις ἐμπορικαὶ μεγάλαι τρεῖς, ἃς οἱ Ἰταλοὶ εἰώθασι γρόσσας γαλέρας καλεῖν ἢ μᾶλλον εἰπεῖν γαλεάτζας, καὶ ἕτεραι τριήρεις ταχεῖαι πρὸς φύλαξιν καὶ ὑπηρεσίαν τῶν ἐμπορικῶν τεταγμέναι. Secundum Barbarum p. 20 juxta ipsam catenam portus collocatæ erant majores naves decem, ex quibus Genuenses quinque, Anconitana una, Creticæ tres, Constantinopolitana una. *In el porto, dentro de la cadena, ne remaxe nave diexesete chebade, galie tre da la Tana, galie do sutile da Veniexia, e galie cinque de l' imperador de Constantinopoli, le qual galie cinque si era dexarmade, e ancora ne iera assai navili dexarmadi e messi a fondi per dubito de fuogo e de bote de bombarda.* His adde quæ in Duca p. 270, 16 leguntur: τότε ὁ τύραννος ἰδὼν τὰς νῆας τὰς μεγάλας ὀκτὼ οὔσας, τὰς μικρὰς ἐπέκεινα τῶν τκ, καὶ τριήρεις βασιλικὰς καὶ τριήρεις τῶν Βενετικῶν, καὶ ἄλλα πλεῖστα μικρὰ, ἔγνω ὡς οὐκ ἔστι δυνατὸν τοῦ κατασχεῖν τὸν λιμένα. Leonardus p. 323 triginta naves in portu fuisse dicit.

XXV. Ἐν δὲ ταῖς αὐταῖς ἡμέραις ἀφικνεῖται καί τις ἀνὴρ Ἰταλὸς, Ἰουστῖνος ὄνομα, δυνατός τε καὶ τῶν εὖ γεγονότων, ἀλλὰ δὴ καὶ τὰ ἐς πόλεμον ἔμπειρος καὶ μάλα γενναῖος, ἔχων μεθ' ἑαυτοῦ καὶ δύο τῶν μεγάλων ὁλκάδων, ἃς οἴκοθεν αὐτὸς ἐπισκευάσας καὶ ὁπλίσας καλῶς ἀνδράσι τε καὶ ὅπλοις παντοίοις (εἶχε γὰρ ἐπάνω τῶν καταστρωμάτων τούτων ἄνδρας καταφράκτους τετρακοσίους) διέτριβε περί τε Χίον καὶ Ῥόδον καὶ τὴν ταύτῃ θάλασσαν, λοχῶν τινας τῶν αὐτῷ διαφόρων· ὃς προμαθὼν τόν τε πόλεμον Ῥωμαίων καὶ τὴν ὅσον οὐ τῆς πόλεως ἐσομένην πολιορκίαν καὶ τὴν μεγάλην τοῦ βασιλέως Μεχέμετι παρασκευὴν κατ' αὐτῆς, ἧκεν αὐτόκλητος ξὺν ταῖς ὁλκάσι βοηθήσων Ῥωμαίοις καὶ βασιλεῖ Κωνσταντίνῳ· εἰσὶ δὲ οἳ καὶ μετάκλητον αὐτὸν γενέσθαι φασὶ παρ' αὐτοῦ ὑπεσχημένου μετὰ τὸν πόλεμον μισθὸν τῆς βοηθείας τὴν Λῆμνον αὐτῷ. (2) Οὗτος ἐν ὀλίγῳ πεῖραν τῆς αὑτοῦ γνώμης τε καὶ τῶν τρόπων ἀκριβῆ παρασχὼν, καὶ πίστεις δοὺς καὶ λαβὼν, δέχεται καὶ τιμᾶται παρά τε τοῦ βασιλέως καὶ τῶν ἐν τέλει καὶ τῆς πολιτείας λαμπρῶς, καὶ καθίσταται παρ' αὐτῶν στρατηγὸς αὐτοκράτωρ καὶ κύριος τοῦ πολέμου παντὸς καὶ βουλῆς καὶ ῥητῶν καὶ ἀπορρήτων καὶ ὅπλων καὶ πάσης τῆς τοῦ πολέμου χρείας τε καὶ παρασκευῆς. (3) Καταστὰς οὖν ἐν τῷ τοιῷδε, παντοίως ἐπεσκεύαζε τὴν πόλιν, τό τε κατὰ γῆν τεῖχος ἅπαν ὁπλίζων καὶ τὰς ἐπάλξεις πετροβόλοις τε μηχαναῖς καὶ παντοίοις ὅπλοις, τούς τε προμαχομένους τε καὶ προπολεμοῦντας τούτων ἐκτάττων καλῶς καὶ καθιστῶν ἕνα ἕκαστον ᾗ δεῖ, καὶ παραγγέλλων, ὅπως χρὴ τοὺς ἐπιόντας ἀμύνεσθαι καὶ φυλάττειν τὸ τεῖχος· ἔτι δὲ τὸν λιμένα καλῶς ἠσφαλίσατο, ᾗπερ εἴρηται, ὁλκάσι τε καὶ τριήρεσι καὶ μηχαναῖς παντοίαις, καὶ τὸ κατὰ θάλασσαν ἅπαν τεῖχος, ὥσπερ δὴ καὶ τὸ τῆς ἠπείρου, ἀρκούντως ὥπλισεν· ἦν γὰρ ὁ ἀνὴρ πολέμων ἔμπειρος, ᾗπερ ἔφην, καὶ τὰ ἐς τειχομαχίαν μάλιστα ἱκανῶς ἤσκητο. (4) Ἐγχειρίζεται δὲ καὶ τὸ καταντικρὺ τοῦ βασιλέως στρατοπέδου μέρος τοῦ τείχους, ὡς ἐπίμαχόν τε ὄν, ὅπῃ δὴ καὶ τὸ καθαρώτατον ἦν τοῦ στρατοῦ καὶ ἡ βασίλειος ἴλη τε καὶ αὐλὴ, καὶ οὗ τὰς μηχανὰς ἔδει τοὺς πολεμίους προσαγαγεῖν, ὥστε προπολεμεῖν τε αὐτὸς αὐτοῦ καὶ προμάχεσθαι καὶ φυλάττειν μετά γε τῶν ξὺν αὐτῷ· εἶχε γὰρ ὑφ' αὑτὸν, ὡς ἔφθην εἰπὼν, καταφράκτους ἄνδρας τετρακοσίους ἄνευ γε τῶν ἄλλων πληρωμάτων τῶν νεῶν. (5) Γίνεται δὲ τότε καί τις ἐκδρομὴ βραχεῖα τῶν ἐκ τῆς πόλεως πρός τινας τῶν ἀπὸ τῆς στρατιᾶς προκαταδραμόντας ἀτάκτως, καὶ ἀπέκτειναν ἐνίους αὐτῶν, ὀλίγους δὲ καὶ ἔτρωσαν. Μετὰ δὲ ταῦτα ξυνελαθέντες ὑπὸ πολλῶν ἀντεκδραμόντων ἀπὸ τῆς στρατιᾶς, κατέφυγον ἐς τὴν πόλιν, καὶ κλείσαντες τὰς πύλας οὐκέτι ἐπεξῄεσαν, ἀλλ' ἐφύλαττον μόνον τὴν πόλιν.

XXVI. Μεχέμετις δὲ ὁ βασιλεὺς στρατόπεδον θέμενος αὐτοῦ που περὶ τὸ καλούμενον Μεσοτείχιον καὶ

XXV. § 1. Ἐν ταῖς αὐταῖς ἡμέραις] Immo Just. venerat Januarii mensis die vicesima sexta, ut Barbarus p. 13 ait. Cum Critobulo cf. Pusculus 4, 281 : *navibus altis Hic prexerat geminis, illis qui forte diebus venerat.* || — Ἰουστῖνος] Sic tum hoc loco tum c. 44 et 58 ap. Critobulum vocatur Joannes Justinianus Longus, Genuensis. De re cf. Phrantzes p. 241, 18, Ducas p. 265, 18 Barbarus l. l., Pusculus. || — τετρακοσίους] *homines septingentos* sec. Barbar. p. 13, annumerata, ut videtur, plebe nautica. Cum Critobulo facit Leonardus p. 319 : *duabus cum navibus magnis et armatis circiter quadringentis mare decursitans forte veniens stipendio adscriptus imperatoris ducatum militiæ obtinuit.* Milites a Justiniano adducti videntur intelligendi esse ap. Phrantz. p. 241, 21, ubi imperator eum δήμαρχον καὶ στρατηγὸν ἐπὶ τριακοσίους ἄνδρας προσέταξεν εἶναι. || — διέτριβε... διαφόρων] Hoc alius nemo tradit. || — αὐτόκλητος] Barbarus l. l. : *vene... perche intendeva la nezesitade che havea Constantinopoli e per benefitio de la christianitade e per honor del mundo.* || — μετάκλητος] Cf. Pusculus 4, 285 : *rex mercede virum conduxerat.* || — Λῆμνον] Ducas p. 266, 5 : εὐεργέτησε δὲ τούτῳ καὶ διὰ χρυσοβούλλου γράμματος τὴν νῆσον Λῆμνον, εἰ ἀποκρουσθήσεται ὁ Μεχεμέτ.

§ 2. Στρατηγὸς αὐτοκράτωρ] πρωτοστράτωρ, ut Ducas p. 266, 1 ait.

§ 3. Ἱκανῶς ἤσκητο] sic margo, ἱκανῶς ἔχων textus.

§ 4. Ἐγχειρίζεται etc.] Ducas p. 266, 1 : καὶ αὐτὸς (Justinianus) τὴν φύλαξιν τῶν πρὸς τὸ παλάτιον (ad Hebdomum palatium, hodie *Tekfur Serai*) κειμένων τειχέων ἀνελάβετο· καὶ γὰρ ἦσαν ὁρῶντες τὸν τύραννον ἐκεῖ τὰς σκευὰς τὰς πετροβόλους πηγνύοντα καὶ τὴν ἄλλην πᾶσαν ἀντίμαχον τοῖς ἐν τοῖς τείχεσι παράταξιν. Hic tractus præ ceteris ἐπίμαχος erat, quum murus ibi debilior neque antemurali munitus esset (Barbarus p. 14 : *dal palazzo le (mure) sun debole et senza barbacani et senza fosse*), neque fossam haberet antequam hanc in 100 pedum longitudinem duxissent (Martii mens. diebus 14-31) nautæ galerarum Veneticarum, quibus Aloysius Diedo præfectus erat. Cf. Leonardus p. 318 : *Horribilem perinde bombardam (quamquam major alia, quam vix bovum quinquaginta centum juga vehebant) ob partem illam murorum simplicem, quæ nec fossatis nec antemurali tutabatur, Caligariam dictam, figentes, lapide qui palmis undecim ex meis ambibat in gyro, ex ea murum conterebant... Bombarda præterea illa ingens, eo quod Caligaream strenuo reparatam adversus non proficeret, alium locum Bactatineæ turris* (hic locus p. 332 vocatur *Bachatureus murus*) *juxta sancti Romani portam, inde dimota, lapide in ea æstimatione mille ducentarum librarum interdiu collidit, collisum concutit, concussum exterminat.* Ceterum sec. Critobulum 1, 27 ex adverso Palatii et Caligariæ portæ copiæ Caratziæ, non vero ipsius Mechemetis, collocatæ erant. Fortassis igitur eo usque Caratziæ exercitus tum demum extendebatur, quum præcipua murorum oppugnatio a Caligaria porta ad portam Romani translata erat.

§ 5 Ἐκδρομὴ βραχεῖα] Ducas p. 266, 10 : πολλάκις καὶ ἐκτὸς τοῦ τάφρου ἐκπηδῶντες συνεπλέκοντο τοῖς Τούρκοις Ῥωμαῖοι, ποτὲ μὲν ἀφέντες, ποτὲ δὲ λαμβάνοντες. Nihil Critobulus habet de excursionibus, de quibus narrant Ducas p. 259, et Pusculus 3, 428 sqq.

τὸ Μυριάνδριον οὐ πόρρω τοῦ τείχους, ἀλλ' ὅτι ἐγγυτάτω καὶ ὅσον μὴ ἔσω βελῶν εἶναι, πρῶτον μὲν δεῖν ἔγνω λόγοις χρήσασθαι πρὸς Ῥωμαίους, εἰ βούλοιντο παραδόντες αὐτῷ τήν τε πόλιν καὶ ἑαυτοὺς μετὰ ξυμβάσεων καὶ ὅρκων πιστῶν καθῆσθαι ξὺν γυναιξὶ καὶ τέκνοις καὶ τοῖς ὑπάρχουσι πᾶσι σῶς καὶ κακῶν ἀπαθεῖς, ἀπολαύοντες τῶν ἰδίων εἰρηνικῶς· καὶ πέμπει δὴ τοὺς ταῦτα ἐροῦντας, οἳ καὶ παραγενόμενοι ἀπήγγειλαν τὰ παρὰ τοῦ βασιλέως. (2) Οἱ δὲ οὐκ ἐδέξαντο ἐπὶ τούτοις, εἰπόντες ἄλλας σπονδὰς ἐθέλειν ποιεῖσθαι, τὴν πόλιν δὲ ἀδύνατα εἶναι παραδώσειν αὐτῷ. (3) Βασιλεὺς δὲ τούτων ἀκούσας, εὐθὺς ἔκειρέ τε τὴν γῆν καὶ τὰ πέριξ πάντα τῆς πόλεως ἐδῄωσε. Μετὰ δὲ τοῦτο ἀναλαβὼν τόν τε Ζάγανον καὶ Χαλίλην, ἄνδρας τῶν πρώτων παρ' αὐτῷ, ξὺν αὐτοῖς δὲ καὶ ἑτέρους τῶν σατραπῶν, περιῄει τὸ κατ' ἤπειρον μέρος τῆς πόλεως, κατασκοπῶν τὸ ταύτῃ τεῖχος, ᾗ τε ἐπιμαχώτατον εἴη ἐς προσβολήν, ᾗ τε ἀπόμαχον, καὶ ᾗ δεῖ προσάγειν τὰς μηχανὰς ὥστε κατασεῖσαι αὐτό.

XXVII. Μετὰ δὲ τοῦτο ἐκτάσσει πᾶσαν τὴν στρατιάν, τούς τε σατράπας καὶ ἰλάρχας καὶ ταγματάρχας καὶ ἡγεμόνας τῶν τάξεων, διδοὺς ἑκάστῳ καὶ τάξιν καὶ τόπον, ᾗ δεῖ φυλάττειν καὶ μάχεσθαι, καὶ παραγγέλλων ἃ δεῖ ποιεῖν. (2) Διελὼν δὲ κατὰ μέρη τὴν πόλιν ἅπασαν καὶ τὸ τεῖχος κατὰ γῆν τε καὶ θάλασσαν, Ζαγάνῳ μὲν καὶ τοῖς ὑπ' αὐτὸν ξύν γε καὶ ἑτέροις τισὶ τῶν λοχαγῶν καταπιστεύει τήν τε πολιορκίαν τοῦ Γαλατᾶ καὶ τὸ κατ' αὐτὸν μέρος ἅπαν ξύν γε τῷ Κέρατι καὶ λιμένι παντὶ ἀνιόντι μέχρι τῆς ὀνομαζομένης Ξυλίνης πύλης τῆς πόλεως, ἐνδοὺς αὐτῷ καὶ γεφυροῦν τὸν ταύτῃ πορθμὸν τοῦ Κέρατος ἀπό γε τῶν Κεραμικῶν μέχρι τοῦ πέραν καὶ καταντικρὺ τούτων ὄντος τείχους τῆς πόλεως· ἔγνωστο γὰρ αὐτῷ καὶ ταύτῃ διαβιβάσαι ὁπλίτας τε καὶ τοξότας, ὡς ἂν πανταχόθεν προσβάλλοι τῇ πόλει, καὶ ἀκριβῆ τὴν πολιορκίαν ποιοῖτο. (3) Καρατζίᾳ δὲ τῷ τῆς Εὐρώπης ἐπάρχῳ καὶ ἑτέροις τῶν σατραπῶν τὸ ἀπὸ τῆς Ξυλίνης πύλης ἀνιόντι μέχρι τῶν βασιλείων τοῦ

XXVI. § 1. Τὸ καλούμενον Μεσοτείχιον] i. e. muri tractum, qui a Charsia porta ad portam Myriandrii pertinet, uti liquet e cap. 27. Vocem hoc sensu usurpatam alibi me legere non memini. || — Μυριάνδριον] Cœmeterium, quale ad quamvis fere portam Constantinopolis occurrit. Codini de nominis origine narratiunculam supra ad c. 23 apposui. || — λόγοις] συμβατηρίοις addit margo. De hac legatione apud ceteros scriptores nihil legitur. Verum paucis diebus ante expugnationem urbis Mechemetes Ismaelem, Scenderis Sinopensium despotæ filium, de deditione urbis legatum misisse traditur apud Chalcocondylam p. 390, 16. Cf. Ducas p. 279, 18 et Leonardus Chiens. p. 324. Phrantzes hujus legationis non meminit eo narrationis loco, ubi mentionem ejus expectaveris (p. 271), at indicium ejus præbent verba Mechemetis, qui ex capto Notara quærit : Τί οὐκ ἐβούλευσας τὸν βασιλέα, ὅτε ἐμήνυσα αὐτῷ ἵνα μετ' εἰρήνης καὶ ἀγάπης μοι δώσῃ τὴν πόλιν καὶ ἄλλον ἀντ' αὐτῆς τόπον δώσω μετ' ἀγάπης καὶ φιλίας, ἵνα μὴ τοσοῦτοι φόνοι ἀναμέσον ἡμῶν γενήσωνται; Cf. Zinkeisen l. l. 1, p. 842. Mordtmann p. 75. || — § 2. οἱ δὲ] Supra scriptum in codice Ῥωμαῖοι.

XXVII. Dispositionem copiarum Turcorum Critobulus accuratius quam ceteri scriptores exponit. Phrantzes nihil nisi hæc p. 237, 13 : ὁ τῆς ἀνατολῆς στρατὸς ἐπήξατο τὰς σκηνὰς αὐτῶν ἐν τοῖς δεξιοῖς μέρεσι τοῦ ἀμηρᾶ καὶ ἕως τῶν ἀκτῶν τῆς θαλάσσης πύλης τῆς χρυσῆς, ὁ δὲ τῆς Εὐρώπης ἐν τῇ ἀριστερᾷ καὶ ἕως τῆς πύλης τῆς ξυλίνης τῶν ἀκτῶν τοῦ Κερατίου κόλπου. Καὶ ὁ ἀμηρᾶς περιεκυκλοῦτο ὀρυκτοῖς χαρακώμασι καὶ ξυλινοῖς περισταυρώμασι, καὶ ἔξωθεν τοῦ χαρακώματος περιίσταντο οἱ ἰαννιτζάροι σὺν τοῖς ἄλλοις εὐγενέσι τοῦ παλατίου αὐτοῦ. Ὁ δὲ μπασιᾶς ὁ τοῦ ἀμηρᾶ συγγενὴς (Zaganus) ἐλθὼν ἐσκήνωσεν ἅμα τῷ ἐμπιστευθέντι αὐτῷ στρατῷ ἄνωθεν τοῦ Γαλατᾶ. Ducas p. 263, 3 : πᾶσα ἡ δύναμις αὐτοῦ ἀπὸ τῆς Ξυλοπόρτης τῆς κειμένης ἐγγὺς τοῦ παλατίου ἕως τῆς Χρυσῆς πύλης τῆς πρὸς νότον, καὶ ἔτι ἀπὸ τῆς Ξυλοπόρτης ἕως τοῦ Κοσμηδίου, καὶ ἀπὸ τοῦ νότου εἰς πλάτος ὅσον περιέφερον κάμπον αἱ ἄμπελοι. Similiter Chalcocond. p. 383, 6-13. Cf. Critobul. c. 51. De stationibus quas Constantinus imp. singulis ducibus assignaverit, Critobulus dicere neglexit, dum in his operam posuerunt parum inter se consentientes Phrantzes p. 252 sq., Pusculus 4, 151-195, Leonardus p. 325 sq., Barbarus p. 16.

§ 2. Τὴν πολιορκίαν τοῦ Γαλατᾶ] At alia conditio Galatæ, alia Constantinopolis tunc erat. Vid. Ducas p. 267, Zinkeisen 1, p. 837, Mordtmann p. 40. || — γεφυροῦν τὸν τ. πορθμόν] Constructus pons postquam naves per terram e Bosporo in Cornu sinum (d. XXII April.) transductæ erant, ut narrant Phrantzes p. 252, Leonardus p. 325, Pusculus 4, 572; Critobulus tunc eum perfectum esse tradit c. 43; Chalcocondylas p. 388 structum pontem esse prodit postquam obsessi naves Turcorum in portum deductas comburere frustra tentaverant (April. d. XXVIII sec. Barbar.). Die 19 Maii demum factum pontem esse dicit Barbarus p. 43. Cum Barbaro componendus esse videtur Ducas p. 279, qui de ponte hoc exponit postquam narraverat quæ ap. Critob. c. 44 leguntur. De structura pontis præ ceteris v. Phrantzes et Barbarus. || — ἀπό γε τῶν Κεραμικῶν] ἀπό τε τ. Κ codex. Cf. Chalcocond. p. 388, 8 : γέφυραν ἐποιεῖτο ἀπὸ τῆς καταντικρὺ ἠπείρου τῶν Κεραμαρείων (Κρομαρείων ap. Gillium in libro de Bosporo p. 30) καλουμένης ἐς τὴν πόλιν φέρουσαν, in quibus Κεραμείων, *officinarum figulorum*, legas. Barbarus p. 44 : *Questo ponte se vignia a destendere per mezo la porta del Chinigo.* Ducas p. 279, 10 : γέφυραν ξύλινον ἀπὸ τοῦ Γαλατᾶ εἰς Κυνηγόν. Porta Cynegii nunc vocatur *Aiwan Kapussi.* Suburbanum, quod ab ea porta juxta sinum extenditur, *Kassabai Djemlekchiler* i. e. *suburbium figulorum*, Κεραμικὰ seu Κεραμεῖα, dicitur, quod nomen sec. Critobulum et Chalcocondylam olim etiam in opposito sinus litore, ubi nunc *Hasskoi*, obtinuisse videtur. Ibi etiam hodie sinus intimus ponte jungitur. Latitudo pontis ea erat ὥστε ἀπόνως πέντε κατὰ πλάτος διέρχεσθαι πεζούς, ut ait Ducas p. 279 Longitudo duorum ferme stadiorum esse debebat. Certum est falsa et corrupta nunc legi apud Phrantzem p. 252, 8, ubi : ἔχουσα τὸ πλάτος ὀργυιῶν πεντήκοντα, τὸ δὲ μῆκος ἑκατόν, et apud Leonardum p. 322 : *longitudinis stadiorum circiter triginta.*

§ 3. Ξυλίνης πύλης] Hæc porta nunc clausa juxta portam Cynegii. || — τῶν βασιλείων] Hebdomi, hod. *Tekfur Serai*, prope quod Caligaria porta erat. || — τῆς Χαρισοῦς] portæ Adrianopolitanæ seu *Edrene Kapussi*, ut mihi videtur. V. not. ad cap. 23.

Πορφυρογεννήτου καὶ φθάνοντι μέχρι τῆς ὀνομαζομένης πύλης τῆς Χαρισοῦς ἐγχειρίζει, δοὺς αὐτῷ καί τινας τῶν μηχανῶν καὶ μηχανοποιοὺς παίειν τὸ ταύτῃ τεῖχος, ᾗ ἂν ἀσθενὲς καὶ ἐπίμαχον εἴη, καὶ κατασείειν αὐτό. (4) Ἰσαάκῳ δὲ τῷ τῆς Ἀσίας ἐπάρχοντι τότε καὶ Μαχουμούτει κόμητι ὄντι τὸ τηνικαῦτα, ἀνδράσι γενναίοις τε καὶ τῇ κατὰ πόλεμον ἐμπειρίᾳ καὶ τόλμῃ θαυμαζομένοις πολλῇ, τὸ ἀπὸ τοῦ Μυριανδρίου μέχρι τῶν τῆς Χρυσέας πυλῶν καὶ τῆς ταύτῃ θαλάσσης μέρος ἐπιτρέπει. (5) Αὐτὸς δὲ ὁ βασιλεὺς ξύν γε τοῖς δυσὶ πασιάδαις τῷ τε Χαλίλῃ καὶ Σαρατζίᾳ τὸ μέσον ἐπέχει τῆς πόλεως καὶ τοῦ κατ' ἤπειρον τείχους, καὶ ᾗ μάλιστα ἐνόμιζεν ἐπιμαχώτατον εἶναι, ἔχων μεθ' ἑαυτοῦ τὴν βασιλικὴν αὐλὴν πᾶσαν, λέγω δὴ τοὺς πεζαιτέρους τε καὶ τοξότας καὶ ὑπασπιστὰς καὶ τὴν ἄλλην περὶ αὐτὸν ἴλην, ὃ δὴ τὸ καθαρώτατον ἦν τοῦ στρατοῦ.

XXVIII. Ἐκτάξας δὲ οὕτω τὴν κατὰ γῆν στρατιὰν καὶ πανταχόθεν τὸ ταύτῃ τεῖχος ἀσφαλισάμενός τε καὶ περιλαβὼν τῷ στρατῷ, τὸν κατὰ θάλασσαν πόλεμον ἐγχειρίζει Παλτόγλῃ, ἀνδρὶ γενναίῳ τε καὶ τῶν κατὰ θάλασσαν ἐμπείρῳ τε καὶ στρατηγικῷ, ὃν ἡγεμόνα τοῦ ναυτικοῦ παντὸς εἵλετο, καὶ τῆς παραλίας ἁπάσης, Ἀσιανῆς τε καὶ Εὐρωπαίας, σατράπην ὄντα Καλλιουπόλεως· (2) ὃς δὴ τὸ κατὰ θάλασσαν ἅπαν τεῖχος ταῖς ναυσὶ περιείληφε, ἀπό (τε) τῆς Χρυσέας τοῦ ἄκρου μέχρι (δὴ καὶ) τῶν νεωρίων τοῦ Γαλατᾶ, στάδιά που μάλιστα τρία καὶ τεσσαράκοντα, ξύν γε τῇ ἁλύσει καὶ ταῖς ἐφορμούσαις ταύτῃ ναυσὶ καὶ ὁλκάσιν· οὗ δὴ καὶ καθ' ἡμέραν προσβάλλων τὸν πόλεμον ἐποιεῖτο, βουλόμενος τὸν ἔσπλουν βιάσασθαι τοῦ λιμένος, ὡς ἂν καὶ τὸ κατὰ τὸ Κέρας ἅπαν τεῖχος ἀνοίξῃ πολέμῳ. (3) Ἦν δὲ ὁ περίβολος ἅπας τῆς πόλεως ὁ περιληφθεὶς τῷ στρατῷ κατὰ γῆν τε καὶ θάλασσαν ἀκριβῶς λογιζομένῳ στάδιοί που μάλιστα ἓξ καὶ εἴκοσι πρὸς τοῖς ἑκατόν· ἀπὸ τούτων ἦν ἀφύλακτον μόνον τὸ τοῦ Κέρατος τεῖχος τὸ ἐντὸς τῆς ἁλύσεως, στάδιοι πέντε καὶ τριάκοντα, τὸ δὲ ἄλλο πᾶν ἐφυλάττετο.

XXIX. Πράξας δὲ οὕτω ταῦτα μετακαλεῖται τοὺς μηχανοποιοὺς καὶ κοινολογεῖται τούτοις περί τε τῶν μηχανῶν καὶ τοῦ τείχους, ὅπως ἂν ῥᾷστα καθαιρεθείη. Οἱ δὲ ὑπισχνοῦνται αὐτῷ ῥᾳδίαν εἶναι τὴν τούτου καθαίρεσιν, εἴ γε πρὸς ταῖς οὔσαις μηχαναῖς (ἦσαν γὰρ αὐτοῖς ἤδη καὶ ἕτεραι πρόσθεν πεποιημέναι) καὶ ἑτέραν ποιήσωσι, τὴν δοκοῦσαν αὐτοῖς ἱκανὴν εἶναι κατασεῖσαι τὸ τεῖχος καὶ καθελεῖν, πρὸς ἣν καὶ ἀναλωμάτων πολλῶν καὶ χαλκοῦ πλείστου καὶ ἑτέρων οὐκ ὀλίγων εἰδῶν ἔνεστι χρεία. (2) Καὶ ὃς εὐθὺς, θᾶττον ἢ λόγος, ἅπαντα δαψιλῶς αὐτοῖς παρέχει τὰ πρὸς τὴν χρείαν, οἱ δὲ κατασκευάζουσι τὴν μηχανὴν, πρᾶγμα φοβερώτατον ἰδεῖν καὶ ἐς ἀκοὴν ὅλως ἄπιστόν τε καὶ δυσπαράδεκτον. Λέξω δὲ τὴν κατασκευὴν αὐτῆς καὶ τὸ εἶδος καὶ τὴν ἐνέργειαν, ὡς ἐνόν. (2) Πηλὸς ἐπαλλάσσετο πολλῶν ἡμερῶν, ὥστε κατεργασθῆναι, γῆς τῆς πιοτάτης τε καὶ καθαρωτάτης

---

§ 4. Ὄντι τὸ τὴν.] Hæc in margine supplentur. || — τῶν τῆς Χρυσέας πυλῶν] Χρυσαίας codex; scripsi Χρυσέας collato cap. 28 § 2 : ἀπό τε τῆς Χρυσέας τοῦ ἄκρου. Ceterum dicendum erat aut τῆς χρυσέας sive χρυσῆς πύλης aut τῶν χρυσέων s. χρυσῶν πυλῶν. Porta nunc clausa prope portam Septem turrium (*Jedi Kulli Kapussi*). || — § 5. Σύν γε τοῖς] γε manu 2 additum. || — Χαλίλῃ] Χαλήλῃ codex.

XXVIII. § 2. Ἀπό τε ... μέχρι δὴ καὶ] In his τε (γε?) et καὶ δὴ abundant. || — 3. στάδιοι] στάδια § 2. || — ἓξ καὶ εἴκοσι πρὸς τοῖς ἑκατόν] Igitur in murum mediterraneum Critobulus computavit stadia 48 (nam 126 = 43 + 35 + 48), consentiente Phrantze p. 237, 11, cui hic murus est τὸ ἑξαμίλιον (6 × 8 stadia) τοῦ χέρσου. Eodem modo Nicolaus Barbarus p. 18 : *la faza de le mure de terra, che iera mia sie, che sun de la Cresca* (i. e. a porta Chrysea) *per fina al Chinigo* (usque ad Cynegium). Eadem fere mensura (50 stad.) indicatur apud Anon. in Descriptione urbis Constant. (p. 63 in Ducang. Const.), qui latitudinem urbis esse dicit 6150 *pedum*, dicere autem voluit *passuum*. Ceterum longitudo hujus muri multo minor est, si metiaris stadiis, quorum octo in milliarium romanum, et sexcenta in gradum geographicum computantur. In tabula Constantinopolis, quam Stolpius fecit an. 1863, metior 8,200 archinas turcicas sive 6,150 metra gallica, quæ 33 fere stadia vel 4 milliaria et paullo amplius efficiunt. Stadia 43, quæ ad extremo urbis apice juxta portam auream posito usque ad neoria *Galatæ* Critobulus computat, satis recte habent, si metiaris usque ad neoria *Constantinopolis*. Hinc usque ad Cynegium juxta Ceras sinum metior stadia 20 vel paullo amplius, pro quibus false 35 stadia (30 stad. cap. 43, 2) habet Critobulus. Itaque totius urbis ambitus fere stadiorum ferme 96 sive 12 milliariorum. Recte utique Gillius in Topogr. Const. p. 23 : *ambitus urbis non attingit 13 milliaria*. Chalcocondylas p. 388, 18 ei tribuit stadia 111. Corrupta sunt quæ apud eundem p. 364, 13 leguntur : διήκει γὰρ (ὁ λιμὴν) ἐντὸς κατὰ μὲν τὴν πόλιν στάδια ὀγδοήκοντα, ἐπὶ δὲ τὴν ἄλλην ἤπειρον τῆς χώρας ἐφ' ἑκατὸν καὶ πεντήκοντα. Anonymus in Descriptione Const. *longitudinem* urbis esse dicit 14,075 *pedum* (i. e. passuum), ubi numerus ad *ambitum* urbis referendus videtur, quem eundem fere auctor statuerit atque Chalcocondylas, siquidem 14,075 passus efficiunt 112 3/5 stadia. Phrantzius p. 238, 5, et Leonardus p. 325 ambitum urbis 18 millium esse dicunt, idque recte fit ex eo mensuræ genere, quo murus mediterraneus non quattuor, sed sex milliariorum fuisse perhibetur, adeo ut stadium tertia parte minus quam vetus stadium Olympicum subesse videri possit.

XXIX. De bombarda maxima mirum quantum scriptores dissentiunt. Critobulus bombardam ceteris quas jam habebat rex majorem et quæ muris Constantinopolitanis disjiciendis sufficeret, ipsius denique obsidionis tempore prope urbem fabricatam esse tradit. Similiter Jaitzam Bosniæ urbem obsidens Mechemetes *bombardas inauditas fundi ibi fecit*, ut Mathias Corvinus ait in epistola ad imp. ap. Caton. tom 14, p. 723. Idem Belgradum oppugnaturus bombardarum maximarum fabricam prope *Krusovaz* Serviæ urbem instituit (v. Zinkeisen 2, p. 81 ibiq. laud.). Denique ad Corinthum bombardas fundi jusserat, teste Chalcocondyla p. 443, 22. Nihilominus fieri potest, ut Critobulus, in temporibus recte distinendis parum accuratus, ad obsidionis tempus retulerit quæ tribus ve-

καὶ λεπτοτάτης τῇ διαθέσει, λίνῳ τε καὶ κανάβῃ καὶ τοιούτοις τισὶν ἄλλοις ξυνδετικοῖς τε καὶ ξυνεκτικοῖς καταχεχερματισμένοις ὅλος διόλου μεμιγμένος καὶ ξυμφυρόμενος, ὡς ἓν σῶμα γίνεσθαι τούτοις ξυνεχές τε καὶ ἀδιάσπαστον. (3) Τύπος δ' ἐκ τούτου κατεσκευάζετο στρογγύλος, αὐλοειδής, ἐπιμήκης, οἷος ἐς ὀμφαλὸν εἶναι· μῆκος τούτῳ σπιθαμαὶ τετταράκοντα· οὗ τὸ μὲν ἔμπροσθεν ἥμισυ, τὸ πρὸς ὑποδοχὴν τοῦ λίθου, σπιθαμῶν δυοκαίδεκα τὸν κύκλον καὶ τὴν περιφέρειαν εἶχε τοῦ πάχους, τὸ δ' ὄπισθεν ἥμισυ τῆς οὐρᾶς, τὸ πρὸς ὑποδοχὴν τῆς ὀνομαζομένης βοτάνης, σπιθαμῶν τεττάρων ἢ καὶ μικρόν τι πρὸς εἶχε τὴν περιφέρειαν τοῦ πάχους, ὡς πρὸς τὴν ἀναλογίαν, οἶμαι, τοῦ ὅλου. (3) Ἕτερος δὲ τύπος ἐκτὸς πρὸς ὑποδοχὴν τούτου κατεσκευάζετο, κοῖλος ὅλος διόλου καὶ οἷον θήκη τις εἶναι, εὐρύτερος δὲ μόνον, ὥστε δέξασθαι τοῦτον ὅλον αὐτὸς καὶ μετ' ἀποστάσεως· ἀπόστασις δ' ἦν ἐν τῷ μεταξὺ τοῖν τύποιν ἀμφοῖν ὅλοιν διόλου ἐπίσης πάντοθεν ὅσον σπιθαμιαία ἢ καὶ μικρόν τι πρός, ἥτις ἔμελλε δέξασθαι τὸν χαλκὸν εἰσχεόμενον ἀπὸ τῆς χωνείας ἐς ἀπαρτισμὸν τοῦ εἴδους τῆς μηχανῆς. (4) Ὁ δὲ τύπος οὗτος, ὁ ἔξω, φημί, κατεσκευάζετο τῷ αὐτῷ πηλῷ· ἦν δὲ ὅλος διόλου διεζωσμένος τε καὶ κατησφαλισμένος σιδήρῳ τε καὶ ξύλοις καὶ γῇ καὶ λίθοις ἔξωθεν ἐπῳκοδομημένος καὶ βοηθούμενος, ἵνα μὴ τὸ πολὺ βάρος ἐντὸς ἐμπεσὸν τοῦ χαλκοῦ διαρρήξῃ τοῦτον καὶ ἄπρακτον ἐργάσηται τὸ εἶδος τῆς μηχανῆς. (5) Ἰπνοὶ δὲ δύο σύνεγγυς τούτων ἀμ-

---

quattuor mensibus ante Adrianopoli facta erant. Nam secundum Ducam p. 247 tormentum maximum, ὅσον πρὸς τὴν ἀλκὴν καὶ τὸ πάχος τοῦ τείχους τῆς πόλεως, Mechemetes jam eo tempore construendum jussit, quo castellum Bosporanum exstruebatur. Perficiendo operi Orbanus Hungarus Adrianopoli tres menses insumsit (Ducas p. 248, 6, ἐν τρισὶν οὖν μησὶ κατεσκευάσθη καὶ ἐχωνεύθη τέρας τι φοβερὸν καὶ ἐξαίσιον). De ratione qua machina Adrianopoli Constantinopolim transportata sit, monent Ducas, Phrantzes, Chalcocondylas et Leonardus (vid. not. ad c. 20.). Deinde in ipsa obsidione ruptam esse hanc bombardam tradit Phrantzes p. 239, 16 : Ἡ δὲ μεγάλη ἐκείνη καὶ ἰσχυρὰ τηλεβόλος διὰ τὸ συνεχῶς σφενδονίζειν καὶ οὐ τοσοῦτον τὸ μέταλλον ὑπάρχειν καθαρὸν διερράγη ἐν τῷ βάλλειν (malim ἐμβάλλειν, ut p. 259, 21) τὸν τεχνίτην τὸ πῦρ (i. e. *eo momento quo ignem ei injecit artifex;* vgo vertitur : *disrupta igne exstinxit magistrum*), καὶ εἰς πολλὰ διεμερίσθη κλάσματα, καὶ ἐκ τούτων πολλοὶ ἀπεκτάνθησαν καὶ ἐπλάγησαν. Καὶ ἀκούσας ὁ ἀμηρᾶς ἐλυπήθη λίαν, καὶ προσέταξεν ἵνα ἀντ' αὐτῆς ποιήσωσιν ἄλλην ἰσχυροτέραν, καὶ ἕως τῆς αὐτῆς ἡμέρας οὐδὲν ἄξιον ἔργον καθ' ἡμῶν κατώρθωσαν. Deinde vero p. 242, 4 parum sibi constans in obsidionis narratione pergit verbis : Ὡς δὲ ὁ ἀμηρᾶς τὴν κεκλασμένην τηλεβόλον ταχέως πάλιν ὑγιῆ καὶ σώαν ἐποίησεν, ἡμέρας τε καὶ νυκτὸς μετὰ βίας τοῖς τείχεσιν ἔτυπτον. Igitur non novam bombardam maximam introducit, sed ruptam illam restauratam esse dicit; quamvis id fieri potuisse vix credideris. His adde quod novam bombardam, quam fabricari Mechemetes jusserat, non esse perfectam disertis verbis testatur Leonardus Chius p. 318, ubi post verba ad cap. 25 § 4 adscripta pergit hunc in modum : *Inde quia major* (bombarda sc.) *confracta regis animum afflictabat, jussit mox aliam longe majoris formæ conflari, quam (ut ajunt, industria Chalilbasciæ, consularis baronis amici) artifex nunquam ad perfectum conduxit.* Ceteri scriptores de rupta Turcorum bombarda maxima vel de nova aliqua in castris confecta nihil tradiderunt. Contra vero earum bombardarum, quibus Byzantini in muris utebantur, maximam primo statim experimento ruptam esse refert Chalcocondylas p. 389, 4 : καὶ ὁ μὲν μείζων τηλεβόλος διερρήγνυτο αὐτίκα, ὅτε πρῶτον ἀφίετο. Ducas p. 273 narrat Turcorum bombardam maximam post singulos ictus pilis e lana confectis tectam atque oleo perfusam esse, eoque artificem impedivisse ne tormentum disrumperetur. De pondere globorum maximorum, quos bombardæ jaculabantur, satis inter se consentiunt scriptores; Barbarus p. 21 et 22 pondus lapidis bombardæ maximæ fuisse librarum 1,200, circumferentiam quartarum tredecim (*volse quarte tredexe*) fuisse dicit. Idem pondus tradit Leonardus p. 318, quanquam id referat ad lapidem bombardæ quam a illa, quam ruptam esse dicit, distinguit. Circumferentiam lapidis et ostii bombardæ fuisse duodecim spithamarum sive palmarum expansarum refert Pusculus 4, 248 : *maxima palmis Expansis circum bis senis volvitur, æquo Saxa jacit modo.* Eandem ostii mensuram habes apud Critobulum 29, 2 et apud Phrantzem p. 239, 1, ubi : πλάτος (deb. περιφέρειαν vel κύκλον) ἔχουσαν σπιθαμὰς δυοκαίδεκα. Paullo aliter de circumferentia lapidis Leonardus : *lapide qui palmis* (sc. *expansis*, ut Pusculus ait) *undecim* (duodecim?) *ex meis ambibat in gyro.* Chalcocondylas p. 385 duas maximas bombardas fuisse dicit, alteram ad Palatium, alteram ad portam Romani; οὗτοι δὲ οἱ δύο μέγιστοι (τηλεβόλοι) λίθον ἕκαστος ἠφίεσαν διτάλαντον καὶ ἐπέκεινα. Juxta magnam bombardam positæ erant duæ minores λίθον ἡμιτάλαντον emittentes. Ictus eo se ordine excipiebant, ut primum ex minoribus duabus duo lapides expellerentur, deinde e majori lapis trium talentorum : μετὰ δὲ τοὺς δύο λίθους ἠφίετο καὶ ὁ μέγας λίθος τρία τάλαντα ἐν σταθμῷ ἔχων (cf Ducas. p. 272, 2). In his non tria tormenta maxima distinguenda sunt, sed illud quod trium talentorum lapidem jaculabatur, alterum esse debet ex duobus illis, quæ in antecc. auctor commemoraverat, ubi parum distincte dixit : λίθον ἕκαστος ἠφίεσαν διτάλαντον καὶ ἐπέκεινα. Dicendum erat alteram διτάλαντον lapidem, alteram τριτάλαντον jecisse; id enim colligitur e Barbaro l. l., qui duas fuisse dicit bombardas maximas, earumque alteram lapidem habuisse 1,200 librarum, alteram librarum 800. Eadem pondera habet Chalcocondylas, modo teneas illud adhiberi marmoris talentum, in quod 400 libræ computabantur (V. Hesych. s. v. τάλαντον). Ceterum ejus ponderis globos marmoreos etiamnum Constantinopoli superesse inter omnes constat. V. Hammer p. 669, Zinkeisen 1, p. 830, Ellissen p. 63, Mordtmann p. 36. — Quæ c. 29 Critobulus exponit de ratione qua bombarda maxima fabricata sit, alius nemo tradit. || — οὐκ ὀλίγων εἰδῶν] vocem εἰδῶν addit margo.

§ 2. Κανάβῃ] Formam καννάβη vel κανάβη (sic cod. Med.) pro κάνναβις habes ap. Suidam s. v. || — ἔμπροσθεν] sic manu sec.; ἐμπρόσθιον m. pr.

§ 3. βοτάνη] Similiter germanice olim dicebatur *Kraut*, i. e. herba. Κόνις vocatur ap. Chalcocondyl. p. 231, 22, ubi etiam de compositione pulveris tormentarii nonnulla afferuntur. || — οἶμαι] Auctor scripserit ὡς πρὸς τὴν ἀναλογίαν εἶναι τ. ὅλου. || — Ὅλον] vox supra lineam scripta est.

§ 4. Βάρος] βάρρος codex h. l. et alibi.

φοτέρωθεν κατεσκευάζοντο εἰς χωνείας, ἰσχυρότατοι μέντοι καὶ βεβαιότατοι, τὰ μὲν ἔνδον ἐξ ὀπτῆς πλίνθου κατειργασμένοι καὶ πηλοῦ καλῶς εἰργασμένου καὶ πιοτάτου, τὰ ἔξωθεν δὲ ὅλοι διόλων λίθοις παμμεγέθεσι καὶ τιτάνῳ καὶ πᾶσιν ἄλλοις ὠχυρωμένοι πρὸς τοῦτο χρησίμοις. (6) Χαλκοῦ δὲ καὶ κασσιτέρου πολύ τι χρῆμα καὶ πολυτάλαντος ὁλκὴ ἐνεβέβλητο χωνείαις, τάλαντά που μάλιστα χίλια καὶ πεντακόσια, ὡς ἐλέγετο· ἐπὶ τούτοις ἀνθράκων τε πολύ τι πλῆθος καὶ κορμῶν ἐπετίθετο ταῖς χωνείαις ἔξωθεν, ὥσπερ ἐπῳκοδομημένα ἄνωθέν τε καὶ κάτωθεν καὶ πανταχόθεν ἐς βάθος τοὺς ἰπνοὺς ξυγκαλύπτοντα, ἄνευ μέντοι γε τῶν στομίων. (7) Φυσητῆρες δὲ περὶ αὐτοὺς ἐπιτεταμένως φυσῶντες καὶ ἀδιακόπως τὴν ἐπικειμένην ὕλην ἐξάπτοντες ἐν τρισὶν ὅλαις ἡμέραις καὶ νυξὶν ἴσαις, ἕως ὁ χαλκὸς ὅλος διόλου τακεὶς καὶ διαλυθεὶς ὑδαρώδης καὶ ῥυτὸς γένηται. Εἶτα τῶν στομίων ἀνοιγέντων, ἐσεχεῖτο ὁ χαλκὸς διὰ τῶν σωλήνων ἐν τοῖς τύποις, ἕως γεμισθῇ τελείως ἅπαν τὸ ἐσδεχόμενον, καὶ καλύψῃ καὶ τὸν ἐντὸς τύπον ὅλον διόλου καὶ ὑπερβλύσῃ τούτου πῆχυν ἕνα κατὰ τὸ ἄνω. Καὶ οὕτως ἤδη ἀπήρτιστο ἡ μηχανή. (8) Μετὰ τοῦτο δέ, ἀποζέσαντος τοῦ χαλκοῦ καὶ ψυχροῦ γεγονότος, ἐκαθαίρετο τῶν ἐντὸς τύπων καὶ τῶν ἐκτός, καὶ ξυομένη καὶ γλυφομένη ξυστῆρσιν, ἐλαμπρύνετο ὅλη διόλου. Καὶ τοιαύτη μὲν ἡ κατασκευὴ καὶ τὸ εἶδος τῆς μηχανῆς· λέξω δὲ καὶ τὴν ἐνέργειαν.

XXX. Ἐνεβέβλητο πρῶτον ἡ καλουμένη βοτάνη, πληροῦσα ἰσχυρῶς τὴν ὄπισθεν ὅλην χωνείαν καὶ τὸν αὐλὸν τῆς μηχανῆς ἕως τοῦ στομίου τοῦ δευτέρου αὐλοῦ τοῦ δεξομένου τὸν λίθον. (2) Ἔπειτα τῷ στόματι τούτῳ πάσσαλος ἐνεβέβλητο μεγίστη ξύλου τοῦ ἰσχυροτάτου, ἣ σιδηροῖς μοχλοῖς τυπτομένη βιαίως ὠθεῖτο, στενοχωρουμένη ἐπὶ τὰ ἔνδον, ἀποκλείουσα καὶ ξυνέχουσα τὴν βοτάνην οὕτω τοι ἰσχυρῶς, ὡς μηδ' ἂν εἴ τι καὶ γένοιτο, δυνηθῆναι ταύτην ἄλλῳ τῳ τρόπῳ ἐκεῖθεν ἐξαιρεθῆναι, μὴ τῆς βοτάνης ἀναφθείσης τῇ βίᾳ. Εἶτα τὸν λίθον ἐπεφόρουν ὠθοῦντες ἐντός, ἕως ἐν χρῷ γένηται τῇ πασσάλῳ, καὶ ξυνέσφιγγον τοῦτον κύκλωθεν. (3) Μετὰ δὲ τοῦτο τρέψαντες τὴν μηχανὴν πρὸς ὃ παίειν ἔμελλε, καὶ σταθμήσαντες αὐτὴν μέτροις τισὶ τεχνικοῖς καὶ ἀναλογίαις πρὸς τὸν σκοπόν, ἐπεφόρουν ἔπειτα κεραίας μεγάλας ξύλων αὐτῇ κάτωθεν ὑποστρωννύοντες καὶ καλῶς ἐφαρμόζοντες, καὶ λίθους ἐπετίθουν παμμεγέθεις, βαρύνοντες αὐτὴν καὶ κατασφαλίζοντες ἄνωθέν τε καὶ κάτωθεν καὶ ὄπισθεν καὶ πανταχόθεν, ἵνα μὴ τῇ βίᾳ τῆς ῥύμης καὶ τῷ σφοδρῷ τῆς φορᾶς τῆς οἰκείας ἕδρας παρατραπεῖσα, πόρρω ποι τοῦ σκοποῦ βάλῃ. (4) Εἶτα πῦρ ἐπέβαλον αὐτῇ, διὰ τῆς ὄπισθεν βραχείας τρυμαλιᾶς ἀνάψαντες τὴν βοτάνην· καὶ ταύτης ἐξαφθείσης θᾶττον ἢ λόγος, πρῶτα μὲν ἐγίνετο μυκηθμὸς φοβερὸς καὶ κλόνος τῆς ὑποκειμένης γῆς καὶ τῆς πόρρω καὶ βρόμος οἷος οὐδείς, ἔπειτα μετὰ βροντῆς ἐξαισίας καὶ δούπου φρικώδους καὶ πυρὸς τὰ πέριξ πάντα ξυμφλέγοντος καὶ μελαίνοντος ἔνδοθεν ὠθουμένη ἡ πάσσαλος πνεύματι ξηρῷ καὶ θερμῷ βιαίως ἐκίνει τὸν λίθον ἐξερχομένη. (5) ὁ δὲ φερόμενος μετὰ βίας σφοδροτάτης καὶ ῥύμης προσέπιπτε τῷ τείχει, καὶ εὐθὺς κατέσειέ τε αὐτὸ καὶ κατέβαλε καὶ ἐς πολλὰ παρερρήγνυ καὶ διελίκμα, πανταχοῦ τε διασκεδάζων αὐτὰ καὶ φόνον τῶν προστυχόντων ποιῶν· καὶ ποτὲ μὲν κατερρίπτει μέρος ὅλον, ποτὲ δὲ ἥμισυ, ποτὲ δὲ πλέον ἢ ἔλαττον πύργου ἢ μεταπυργίου ἢ καὶ ἐπάλξεως, καὶ οὐδὲν ἦν οὕτως ἰσχυρὸν ἢ ἀντίτυπον ἢ πάχος ἐρυμνότατον τείχους, ὡς ἀπαντῆσαι γοῦν δυνηθῆναι ἢ ἀντισχεῖν ὅλως τῇ τοσαύτῃ τοῦ λίθου βίᾳ τε καὶ φορᾷ. (6) Οὕτως ἄπιστόν τι χρῆμα καὶ παράλογον τὸ εἶδος τοῦτο τῆς μηχανῆς, ὅπερ οἱ παλαιοὶ μὲν βασιλεῖς τε καὶ στρατηγοὶ οὔτε εἶχον οὔτε ἐγίνωσκον· εἰ γὰρ εἶχον, οὐδὲν ἂν εἶχον αὐτοῖς ἀντιβαῖνον ἔτι οὐδὲ προσιστάμενον ὅλως ἐν ταῖς πολιορκίαις, οὐδὲ πολλῶν ἂν ἐδέοντο ἐς τὸ κατασεῖσαι τείχη τε καὶ καταβαλεῖν καὶ τὰ ἐρυμνότατα, οὐδὲ πράγματ' ἂν εἶχον ἐπιτειχίζοντες καὶ ταφρεύοντες καὶ χώματα αἴροντες καὶ ὑπορύσσοντες ἔστιν οὗ καὶ ἄλλα ἄττα ποιοῦντες ὥστε παραστήσασθαι πόλεις καὶ χειρώσασθαι φρούρια, ἀλλὰ πάντ' ἂν εἶχεν αὐτοῖς θᾶττον ἢ λόγος καὶ προσεχώρει κατασειόμενά τε καὶ καταρριπτούμενα ταῖς μηχαναῖς· ἀλλ' οὐκ ἦν. (7) Εὕρεμα δὲ τοῦτο νέον ἐστὶ Γερμανῶν Κελτῶν, ἐτῶν που μάλιστα πεντήκοντα καὶ ἑκατὸν ἢ καὶ ὀλίγῳ πλειόνων, σοφώτατον πάνυ καὶ περινενοημένον· καὶ μάλιστα δὴ ἡ τῆς βοτάνης ξυμβολή τε καὶ σκευασία ἐξ εἰδῶν ξυγκειμένη θερμοτάτων καὶ ξηροτάτων, νίτρου

---

§ 6. Ἀνθράκων] χαρβούνων margo. Cf. 30 § 7. || — ἔξωθεν] supra versum additur.

XXX. § 1. ἐνεβέβλητο] ἐβέβλητο cod. h. l. et § 2. || — § 2. Πάσσαλος] πάσαλος codex h. l. et similiter § 3 et 4. ἡ πάσσαλος pro ὁ πασσ. recentioris ævi usu dici videtur. || — συνέσφιγγον] συνέσφιγκον man. 1; em. man. 2.

§ 3. Τεχνικοῖς] addit margo. || — κάτωθεν ὑποστρωννύοντες καὶ add. margo.

§ 4. Μυκηθμὸς] μηκιθμὸς cod.

§ 6. Ὅλως] supra versum additum.

§ 7. ἢ Κελτῶν] καὶ Κ. cod. ||—Ἐτῶν ρν'] Critobulus famam secutus esse videtur, qua Bertholdus Schwarz Friburgensis monachus ineunte seculo XIV pulverem tormentarium invenisse perhibetur. Vel seculo undecimo notus erat Hispanis, qui ipsi ab Arabibus usum ejus didicisse feruntur. Cum Critobulo cf. Chalcocondylas p. 231 : δοκεῖ μὲν οὖν ὁ τηλεβόλος οὐ πάνυ παλαιὸς εἶναι, ὥστε συνιέναι ἡμᾶς ἐπὶ νοῦν ἐληλυθέναι τοῖς παλαιοῖς τὸ τοιοῦτον· ὅθεν μέντοι ἀρχὴν ἐγένετο, καὶ τίνες ἀνθρώπων ἐς τὴν τοῦ τηλεβόλου ἀφίκοντο πεῖραν, οὐκ ἔχω διασημῆναι ἀσφαλῶς· οἴονται μέντοι ἀπὸ Γερμανῶν γενέσθαι τε τούτους, καὶ τούτοις ἐπὶ νοῦν ἀφῖχθαι ταύτην τὴν μηχανήν. || — σκευασία] κατασκευή margo. || — τοῦ λίθου] add. mgo. || — ἑλέπολιν] Sic bombardæ sæpius vocantur apud Phrantzem sec. editt. nostras, sed codex

καὶ θείου καὶ καρβούνου καὶ βοτανῶν ξηρὸν καὶ θερμὸν πνεῦμα ἀποτελούντων, ὅπερ ἐναποκλειόμενον στεγανῷ καὶ ἰσχυρῷ καὶ ξυμπεπιλημένῳ σώματι τοῦ χαλκοῦ, καὶ μηδαμῇ μηδαμοῦ διέξοδον ἔχον ἄλλοθί πη ἢ ταύτῃ, τῷ ἔνδοθεν ὠθισμῷ καὶ τῇ βίᾳ κινούμενον, τὴν τοσαύτην καὶ τηλικαύτην βίαν τε καὶ φορὰν τοῦ λίθου, ἀλλὰ δὴ καὶ ῥῆξιν τοῦ χαλκοῦ πολλάκις ἐργάζεται. (8) Ἀλλ' οὐδὲ ὄνομα παλαιὸν εὑρίσκεται ταύτῃ τῇ μηχανῇ, εἰ μή πού τις αὐτὴν ἑλέπολιν εἴποι ἢ ἀφετήριον, κοινῷ δ' ὀνόματι ταύτην καλοῦσι πάντες οἱ νῦν ὄντες σκευήν. Καὶ τὰ μὲν τῆς μηχανῆς τοιαῦτα ὡς ἐνὸν ἡμῖν καὶ ἐκ τῶν δυνατῶν ἀπαγγείλασι.

XXXI. Μεχέμετις δὲ ὁ βασιλεὺς, ἐπειδὴ οἱ τὰ τῶν μηχανῶν ἀπήρτιστο καλῶς, προσάγειν ἤδη ταύτας τοῖς τείχεσι κελεύει τοὺς μηχανοποιοὺς, καὶ κατὰ μὲν τὸ μεσοτείχιον, οὗ τὸ στρατόπεδον εἶχεν, ἵνα δὴ καὶ ἡ σκηνὴ ἦν αὐτῷ, τρεῖς ἀπολεξαμένους τὰς μεγίστας τε καὶ ἰσχυροτάτας ἐπιθεῖναι παίειν τὸ ταύτῃ τεῖχος καὶ κατασείειν, τὰς δὲ ἄλλας ἄλλῃ καὶ ἄλλῃ τοῦ τείχους προσάγειν ἐκέλευσεν ἐπιλεξαμένους τὰ ἐπιμαχώτατα καὶ ἀσθενέστατα τοῦ τείχους ἔγνωστο γὰρ αὐτῷ πολλοῖς μέρεσι καταβάλλειν τὸ τεῖχος, ὡς ἂν πολλαχῇ προσβαλόντι τῷ πολέμῳ εὐχείρωτος αὐτῷ καὶ ῥᾳδία ἡ τούτου αἵρεσις γένηται· ὥσπερ δὴ καὶ γέγονε. (2) Καὶ αἱ μὲν μηχαναὶ προσαχθεῖσαι τῷ τείχει κατέσειόν τε αὐτὸ καὶ κατερρίπτουν, δρῶσαι τὸ ἑαυτῶν. Βασιλεὺς δὲ τὴν κατὰ τὰς μηχανὰς τάφρον ἐχώννυε, λίθους ἐπιφορῶν καὶ ξύλα καὶ χοῦν καὶ πᾶσαν ἄλλην ὕλην ξυλλέγων, ὡς ἂν, κατασεισθέντος τοῦ τείχους καὶ πεπτωκότος ἤδη, ῥᾳδία τοῖς ὁπλίταις ἡ διάβασις εἴη καὶ ἡ ἐς αὐτὸ πάροδός τε καὶ προσβολή. (3) Ἔτι δὲ τοὺς γεωρύχους ὑπορύττειν τὸ τεῖχος ἐκέλευε, καὶ ὑπονόμους ὑπογείους πρὸς τὴν πόλιν ποιεῖν, ὡς ἂν διὰ τούτων νυκτὸς λάθωσιν ἐσελθόντες ὁπλῖται. Καὶ ἠνύετο τὸ ἔργον· ἀλλὰ τοῦτο μὲν ὕστερον περιττὸν ἔδοξε καὶ

Parisinus ubique pro ἑλέπολις habet τηλεβόλος, quo vocabulo etiam Chalcocondylas uti solet. || — ἢ ἀφετήριον add. margo. || — σκευήν] Nomen in codice minoribus quam cetera litteris scriptum est, et serius illatum esse videtur. Ceterum σκευή voce hoc sensu sæpius utitur Ducas p. 273, 20, 275, 16 et passim; σκευαὶ πετροβόλοι p. 266, 5; τὸ σκεῦος p. 273, 4. Aliis locis χωνείαν dicit, ut p. 247, 18. 248, 22. 257, 20. 271, 23; τὰς πετροβολιμαίους χώνας p. 247, 6; βουμπάρδαι ap. Cananum p. 462, 8.

XXXI. § 1. Ἐπιθεῖναι] θεῖναι, supra scripto ἐπι, codex. De ratione qua bombardas rex disposuerit, ceteris accuratiora habet Barbarus p. 21 : *A di undexe pur de April, el signor Turco si fexe impiantar le sue bombarde perme' le mure da tera, ai più deboli luoghi de la tera, per aver piutosto sua intention. Le dite bombarde si fo impiantade in quatro luoghi; prima ne messe tre bombarde per mezo del palazzo del serenissimo imperador, e tre altre bombarde messele per mezo la porta del Pigi* (Πηγῆς), *e do altre bombarde messele a la porta del Cresu* (Καρσοῦ), *e altre quatro bombarde messele alla porta de san Romano, dove che sun la più debel porta de tota la tera. Una de queste quatro bombarde che sun a la porta de san Romano, la piera de la bombarda se pexa livre mile et duxento a la grossa, volze la piera quarte tredexe... La segonda bombarda, la piera se pexava livre otozento, volze la piera quarte nove; queste do bombarde sono le più grosse che abia questo can Turco; le altre bombarde si son di più raxon, da livre cinque cento fina da livre duxento, e de minor ancora.* Cf. idem p. 27 : *la bombarda grossa che volse palma quindexe.* Pusculus 4, 246 :

Bombardas Romana ruant quæ mœnia primum
tres posuit magnas, inter quas maxima...
... Tresque inter limina bina
portarum de fonte auroque tenentia nomen
disponit, totidemque tuos, Caligaria, muros
quæ frangant. Variisque locis tormenta locantur.

Tres bombardæ Caligariæ portæ, quæ a Hebdomo palatio haud longe distabat, non diversæ sunt ab iis quas Barbarus prope Palatium fuisse dicit. Easdem tres atque alias tres ad portam Romani collocatas (has etiam ap Ducam p. 272, 1 habes) Chalcocondylas p. 383 memorat, addens : ἵδρυντο μὲν καὶ ἄλλῃ πολλαχῇ τοῦ στρατοπέδου τηλεβόλοι. Numerum horum locorum indicat Phrantzes p. 225, 5 : ἐν τόποις ιδ' τὰ τείχη τῆς πόλεως σφοδρῶς ἔτυπτον, nisi forte pro ιδ' auctor scripserit δ', adeo ut nonnisi quattuor illa loca, quæ præ ceteris bombardæ impetebant, significaverit. Leonardus p. 320 bombardam ingentem, quæ primum ad Caligariam portam posita esset, deinde ad portam Romani transportatam esse narrat. Hinc fortasse fit, ut Barbarus ad Romani portam pro tribus bombardis quattuor, inter easque duas maximas, fuisse dicat. Præterea moneo nullam apud Critobulum mentionem fieri magnæ illius turris ligneæ (τῆς μεγίστης ἑλεπόλεως, ut Phrantzes dicit), quam Maii die decimo nono Turci struxerunt, obsessi vero erumpentes igne deleverunt. Multis de hac machina bellica exponunt Pusculus 4, 695-743, Phrantzes p. 244-246, Barbarus p. 42. Cf. Chalcocond. p. 386, 20. Posita erat, sec. Pusculum 4, 154 et Leonardum p. 326 (v. not. ad c. 23) media inter Auream portam et portam Fontis; sec. Barbarum *era questa bastion per mezo un luogo chiamado la Cresca*, i. e. ad portam Chryseam sive Auream, ut patet ex collato altero Barbari loco, quem ad cap. 23 enotavi. Haud recte Mordtmannus l. l. p. 71 portam Charsiæ (quam *Cresu* Barbarus vocat) indicari censuit. Phrantzes quoque p. 253, 9 ἐν τῷ μέρει τῆς Χρυσῆς πύλης fuisse dicit ἑλέπολιν μετὰ βουβάλων καὶ βοῶν δορῶν ἐνδεδυμένην. Idem vero aliam ejusmodi ἑλέπολιν maximam etiam ad portam Romani fuisse dicit p. 245 sq.

§ 3. Τοὺς γεωρύχους etc.] Cuniculorum fossores Mechemetes *ex Novobrodo* (i. e. ex Novoberda Serviæ urbe metallis celeberrima) *conduxerat*, teste Leonardo p. 319. Erant viri *hac arte probati Montibus et soliti mediis atque æra metallis Eruere, inque imæ descendere viscera terræ*, ut ait Pusculus, qui multis de his exponit 4, 744-810. Cf. Phrantzes p. 244. Chalcocond. p. 386. Cuniculi illi fossi sunt ad Caligariam portam, ubi conatus Turcorum irritos reddidit industria Joannis Grandi Germani, qui in copiis Justiniani centurio erat (Leonard. l. l.). Primus

ματαία δαπάνη, τῶν μηχανῶν τὸ πᾶν κατεργασαμένων.

XXXII. Ἐν ὅσῳ δὲ ταῦτα ἐγίνετο, ὁ βασιλεὺς ἀναλαβών τινας τῶν τάξεων καὶ τὴν βασιλικὴν ἴλην πᾶσαν, ᾔει ἐπὶ τὸ τοῦ Θεραπείου φρούριον, ἐρυμνότατον πάνυ, καὶ ἐπιστήσας μηχανὰς κατέσεισέ τε καὶ κατέρριψε τούτου τὸ πλέον· καὶ τῶν ἐντὸς πολλοὶ ἀπέθανον τοῖς ἀπὸ τῶν μηχανῶν λίθοις, οἱ δὲ περιλειφθέντες τῶν φρουρῶν οὐ δυνάμενοι ἀντέχειν ἔτι, προσεχώρησαν ὁμολογίᾳ χρήσασθαι αὐτοῖς ὅ τι βούλοιτο· ὁ δὲ ἀνεσκολόπισε τούτους τεσσαράκοντα ὄντας. (2) Κἀκεῖθεν ἐφ' ἕτερον ᾔει φρούριον Στουδίου καλούμενον, καὶ αὐτὸ κατασείσας ταῖς μηχαναῖς καὶ καταβαλὼν αὐθημερὸν παρεστήσατο, καὶ τοὺς ἄνδρας ἀνεσκολόπισεν, ἀγαγὼν παρὰ τὸ τεῖχος τῆς πόλεως, ἵνα δὴ καταφανεῖς εἶεν.

XXXIII. Κατὰ δὲ τὰς αὐτὰς ἡμέρας καὶ Παλτόγλης ὁ τοῦ στόλου ἡγεμὼν τὰς μὲν πλείους τῶν νεῶν αὐτοῦ κατέλιπεν ἐφορμεῖν τῷ στόματι τοῦ λιμένος καὶ τῇ ἁλύσει, τοῦ μή τι ἐσπλέειν ἢ ἐκπλέειν, αὐτὸς δὲ ἀναλαβὼν τὰς λοιπάς, κελεύσαντος βασιλέως, ἐπιπλεῖ τῇ Πριγκίπῳ νήσῳ· ἦν δ' ἐκεῖ φρούριον ἀσφαλέστατον, φυλακὴν ἔχον ἐντὸς ἄνδρας καταφράκτους τριάκοντα, ἄνευ μέντοιγε τῶν οἰκητόρων. (2) Περισταυρώσας οὖν αὐτὸ καὶ μηχανὰς προσαγαγὼν τῷ τείχει κατέσεισε μέν τι μέρος τούτου καὶ κατέρριψε, προσβαλὼν δὲ καὶ πειράσας τρόπῳ παντὶ οὐχ ἠδυνήθη ὅμως ἑλεῖν· τέλος ἔδοξεν αὐτῷ πῦρ ἐπαφεῖναι τῷ φρουρίῳ καὶ πειρᾶσαι εἰ δύναιτο, πνεύματος ἐπιφόρου ἐπιγενομένου, καταφλέξαι αὐτό. (3) Κελεύει τοίνυν φακέλους ὕλης παντοδαπῆς καλάμων καὶ κληματίδων καὶ χόρτων καὶ ἄλλων εὐπρήστων ὅτι πλείστους τὴν ταχίστην νήσαντας ἐπιφορεῖν καὶ παραβάλλειν τῷ τείχει. Καὶ τούτου τάχιστα γεγονότος διὰ πολυχειρίαν καὶ τῆς ὕλης ἐς ὕψος ἀρθείσης, πῦρ ἐπιβάλλουσι ταύτῃ ξὺν θείῳ καὶ πίσσῃ ἀνάψαντες. Ἡ δ' εὐθὺς δραξαμένη τε τοῦ πυρὸς, καὶ πνεύματος ἐπιφόρου τυχοῦσα τοσαύτην ἐποίησε φλόγα καὶ τοσοῦτον ἤρθη μετέωρος, ὡς καὶ τῶν ἐπάλξεων αὐτῶν ὑπεραναβῆναι καὶ ἐς τὰ ἔσω τοῦ φρουρίου χεθῆναι, καὶ καταφλέξαι πολλοὺς τῶν ἐν αὐτῷ, μᾶλλον δὲ ὀλίγου ἐδέησε πάντας διαφθεῖραι τοὺς ἔνδον. (4) Ὅμως γε μὴν οἱ περιλειφθέντες, μόλις καὶ μετὰ κινδύνου πολλοῦ διαδράντες τὸ πῦρ, προσεχώρησαν αὐτῷ καὶ ἄνευ ὁμολογίας· οὓς καὶ λαβὼν αἰχμαλώτους πάντας, τοὺς μὲν οἰκήτορας ἀπέδοτο, τοὺς δὲ περιλειφθέντας τῶν φρουρῶν ἀπέκτεινε. Καὶ ταῦτα μὲν ταύτῃ.

XXXIV. Ῥωμαῖοι δὲ καὶ Ἰουστῖνος, τὸ τεῖχος ὁρῶντες οὕτως ἰσχυρῶς ὑπὸ τῶν μηχανῶν κατασειόμενον καὶ ῥιπτούμενον, τό τε ἐντὸς τό τε ἐκτὸς, πρῶτον μὲν δοκοὺς μεγάλας ἐξάπτοντες ἄνωθεν τοῦ τείχους, καὶ βρόχους ἐξαρτῶντες καὶ σάκτας μεστὰς ἐρίων καὶ ἄλλα τοιαῦτα περιβάλλοντες ἀνέκλων ὡς δυνατὸν τὴν φορὰν τῶν λίθων καὶ ἐξεκαύλιζον. (2) Ὡς δὲ ταῦτα βραχὺ καὶ οὐδὲν ὅ τι καὶ λόγου ἄξιον ἤνυεν, ἀλλὰ πάντα διελίκμα καὶ διεσκέδαζεν ἡ μηχανή, καὶ τὸ τεῖχος κατέρριπτεν (ἤδη γὰρ πολύ τι κατέπεσε τοῦ μικροῦ τείχους, ἀλλὰ δὲ καὶ τοῦ μεγάλου δύο πύργοι καὶ μεταπύργιον), ἄλλο τι ἐπινοοῦσι· κεραίας μεγάλας ἐπαγαγόντες ἀπεσταύρουν κατὰ τὰ παρερρηγμένα τοῦ τείχους, λέγω δὲ τοῦ ἐκτὸς, ξυνδέοντες αὐτὰς ἰσχυρῶς· καὶ ὕλην ταύταις ἐπεφόρουν παντοίαν λίθων καὶ ξύλων, φακέλους τε χόρτων παντοδαπῶν καὶ κληματίδων καὶ καλάμων καὶ ἄλλων πολλῶν μετὰ πηλοῦ μεμιγμένων φορμηδὸν ξυντιθέντες, καὶ τὸ σταύρωμα ἐς ὕψος αἴροντες. (3) Προκαλύμματα δ' ἦσαν τῇ τε ὕλῃ καὶ τῷ σταυρώματι δέρρεις καὶ διφθέραι, τοῦ μὴ πυρφόροις οἰστοῖς βλάπτεσθαι. Ἔτι δὲ χῶμα μέγα ἔχουν ἀπὸ τῶν ἐντὸς ἀντίπαλον τούτοις προσεχῶς βοήθειάν τε τῷ σταυρώματι καὶ ἀντὶ τείχους εἶναι, ἅμα δὲ, ἵνα καὶ ὁ λίθος μετὰ βίας φερόμενος καταχωννύηται μαλθακῇ καὶ εὐείκτῳ προσπίπτων τῇ γῇ καὶ μὴ ἀντιτύποις καὶ σκληροῖς προσπελάζων ῥῆξιν ἐργάζηται. (4) Ἐπάνω δὲ τοῦ τε

---

tuniculus ab oppidanis detectus est Maii mensis die XVI, deinde alii diebus XX. XXIV. XXV, ut pluribus narra Barbarus p. 40, 44.

XXXII. Quæ cap. 32 et 33 de Mechemetis et Paltoglis excursionibus narrantur, aliunde non novimus. Sec. Barbarum p. 22 classis Turcorum ad Diploncionium inde ab Aprilis die duodecimo in ancoris stans quietem egit, nisi forte navis quædam inde ad castellum novum vel in oram Asiaticam sese contulit. Quo tempore gesta sint quæ a Critobulo c. 32 et 33 narrantur, certius quidem dici nequit, quum in sqq. ordinem rerum chronologicum neglectum videamus; probabile tamen est a Paltogle res gestas esse ante pugnam navalem, quam Turci Aprilis die vicesimo cum Genuensibus commiserunt (v. Critob. cap. 42), Mechemetis vero expeditionem susceptam esse ante Aprilis diem duodevicesimum (v. cap. 35). || — Θεραπείου] Θεραπεία supra scripto ου, adeo ut nomen loci fuerit τὸ Θεραπεῖον; hodie Θεραπεία vocatur; Θεραπεῖαι apud Socratem Hist. Eccl. 7, 25. Olim Φαρμακεία et Φαρμακείας κόλπος. Vid. Dionys. Byz. in Geogr. Min. t. 2, p. 50.

§ 2. Φρούριον Στουδίου] Castellum Studii ubinam fuerit nescio. De monasterio Studii, quod Constantinopoli ad portam Auream erat, v. Gillius Topogr. Const. lib. 4, c. 9. Ducangius Const. christ. lib. 4 p. 103. || — καὶ καταβαλὼν] additum manu sec.

XXXIII. § 2. Περισταυρώσας] sic margo (et Thuc. 2, 75, 2), πολιορκήσας text. || — ἐπιφόρου] additum in margine. Ceterum conferatur Thucydidis (2, 75-77) de Platæarum obsidione narratio, ex qua nonnulla verbotenus in sua transtulit Critobulus.

XXXIV. § 1. Ἰουστῖνος] Deb. Ἰουστινιανός. || — § 2. μικροῦ] i. e. τοῦ ἐκτός. || — ταυταις] add. man 2. || — χόρτων παντοδαπῶν] sic margo, φυτῶν textus. || — μεμιγμένων] sic man. 2, μεμιγμένους man. 1. || — § 3 τῇ τε ὕλῃ] τε manu 2 additum. || — χῶμα] ὦμα (sic) cod. || — φερόμενος] sic mgo, ἐρχόμενος text. || — καταχωννύηται] καταχώννυται cod. || — De re cf. Pusculus 4, 296 :

σταυρώματος καὶ τοῦ χώματος ἀμφορέας μεγάλους ξυλίνους πλήρεις γῆς στιχηδὸν ἐπετίθουν, ἀντὶ ἐπάλξεων εἶναι τοῖς προμαχομένοις καὶ προβολήν, ὥστε μὴ βάλλεσθαι τοῖς οἰστοῖς.

XXXV. Μεχέμετι δὲ τῷ βασιλεῖ τῶν φρουρίων ἐπανελθόντι ἔδοξε μετ' οὐ πολλὰς ἡμέρας ἀποπειράσασθαι τῆς πόλεως κατὰ τὰ παρερρηγμένα τοῦ τείχους, καὶ ἀναλαβόντι τούς τε ὁπλίτας καὶ τοξότας καὶ ἀκοντιστὰς καὶ πᾶσαν τὴν περὶ αὐτὸν ἴλην τῶν πεζαιτέρων προσβάλλειν τῷ τείχει ἰσχυρῶς· ἤδη γὰρ καὶ ἡ τάφρος αὐτῷ πλήρης ἦν. (2) Καὶ οἱ πεζαίτεροι εὐθὺς ξὺν βοῇ καὶ ἀλαλαγμῷ διαβάντες τὴν τάφρον προσέμιξαν τῷ τείχει. Καὶ πρῶτα μὲν πῦρ ἐπιβάλλειν ἐπεχείρουν τῇ ὕλῃ, ἵνα τό τε σταύρωμα ἐμπρήσωσι, καὶ ἐς τὰ ἄλλα ξύγχυσιν ἐργάσωνται καὶ κατάπληξιν τῷ πολέμῳ· ὡς δ' οὐ προὐχώρει τοῦτο αὐτοῖς κατὰ νοῦν, τῶν ἄνωθεν τοῦ σταυρώματος προτεταγμένων μαχομένων τε καλῶς καὶ σβεννύντων τὸ πῦρ, ἐπ' ἄλλο τι χωροῦσι. (3) Τοῖς ἄκροις τῶν δορατίων ἀγκύρας ἐμπήξαντες, ἄνωθεν κατέσπων τοὺς ἀμφορέας, ἀπογυμνοῦντες τοὺς προμαχομένους τῆς προβολῆς· οἵδε γὰρ ἀντὶ τείχους τε καὶ ἐπάλξεων ἦσαν αὐτοῖς· καὶ οἱ τοξόται καὶ σφενδονῆται καὶ ἀκοντισταὶ ῥᾳδίως ἔβαλον ἐπὶ τὰ γυμνά, ἄλλοι δὲ κλίμακας φέροντες προσῆγον τῷ σταυρώματι καὶ ἐπιβαίνειν ἐπειρῶντο τούτου· καὶ αἱ μηχαναὶ δὲ λίθους συχνοὺς ἀφιεῖσαι κατὰ τῶν προμαχομένων, οὐ μικρῶς ἔβλαπτον. Καὶ οἱ μὲν οὕτως.

XXXVI. Ἰουστῖνος δὲ καὶ οἱ ξὺν αὐτῷ (οὗτοι γὰρ ἐτετάχατο κατὰ τὰ παρερρηγμένα τοῦ τείχους), ἀλλὰ δὲ καὶ Ῥωμαίων πολλοὶ ξὺν αὐτοῖς, κατάφρακτοι ὄντες, οὐδεμίαν ἐδέχοντο βλάβην παρά τε τῶν βελῶν καὶ τῶν ἄλλων, ἀλλ' εὐρώστως ἠγωνίζοντο μαχόμενοί τε γενναίως καὶ ἀντιμηχανώμενοι πρὸς τὰ παρ' αὐτῶν καὶ ἄπρακτα δεικνύντες. (2) Τέλος ὑπερισχύσαντες οἵ τε Ῥωμαῖοι καὶ Ἰουστῖνος ἀπεκρούσαντό τε τούτους οὐ χαλεπῶς καὶ τοῦ τείχους ἐξέωσαν, πολλοὺς αὐτῶν τραυματίσαντες· οὐκ ὀλίγοι δὲ καὶ ἀπέθανον. Καὶ ἄλλαι δὲ προσβολαὶ καθ' ἡμέραν ἐγίνοντο ἄλλῃ καὶ ἄλλῃ τοῦ τείχους, καὶ μάλιστα κατὰ τὰ παρερρηγμένα, ἐν αἷς οὐδὲν ἔλαττον οἱ τῆς πόλεως εἶχον, ἀλλ' ἰσχυρῶς τε ἐμάχοντο καὶ ἀντεῖχον γενναίως.

XXXVII. Παλτόγλης δὲ τὸ φρούριον ἐξελὼν, αὖθις ἐπιπλεῖ τῷ λιμένι, οὗπερ αἱ ἄλλαι τριήρεις ἐφώρ-

---

Illuc sarmenta jubentur
afferri, terram effodiunt, tumulumque sub auras
aggere constructo educunt, plaustrisque vehuntur
longa trabes, tabulæ, limus; quocunque recessu
urbis materiam convectant.

Leonardus p. 319: *Quanto hostis mole ingentis lapidis muros conterebat, tanto hic* (sc. Joannes Longus Justinianus) *animosius sarmentis, humo, vasis vinariis intercompositis reparabat.* Aggerem illum sive vallum Justinianus construxit, postquam die XXI Aprilis turris portæ Romani et muri pars proxima corruerant, ut ex Barbaro p. 26 liquet, quamquam is præ suo in Genuenses odio Justiniani mentionem in hac re facere omisit, Venetorum suorum meminisse satis habens. *Questi tal Venetiani*, inquit, *si se messe a far boni et forti repari, dove che el iera de bexogno a le mure rote, i qual repari fo fati de bote piene de sassi e de tera, e da driedo le bote i fo fatto uno fosso assai raxonevole grande, ed oltra del fosso fo fato uno arzerelo driedo el fosso de la tera che fo cavado el fosso cun bruscadure de vide e d'altre fassine de frasche, incorporado cun acqua per farlo ben duro, in muodo che el iera cussì forte come el fosse stato de muro.*

XXXV. Secundum Critobulum (36, 2) προσβολαὶ καθ' ἡμέραν ἐγίνοντο ἄλλῃ καὶ ἄλλῃ τοῦ τείχους; sed harum pleræque nonnisi leviores fuerint velitationes. Ter tantum Turci omni nisu impetum facientes per lacunas muri in urbem penetrare incassum tentarunt, primum Aprilis die duodevicesimo, deinde Maii die septimo, denique mensis ejusdem die duodecimo, ut colligitur ex Diario Nicolai Barbari. Critobuli narratio ad primum assultum referenda videtur. Series rerum postulat ut ex mente Critobuli prœlium commissum sit postquam vallum Justinianus struxerat. Hoc structum esse statim post ruinam turris S. Romani tradit Barbarus. Phrantzes vero p. 246 illico post ejus turris demolitionem dicit pugnam exarsisse φρικαλέαν, quæ δι' ὅλης τῆς ἡμέρας ἐκράτησε: repulso tandem hoste, Justinianum noctu turrem collapsam restaurasse. Post hæc Phrantzes narrat prœlium navale (v. Critob. c. 39) quod commissum est Aprilis die vicesimo, ut Barbarus tradit, haud dissentiente Pusculo, qui post elapsos decem obsidionis dies mari confligatum esse dicit. Itaque antecedentem pugnam terrestrem, de qua Phrantzes narrat, ad Aprilis diem duodevicesimum, quo pugnatum esse Barbarus testatur, commode referre licet. At idem Barbarus vicesimo primo demum Aprilis die turrem Romani dejectam vallumque structum esse refert, eoque die Mechemetem cum decem millibus equitum ad Diploncionium se contulisse, reliquos vero Turcos ab impetu abstinuisse affirmat. *Se in questo zorno*, inquit p. 26, *avesse voiudo el Turco aprexentarsi a le mure solamente con persone diexe milia, senza dubio niuno el feva l'intrada el signor dentro de la tera e avariala prexa.* Cum his igitur Phrantzæ narratio conciliari nequit. Leonardus quoque post memoratam turris S. Romani ruinam de prœlio tunc commisso ne verbo quidem monuit, sed satis habet dixisse: *nisi concite introrsum, ut in Caligariæ demolitione, reparatio facta fuisset, haud dubie impetu urbem intrassent.* Fortassis igitur Aprilis die XVIII pugnatum est ad Caligariam portam post turris quæ ibi erat ruinam, eamque pugnam ad portam Romanam perperam transtulit Phrantzes, qui anno demum 1473 in Corcyra insula amicorum hortatu historiam suam conscripsit. Simili confusione etiam Critobuli narratio laborare videtur. || — ἀναλαβόντι] ἀναλαβων codex. || — § 4. ἀγκύρας] ἀγγύρας codex. Cf. Leonardus p, 327: *uncinis vasa, quæ in propugnaculis posuerant, demolito muro, detrahebant.* Phrantzes p. 260, 14: οἱ Τοῦρκοι εὐκαιρίαν εὑρίσκοντες μετὰ ὀνύχων σιδηρῶν ἤτοι ἀγκίστρων ἔν τισι τόποις τὰς μεστὰς χώματος σπυρίδας, ὅπου ἦσαν εἰ σκέπην τῶν ἀνθρώπων ἐν τῇ συμπλοκῇ, κάτω ἔσυρνον. || — σταυρώματι] supra scriptum τείχει.

XXXVI. § 2. οὐδὲν ἔλαττον] sic man. 2; οὐκ ἔλ. m. 1.

XXXVII. Prœlium navale quo in portum aditum sibi patefacere Turci studuerint, neque ante alteram illam pu-

μουν, καὶ μετὰ δευτέραν ἢ τρίτην ἡμέραν δέχεται ξύνθημα παρὰ τοῦ βασιλέως, ὅπως καλῶς παρασκευασάμενος καὶ ξυντεταγμέναις ταῖς ναυσὶ διαναυμαχήσῃ πρός τε τὰς ὁλκάδας καὶ τὰς τριήρεις τὰς ἐφορμούσας τῷ στόματι τοῦ λιμένος καὶ τῇ ἁλύσει, εἴ πως δυνηθείη τὸν ἔσπλουν βιάσασθαι. (2) Ἔγνωστο γὰρ αὐτῷ ἐξ ἅπαντος τρόπου τόν τε λιμένα καὶ τὸ Κέρας ὑφ' ἑαυτῷ ποιήσασθαι, ὡς ἂν πανταχόθεν κατά τε γῆν καὶ θάλασσαν προσβάλοι τῇ πόλει· ἐνομίζετο γάρ, ὅπερ καὶ ἦν, ὡς εἰ καὶ τὸ ταύτῃ τεῖχος ἀνοίξει πολέμῳ, ῥᾳδίαν ἂν αὐτῷ τὴν τῆς πόλεως αἵρεσιν γενέσθαι, οὐκ ἐξαρκούντων τῶν προμαχομένων πρὸς πάντα τὸν περίβολον ὀλιγανθρωπίᾳ, μέγιστον ὄντα. (3) Παλτόγλης δὲ τάς τε ναῦς ἁπάσας καὶ τοὺς ἐπ' αὐταῖς μαχίμους ἄνδρας ἐκτάξας τε καὶ ὁπλίσας καλῶς, ἐπιπλεῖ ταῖς ὁλκάσι καὶ τῇ ἁλύσει ξὺν ὁρμῇ πολλῇ καὶ θυμῷ καὶ ῥύμῃ, ἔτι δὲ βοῇ καὶ ἀλαλαγμῷ. Καὶ πρῶτα μὲν μικρὸν ἀνακωχεύσαντες τὰς ναῦς, ὅσον ἐντὸς βέλους εἶναι, ἀκροβολισμοῖς ἐχρήσαντο πόρρωθεν καὶ πείραις, βάλλοντες καὶ βαλλόμενοι τοξεύμασί τε καὶ λίθοις τοῖς ἀπὸ τῶν μηχανῶν ἀφιεμένοις, ἔπειτα πολλῇ τῇ ῥύμῃ μέσαις ἐμβάλλει ταῖς ὁλκάσι· καὶ οἱ ἐπὶ τῶν καταστρωμάτων ὁπλῖται εὐθὺς οἱ μὲν πῦρ ἐπέφερον ταῖς χερσίν, ἀνάπτειν διανοούμενοι ταύτας, οἱ δὲ πυρφόροις ὀϊστοῖς ἔβαλλον, ἄλλοι δὲ τὰς σχοίνους τῶν ἀγκυρῶν ὑποτέμνειν ἐπειρῶντο, οἱ δὲ ἀναρριχώμενοι ἀγκύραις καὶ κλίμαξιν ἐπιβαίνειν ἐπειρῶντο τῶν νεῶν, οἱ δὲ ξυστοῖς καὶ παλτοῖς καὶ δόρασι μακροῖς κατηκόντιζον τοὺς προμαχομένους, ὁρμή τε ἦν αὐτοῖς οὐ μικρὰ περὶ τὸ ἔργον καὶ προθυμία. (4) Οἱ δὲ ἐπὶ τῶν ὁλκάδων (ἦσαν γὰρ ἤδη παρεσκευασμένοι πρὸς τοῦτο ὑπὸ τοῦ μεγάλου δουκός, ὃς ἦν ἐπὶ τούτοις τεταγμένος καὶ τῆς θαλάσσης εἶχε τὴν φυλακήν), ἅτε ἀφ' ὑψηλοῦ μαχόμενοι καὶ ἄνωθεν βάλλοντες λίθοις τε καὶ παλτοῖς καὶ δόρασι καὶ ἀκοντίοις καὶ μάλιστα ἀφ' ὑψηλοτάτου, τῆς τῶν ἱστίων στεφάνης, τραυματίας τε τοὺς πολλοὺς εἰργάζοντο καὶ ἀνῄρουν οὐκ ὀλίγους, ἔτι δὲ ἀμφορέας μεγάλους πλήρεις ὕδάτων ἐκκρεμαμένους καὶ λίθους βαρεῖς, σχοινίοις ἐκδεδεμένους ἄνωθεν, ἀπολύοντες μεγίστην εἰργάζοντο βλάβην· (5) φιλοτιμία τε ἦν ἀμφοτέροις μεγίστη καὶ σπουδή, τῶν μὲν ὑπερτερῆσαι βουλομένων καὶ τὸν ἔσπλουν βιάσασθαι, τῶν δὲ καλῶς τε ἀγωνίσασθαι καὶ φυλάξαι τόν τε λιμένα καὶ τὰς ναῦς καὶ ἀπεώσασθαι τούτους· τέλος οἱ ἐπὶ τῶν ὁλκάδων εὐρώστως μαχόμενοι ἔτρεψάν τε τούτους καὶ ἀπεώσαντο, ἄνδρες ἀγαθοὶ γενόμενοι διὰ τέλους.

XXXVIII. Βασιλεὺς δὲ Μεχέμετις, ἐπειδὴ ταύτης τῆς προσβολῆς ἀπεκρούσθη, πρὸς ἕτερον μηχανῆς εἶδος χωρεῖ, καὶ ξυγκαλέσας τοὺς μηχανοποιούς, εἴρετο, εἴ γε δυνατὸν τὰς ἐφορμούσας τῷ στόματι τοῦ λιμένος ὁλκάδας τοῖς ἀπὸ τῶν μηχανῶν ἀφιεμένοις λίθοις αὐτοῦ που συντρῖψαι καὶ καταδῦσαι. Οἱ δὲ πρὸς τοῦτο ἀδυνάτως ἔχειν ἔφασαν, ἐπιπροσθοῦντος

---

gnam navalem, quæ c. 39-41 narratur, neque postea commissum esse censeo: nam nulla ejus mentio fit apud Nicolaum Barbarum, qui ipse tunc in nave Veneta inter portus defensores præsens erat, et quæ singulis diebus ibi gesta sint diligenter enotavit. Narrat Barbarus Maii die XVI et iterum die XVII naves Turcorum nonnullas versus portum vectas, sed post missos aliquot e longinquo lapides mox reversas esse, tandem vero die XXI totam classem e regione portus apparuisse quasi prœlio certaturam, at hanc quoque subito et absque pugnæ periculo suetas stationes repetiisse. Hæc ansam fingendi prœlii navalis Critobulo præbuisse videntur.

§ 3. Ὅσον ἐντὸς βέλους εἶναι] Hæc addit margo. || — ἀγκυρῶν] ἀγγυρῶν et mox ἀγγύραις codex. — || § 4. τοῦ μεγάλου δουκὸς] i. e Lucæ Notaræ. Leonardus p. 326: *Chirluca* (i. e. Κὺρ Λουκᾶς) *curæ portus totiusque regionis maritimæ invigilabat*. Phrantzes p. 254, 16: Ὁ δὲ μέγας δοὺξ Λουκᾶς ὁ Νοταρᾶς τοῖς μέρεσι τοῦ Πετρίου (*Petri-kapussi* ad portum) καὶ ἕως τῆς πύλης τῆς ἁγίας Θεοδοσίας (*Baluk-bazari-kapussi*?) custodiam habebat. || — § 5 ἐπὶ τῶν ὁλκάδων] ἀπὸ τ. ὁ. supra scriptum.

XXXVIII. Quæ hoc capite narrantur, et cap. 39, 1 tribus vel quattuor diebus ante prœlium navale gesta esse dicuntur, post caput 44 ponenda erant; nam navale prœlium (c. 39-41) editum est Aprilis die XX, naves per terram transductæ die XXII, deinde Turci de colle Galatino naves hostium bombardis infestarunt Maii die V. Sic Barbarus tempora notavit, eandemque rerum seriem habes apud Phrantzem p. 247. 251. 257. Aliter rem adornavit Pusculus, qui primum descripsit prœlium navale, deinde de bombardis in colle Galatino positis, tertio loco de transportatis navibus dixit; aliter denique Leonardus p. 321 sqq., qui primo loco de navibus per collem transvectis, tum de navali pugna, et post hæc de bombardis Galatinis exposuit, quarum Ducas et Chalcocondylas omnino non meminerunt. Prœlium navale Ducas p. 271, ut Phrantzes, Barbarus, Critobulus et Pusculus, *ante* navium transportationem, Chalcocondylas vero, p. 387-389, ut Leonardus, *post* eam collocant.

§ 1. τοὺς μηχανοποιούς] Secundum Leonardum p. 323 tunc quoque rex opera usus est Orbani Hungari, qui a Constantino ad Mechemetem transierat et Adrianopoli magnam istam bombardam fuderat, cujus rumpentis fragmine interfectus esse a recentioribus historicis perhibetur, quamquam ea fama non nititur nisi falsa versione latina verborum Phrantzæ p. 239 (vid. not. ad cap. 29). *Cogitavit itaque*, Leonardus inquit, *odio accensus in naves, ex colle Galatæ orientali plaga vel eas lapidibus machinarum obruere vel a catena repellere. Dispositis itaque et ex ripa occidentali bombardis, satagit omni acuitate artificis naves infringere... Itaque artifex, cui provisio negata fuit ex nostris, ad Teucros reductus quanto ingenio potuit, naves frangere studuit.* || — § 2. παραλλάξασι τὸ σχῆμα] In margine adscribitur μεταματίσασι (debebat: μετασχηματίσασι). || — σταθμοῖς πρότερον] πρ. in margine additum. Ceteri scriptores novum bombardæ genus tunc fabricatum atque adhibitum esse non commemorant. Unam ex bombardis illis lapides jecisse 200 librarum dicit Barbarus p. 35. Ceterum de mortariis a Mechemete inventis dicit etiam Chalcocondylas p. 414, ubi de Novoberdæ obsidione (an. 1455) sermo est: Ἐπολιόρκει τὴν πόλιν τηλεβόλοις ὑπτίοις βάλλων τὰ ἐντὸς τῆς πόλεως· ἐξεύρητο δὲ τῷ βασιλεῖ ἡ τῶν τηλεβόλων ὑπτίων κατασκευή, etc.

ὅτι μάλιστα πάντοθεν τοῦ περιβόλου τοῦ Γαλατᾶ. (2) Ὁ δὲ τρόπον ἕτερον ἐσηγεῖται τούτοις καὶ μηχανῆς εἶδος καινότερον. Ἔφη γὰρ, εἴ γε βούλοιντο, δυνατὸν εἶναι μηχανῆς ἕτερον εἶδος κατασκευάσαι μικρὸν παραλλάξασι τὸ σχῆμα, δυνάμενον ἀφεῖναι τὸν λίθον ἐς ὕψος, τὸν δὲ κατερχόμενον ἐμβάλλειν κατὰ μέσας τὰς ναῦς καὶ καταδύειν, μέτροις τισὶ καὶ σταθμοῖς πρότερον καὶ ἀναλογίαις ἀπευθύνουσί τε καὶ διευθετοῦσιν. αὐτοῖς πρὸς τὰς ὁλκάδας τὴν μηχανήν· καὶ τὸ σχῆμα ἐξηγεῖται. (3) Οἱ δὲ τὸ πρᾶγμα μαθόντες τῷ λογισμῷ εὕρισκον εἶναι τῶν δυνατῶν, καὶ κατασκευάζουσι μηχανῆς εἶδος τοιοῦτον, ὁποῖον ὁ βασιλεὺς ἀπεσχεδίασε. Κατασκοπήσαντες δὲ καὶ τὸν χῶρον τιθέασι ταύτην μικρὸν ἀπωτέρω τῆς ἄκρας τοῦ Γαλατᾶ ἐπὶ τοῦ ὀλίγον ἀνέχοντος λόφου καταντικρὺ τῶν ὁλκάδων· ἐπισκευάσαντες δὲ αὐτὴν καλῶς καὶ σταθμήσαντες μέτροις ἰδίοις, ἀνάπτουσι πῦρ ἐπιβαλόντες, ἡ δὲ ἀφίησι τὸν λίθον ἐς ὕψος μέγα, ὁ δὲ κατελθὼν τὸ μὲν πρῶτον ἀπέτυχε τῶν ὁλκάδων, ἐγγύς που τούτων καταπεσὼν ἐν τῇ θαλάσσῃ· (4) ἐπισκευάσαντες δὲ αὖθις αὐτὴν καὶ μικρὸν παρεκκλίναντες ἀφιᾶσιν· ὁ δὲ λίθος ἐς ὕψος ἄπειρον ἀρθεὶς κάτεισι μετὰ πατάγου σφοδροτάτου καὶ ῥύμης καὶ κατὰ μέσην ἐμβάλλει τὴν ὁλκάδα καὶ ξυντρίβει πᾶσαν εὐθὺς καὶ καταδύει ἐς βυθὸν, καὶ τῶν ἐπιβατῶν τοὺς μὲν ἀναιρεῖ, τοὺς δὲ καταδύει· ὅσοι δὲ μὴ ἀπέθανον, ὀλίγοι πάνυ, ἀπενήξαντο μόλις πρὸς τὰς ἑτέρας ὁλκάδας καὶ τὰς τριήρεις ξύνεγγυς οὔσας. (5) Τοῦτο παρὰ δόξαν γεγονὸς ἐθορύβησε πάντας τοὺς ἐν τῇ πόλει, καὶ ἐς μέγιστον φόβον καὶ ἀγωνίαν ἐνέβαλεν· ὅμως γε μὴν ἐκ τῶν δυνατῶν μικρὸν παρεκκλίναντες τὰς ἑτέρας τῶν ὁλκάδων καὶ τὰς τριήρεις καὶ καταγαγόντες ἐπὶ τὸ ἀσφαλέστερον καὶ

---

§ 3. ἀπωτέρω τῆς ἄκρας τοῦ Γαλατᾶ] Barbar. l. l. : *de suxo la zima del monte che son de sora Pera.* Phrantzes p. 259, 5 : ἄνωθεν ἐν τῷ λόφῳ τοῦ ἁγίου Θεοδώρου πέραν ἐν ῷ Γαλατᾷ. || -- τούτων] post ἐγγύς που addit margo.

§ 4. τὴν ὁλκάδα] Phrantzes l. l. : τῇ πρώτῃ ἐλεβόλει, ᾗ ὁ τεχνίτης τὸ πῦρ ἐνέβαλε, τὴν νῆα τὴν τῶν ἄλλων ἄρχουσαν ἐβύθισεν. *Centurionis navem mercibus onustam* dicit Leonardus. Sec. Barbarum bombardæ lapide tertio demersa est navis Genuensis *de bote trexento, la qual si iera carga di seda e zera et altre marcadantie per vaiuda de ducati dodexe (e) millia.* Pusculus 4, 497 nullam navem lapide tactam esse prodit : *Infremuit saxum..., at nullam contingens mergitur undis.*

§ 5. παρεκκλίναντες] παρέκλιναν τῆς codex. Rem disertius tradit Barbarus p. 36 : *Ma vedendo la nostra armada, che quele sue bombarde ne vigniva a far mal assai, deliberassemo de desfar la cadena del porto, intendando muover le nave solamente, e quele se reduse a presso le mure de Pera, perchè bota de bombarda non li podeva nuocer; che fo nave diexe, e cosi si fe le nostre galie.* Narrat deinde etiam Peræ (Galatæ) muro tectas naves per complures dies bombardarum lapidibus impetitas nec levi damno affectas esse, quum quovis fere tormentorum ictu unus ex nautis vel duo vel etiam quattuor occiderentur; tandem vero hostem a cœpto destitisse bombardasque direxisse contra Cynegium. A gravissimo hoc Barbari testimonio mirum discrepant quæ apud Critobulum leguntur, cum quo reliqui testes consentiunt. Nam ita Phrantzes p. 259, 21 : Αἱ δὲ λοιπαὶ ἰδοῦσαι τὸν κίνδυνον καὶ θέλουσαι φυγεῖν, ἐπὶ τὸ μέρος πλέον τοῦ Γαλατᾶ ὀλίγον ἐλθοῦσαι τὴν στάσιν ἐποίησαν, ὅπως διὰ τῶν ὑψηλοτάτων οἴκων σκέπωνται· αὐτὸς δὲ μὴ φειδόμενος τῶν οἴκων πολλοὺς ἐχάλασεν, ἵνα ἀκωλύτως τὰς νῆας μάχηται. Καὶ ἦν θαυμάσαι ὅτι πλεῖον ἢ ἑκατὸν καὶ τριάκοντα (150 sec. Leon.) ἐλεβόλεις ῥίψας οὐδέν τι πλέον τὰς νῆας ἔβλαψεν οὔτε ἄνθρωπον ἐθανάτωσεν, εἰ μὴ γυναῖκά τινα πέτρα πεσοῦσα ἐκ τῶν τειχῶν ἀπέκτεινεν. Leonardus p. 233 postquam unam navem confossam esse dixerat, pergit hunc in modum : *Quo casu reliquæ ne confringantur, muro Galatæ protectæ hærent. Mirandum quidem Dei judicium, ut immissis quinquaginta et centum prope lapidibus, quibus perforatæ multæ Galatæ domus, et cum mulier optimæ famæ interempta fuit, inter triginta conglobatas* (sc. naves) *illa sola periit.* Subjungere liceat versus Pusculi 4, 482 sqq. :

Hos jubet ante diem tormentum montes in altos,
qui Galatæ impendent, ingens vectare, supraque
ipsiusque domos urbis Galatæque penates
in portum atque ipsas naves muralia saxa
torquere ac portu medio lacerare sedentes.
Jussa parant celeres. Radiis lustraverat orbem
sol rediens; tonuit subito bombarda fragore,
improvidos animos turbans, et mœnia supra
urbiculæ fumum involvens densum aëra rumpit,
et venit extremumque aufert de puppe revulsum
structum Martis opus, salsasque intorsit in undas.
Ecce aliud stridens non æquo pondere saxum
decidit in portum, et puppis latera ardua strinxit.
Nec mora; namque duo adstabant tormenta; secutum
infremuit saxum, mediumque intercidit altas
naves; at nullam contingens mergitur undis.
Tum vero trepidare rates, solamque catenam
deserere ac vulsis uncis ad mœnia et altas
se Galatæ referunt ripas, muroque teguntur.
Sed non idcirco Teucri torquere sub ipsos
desistunt muros, aliquam si mergere dextra
sorte datur puppim. Galatæ super ipsa domorum
culmina, dum vires non sufficit impetus illis,
saxa cadunt; pacem quamvis tunc ipsa teneret
cum duce Machmetto, patitur discrimina belli.

φυλακὴν ἔχοντες, οὐδεμίαν τοῦ λοιποῦ βλάβην ἐδέχοντο παρὰ τῶν λίθων, ἀλλ' ἐφύλαττον ἰσχυρῶς τόν τε λιμένα καὶ τὸ Κέρας.

XXXIX. Ἐν τούτοις δ' ὄντων αὐτῶν, οὔπω τριῶν ἢ τεττάρων παρελθουσῶν ἡμερῶν, ἀναφαίνονται τρεῖς τῶν μεγάλων ὁλκάδων ἐν τῷ πελάγει μετέωροι πλέουσαι, ἃς ἐξ Ἰταλίας ἔπεμψεν ὁ τῆς Ῥώμης ἀρχιερεύς, ἐπισιτισμὸν ἐχούσας καὶ βοήθειαν τῇ πόλει· ἤδη γὰρ ἦν μεμαθηκὼς τόν τε πόλεμον καὶ τὴν ὅσον οὐ ταύτης ἐσομένην πολιορκίαν, καὶ προαπέστειλεν αὐτὰς βοηθούς, ἕως ἂν καὶ τὸν ἄλλον ἐξαρτίσηται στόλον· παρεσκεύαζε γὰρ ἐξ Ἰταλίας τριάκοντα* καὶ ὁλκάδας κατόπιν τούτων βοηθοὺς ἀποστεῖλαι Ῥωμαίοις καὶ βασιλεῖ Κωνσταντίνῳ, αἳ καὶ ὑστέρησαν. (2) Κατιδόντες οὖν τὰς ὁλκάδας μετεώρους πλεούσας ἀπαγγέλλουσι βασιλεῖ, καὶ ὃς εὐθὺς Παλτόγλην τὸν ἡγεμόνα τοῦ στόλου μεταστειλάμενος ἐξοπλίσαι κελεύει τὴν ταχίστην πάντα τὸν στόλον, καὶ τοὺς ἐν ταῖς ναυσὶ πάντας ἐρέτας τε καὶ τοὺς ἄλλους ἐπιβάτας καὶ τοὺς ἐπὶ τῶν καταστρωμάτων μαχίμους ἐκτάξαι καλῶς καὶ καταφράκτους ποιῆσαι παντοίοις ὅπλοις· ἐπιβιβάζει δὲ καὶ ἄλλα ὅπλα πολλὰ ἐς τὰς ναῦς, ἀσπίδας τε καὶ θυρεοὺς καὶ κράνη καὶ θώρακας, ἔτι δὲ βέλη τε καὶ ἀκόντια καὶ δόρατα μακρὰ καὶ κοπίδας καὶ ὅσα ἄλλα ἐς τὸν τῇδε πόλεμον χρήσιμα· πρὸς δὲ τούτοις ὁπλίτας τε καὶ τοξότας ὅτι πλείστους ἐπιβιβάζει, καὶ τῶν ἀπὸ τῆς ἰδίας αὐλῆς τοὺς μαχιμωτάτους ἅμα καὶ εὐθαρσεστάτους ἐς τοὺς ἀγῶνας καὶ δὴ καὶ εὐοπλοτάτους. Ἐπισκευάσας δὲ καὶ ὁπλίσας τὸν στόλον καλῶς ἀνδράσι τε καὶ παντοίοις ὅπλοις, ἐκπέμπει, κελεύσας ἢ τὰς ὁλκάδας λαβόντας ἀγαγεῖν ὡς αὐτὸν ἢ μηδὲ αὐτοὺς ἐπανήκειν σῶς.

XL. Παλτόγλης δὲ πάντα τὸν στόλον παραλαβών, ἄρας εὐθὺς ἐπιπλεῖ ταῖς ὁλκάσι ῥώμῃ τε πολλῇ καὶ προθυμίᾳ, ἔτι γε μὴν φιλοτιμίᾳ τε καὶ ἐλπίδι τοῦ κατορθῶσαι· μόνον οὐ γὰρ ἐν χεροῖν ἐνόμιζεν ἔχειν αὐτάς. Ὡς δὲ ἔσω βελῶν ἐγένοντο, πρῶτον μὲν ἀνακωχεύσαντες μικρὸν, ἀκροβολισμοῖς ἰσχυροτάτοις ἐχρήσαντο, τοξεύμασί τε καὶ λίθοις τοῖς ἀπὸ τῶν μηχανῶν ἀφιεμένοις, ἔτι δὲ καὶ πυρφόροις οἰστοῖς βάλλοντες τά τε ἱστία καὶ τὰς ὁλκάδας, ἀνάψαι διανοούμενοι ταύτας. (2) Οἱ δὲ ἐπὶ τῶν ὁλκάδων ἐμάχοντο καὶ αὐτοὶ γενναίως, ἅτε ἀφ' ὑψηλοῦ τὸν πόλεμον ποιούμενοι καὶ μάλιστα ἀπό τε τῶν ἱστίων καὶ τῶν ξυλίνων πύργων ἄνωθεν βάλλοντες οἰστοῖς καὶ δορατίοις καὶ λίθοις σφοδρῶς, καὶ μάλιστα ἐπιτυγχάνοντες, κραυγή τε πολλὴ καὶ τραύματα καὶ φόνος παρ' ἀμφοτέρων ἐγίνετο. (3) Ὡς δὲ τούτων ἅλις εἶχον, Παλτόγλης εὐθὺς μέγα βοήσας καὶ τοῖς ἄλλοις ἐγκελευσάμενος οὕτω ποιεῖν, πολλῇ τῇ ῥύμῃ καὶ τῷ ῥοθίῳ κατὰ μέσας ἐμβάλλει τὰς ὁλκάδας, καὶ οὕτως ἤδη ἐκ χειρῶν ἡ μάχη ἐγίνετο, ἀγχεμάχοις ὅπλοις πάντων ξυνεμ-

---

XXXIX. De prœlio navali quod in sqq. narratur, vide Barbarum p. 23-25, Phrantzen p. 247 sqq., Ducam p. 268 sqq., Leonardum p. 322, Chalcocondylam p. 390, Pusculum 4, 353 sqq. Seadeddinus 2, p. 137 duas naves Italas in portum urbis intrasse verbo monuisse satis habet. Apparuerunt naves Aprilis mensis die XX, ejusque hora tertia, ut Barbarus ait. Ad eundem diem commode referre licet verba Pusculi 4, 353 : *Phœbus bis quinos cœlo vix fecerat orbes* (inde a quo urbem obsidione Turcus cinxerat), *quattuor ecce rates turritis mœnibus æquæ, quæ Danais rerum fessis frumenta vehebant, cernuntur*. Naves nonnisi duas fuisse præter Seadeddinum ait Chalcocondylas p. 389, 15; tres Critobulus dicit, quinque Ducas p. 268, 6, quarum μία ἡ τοῦ βασιλέως φέρουσα φόρτον τὸν ἐκ Πελοποννήσου σῖτον, αἱ δὲ ἄλλαι τέσσαρες ἐκ Γενούας ῥογευθεῖσαι παρὰ τοῦ βασιλέως : at quattuor fuisse recte procul dubio tradunt Barbarus, Pusculus, Leonardus et Phrantzes p. 247, 10 : Νῆες τρεῖς Λιγουρίας (quibus præfectus erat Mauritius Cataneus Genuensis, sec. Leon. p. 322) ἐκ Χίου φόρτον λαβόντες καὶ ἄνεμον τηρήσαντες ἐπιτήδειον, τὸν πλοῦν πρὸς ἡμᾶς ἐποιοῦντο· διερχομένων δὲ αὐτῶν, καθ' ὁδὸν καὶ ἑτέραν μίαν βασιλικὴν νῆα (cujus dux Phlantanelas, sec. p. 248, 22, *Flectanella* ap. Leon. p. 322,) ἐκ Σικελίας (sic etiam Leonardus) μετὰ σίτου ἐρχομένην. Genuenses naves negotii causa in Chio substiterant usque ad finem mensis Martii; deinde ne illico pergerent boreas ventus impediverat (Ducas p. 268). Naves illas partem fuisse classis quam Nicolaus V pontifex instruxerat, unus tradit Critobulus. || — τριάκοντα* καὶ ὁλκ.] Post τριακ. excidisse videtur τριήρεις. Cap. 70 habes : τριάκοντα τριήρεις. || — αἳ καὶ ὑστέρησαν] Cf. infra cap. 70 : ὑστερήσασαι τῆς βοηθείας πάλιν ἀπέπλευσαν οἴκοι.

§ 2. πάντα τὸν στόλον] Naves erant 145 sec. Barbarum p. 24, *circiter ducentæ triremes et biremes* sec. Leonard. p. 322, vela trecenta quinque sec. Ducam p. 269, 6.

XL. Naves illæ quattuor in conspectu urbis, cessante subito vento, cursum inhibere cogebantur. Barbarus p. 23: *subito il vento i bonazo, e trovarse le dite nave in gran bonaza*. Ducas p. 269, 4 : Ἦν γὰρ καὶ ἡ θάλασσα ἐκείνῃ τῇ ὥρᾳ εὔδιος, ἀνέμου μὴ πνέοντος. Stabant tum haud longe a litore (Phrantzes p 249, 11 : ἦσαν γὰρ ἐγγὺς τῆς χέρσου αἱ τριήρεις ὡσεὶ λίθου βολήν), quod in Propontide ab Aurea porta versus occasum extenditur, ut colligimus e Ducæ verbis: Τότε ἐξελθόντες τὰ πλοῖα ἵσταντο ἐκδεχόμενοι τὴν ἄφιξιν τῶν νηῶν, ἐκ τοῦ λιμένος τῆς Χρυσῆς πύλης ἐκτός· αἱ δὲ νῆες ἐλθοῦσαι κατὰ τὴν ἴσην ὁδὸν καὶ βουλόμεναι περᾶσαι τὸν Μεγαδημήτριον τὴν ἀκρόπολιν, τοῦ εἰσελθεῖν ἐν τῷ Κερατίῳ κόλπῳ, τὰ πλοῖα ἀνθίσταντο ταῖς ναυσί. Mechemetem, qui e litore prœlium spectavit et equum in mare propulisse dicitur Leonard. p. 322, Phrantz. p. 249, 10, Chalcocond, p. 390, 2, Duc. p. 269, 14), in promontorio *Zeitin Bournou*, quinque fere stadia a muro urbis dissito, stetisse probabiliter censet Mordtmannus l. l. p. 138, qui mare ibi tam humile esse prodit, ut ultra centum passus nonnisi paucorum pedum sit profunditas. Oppidanos belli theatrum visuros Hippodromum petiisse, *late spectare unde æquora possent*, refert Pusculus 4, 385. Falsus igitur Leonardus p. 322, qui regem *ex colle Perensi* pugnam spectasse dicit.

§ 1. ῥώμῃ] ῥύμῃ? Cf. c. 37, 3, ubi pugna iisdem fere verbis describitur. Prœliorum enarrationes apud Critobulum tantum non omnes secundum easdem formulas compositæ sunt et certo quodam locutionum gyro continentur. || — § 2 ἀπὸ τούτων] Hæc post ἄνωθεν addidit manus 2 in margine. || — ἐτίτρωσκον] ἠκόν[τιζον] mgo. Deinde codex:

βαλλόντων αὐτῷ, καὶ πάντα ἦν ὁμοῦ τὰ δεινά· οἱ μὲν πῦρ ἐπέφερον ἀνάπτοντες κάτωθεν τὰς ὁλκάδας, οἱ δὲ παλτοῖς καὶ κοπίσιν ἔκαινον, ἀναρρηγνύναι τοὺς τοίχους τούτων βουλόμενοι· ἄλλοι δόρασί τε μακροῖς καὶ ἀκοντίοις ἐτίτρωσκον κάτωθεν τοὺς προμαχομένους· οἱ δὲ βέλεσί τε καὶ λίθοις ἔβαλλον· ἕτεροι δὲ ἀναρριχώμενοι καὶ ἀγκύραις καὶ σχοινίοις ἐκκρεμαννύμενοι, ἐπιβαίνειν τῶν νεῶν ἐπειρῶντο, καὶ ἄλλοι ἄλλως ἐμάχοντο, καὶ ἔκοπτον καὶ ἐκόπτοντο ξὺν ὁρμῇ καὶ θυμῷ. (4) Οἱ δὲ ἐπὶ τῶν ὁλκάδων κατάφρακτοι ὄντες καὶ ἄνωθεν ἀπὸ τούτων εὐρώστως μαχόμενοι, τοὺς ἐπιόντας ἠμύνοντο ἰσχυρῶς. Καὶ πρῶτα μὲν ἀμφορέας μεγάλους πλήρεις ὑδάτων ἐκκρεμαμένους καὶ λίθους βαρεῖς σχοινίοις ἐκδεδεμένους ἄνωθεν ἀπολύοντες ἐσβέννυόν τε τὸ πῦρ καὶ πολλοὺς ἀνήρουν· μετὰ βάρους γὰρ καὶ βίας οὗτοι καταφερόμενοι τοὺς προστυγχάνοντας κάτωθεν πάντας τοὺς μὲν κατέδυον, τοὺς δὲ διέφθειρον. (5) Μετὰ δὲ τοῦτο οἱ μὲν αὐτῶν δόρασι καὶ ἀκοντίοις καὶ ξυστοῖς τοὺς ἐπιόντας ἠκόντιζον, οἱ δὲ λίθοις ἔβαλλον ἄνωθεν, ἄλλοι κοπίσι τὰς χεῖρας τῶν ἐπιβαίνειν πειρωμένων ἀπέκοπτον, ἕτεροι κορώναις τε καὶ ῥοπάλοις ἄνωθεν καταφερομένοις τὰς κεφαλὰς τούτων παίοντες ξυνέθλων· καὶ βοὴ πολλὴ καὶ θροῦς ἦν ἐξ ἁπάντων ἐγειρόμενος, βαλλόντων, βαλλομένων, κτεινόντων, κτεινομένων, ὠθούντων, ὠθουμένων, βλασφημούντων, ὑβριζόντων, ἀπειλούντων, στενόντων, πάντα δεινὰ ποιούντων. (6) Ὅμως γε μὴν καὶ οὕτως εὐρώστως ἀγωνιζομένων τῶν ἐν ταῖς ὁλκάσι, καθυπερτέρουν οἱ τοῦ στόλου, διὰ πολυχειρίαν μάλιστα καὶ ἀμοιβαδὸν ἐκ διαδοχῆς ἀγωνιζόμενοι, καὶ τῶν τετρωμένων ἢ καὶ ἀποθνησκόντων τοὺς τόπους τε καὶ τὰς τάξεις ἄλλων ἀναπληρούντων. Κἂν ἀπεῖπον οἱ ἐν ταῖς ὁλκάσι μαχόμενοι καὶ προπολεμοῦντες τῇ παρατάσει τοῦ πολέμου, εἰ μὴ ἄνεμος αἴφνης νότος πνεύσας σφοδρὸς ὦσε κατὰ μέσων τῶν ἱστίων, καὶ μετὰ βίας βρύσας ἐκίνησέ τε τὰς ὁλκάδας ἰσχυρῶς, καὶ οὕτω κατὰ μικρὸν ἀπολελειμμένων τῶν τριήρεων, τῷ μὴ δύνασθαι ταῖς ὁλκάσιν ἕπεσθαι, καὶ τοῦ πολέμου λωφῶντος ἤδη, διεσώθησαν πρὸς τὰς ἄλλας ὁλκάδας πρὸς τὸ στόμα τοῦ λιμένος, καὶ τὸν κίνδυνον παρὰ δόξαν διέφυγον. Παρὰ τοσοῦτον ἦλθον κινδύνου.

XLI. Βασιλεὺς δὲ παρὰ τὸν αἰγιαλὸν ἑστὼς ἔφιππος ἑώρα τὰ δρώμενα, θάρσος τε ἐμποιῶν τοῖς αὐτοῦ φαινόμενος καὶ ἅμα τοῦ πολέμου τὸ τέλος ἀποσκοπῶν· ἐνόμιζε γὰρ ἐξ ἅπαντος τρόπου τὸν αὐτοῦ στόλον τῶν ὁλκάδων περιγενήσεσθαι, καὶ κρατήσαντας αἰχμαλώτους ἄξειν αὐτὰς ὡς αὐτόν· καὶ περιχαρὴς ἦν. Ὡς δὲ ἑώρα σφοδρῶς τε τὸν ἄνεμον πνεύσαντα καὶ τὰς ὁλκάδας περιγεγενημένας, μεταβαλὼν εὐθὺς ἠνιᾶτο ὑπερβαλλόντως, καὶ πλήξας τὸν ἵππον ἀνεχώρησε σιωπῶν. (2) Ἀπέθανον δὲ τῶν μὲν ἐν ταῖς ὁλκάσιν ἄνδρες, ὡς ἐλέγοντο, οἱ πάντες δύο καὶ εἴκοσι, τραυματίαι μέντοι γεγόνασιν ὑπὲρ τοὺς ἡμίσεις τῶν πλη-

---

ἔβαλον.. ἀναρρυχόμενοι (supra lit. υ apponitur litera η)... ἀγγύραις || — § 4. ἀμφορέας ... ἀπολύοντες] Eadem verba in cap. 37, 4. || — § 5. βάρρους.. ἔβαλον... βαλόντων, βαλομένων codex. Cf. cap. 58, 2. || — § 6. βρύσας] πρύσας cod. || — ἀπολελειμμένων] ἀπολιπομένων mgo. Cum Critobulo facit Ducas p. 269, 16 : τότε ἀνέμου πνεύσαντος κατὰ τὰ ἱστία φυσηθέντα, σχίσαντες τὰ πλοῖα (Turcorum sc.) τὴν ἐν τῷ λιμένι ὁδὸν ἔπλεον, τὰ δὲ πλοῖα ἔμειναν· εἰ γὰρ ἦν ἔμπροσθεν αὐτῶν τότε ὁ στόλος τοῦ βαρβάρου, ἐδύναντο ἂν αἱ πέντε αὗται νῆες καταποντίσαι καὶ τὰ τριακόσια. Aliter Phrantzes p. 250, 3 : ἐλθούσης δὲ τῆς νυκτὸς ἐξ ἀνάγκης ὁ στόλος μικρὸν ἀνεχώρησε, καὶ αἱ νῆες εὐκαιρίαν εὑρόντες εἰσῆλθον ἐν τῷ λιμένι ἄνευ οὐδενὸς ἀποκτανθέντος, εἰ μή τινων ὀλίγων πληγέντων. Secundum Barbarum p. 23 per tres fere horas pugnatum est, marte quidem ambiguo, sed in majorem honorem eorum qui tanto Turcorum numero non succubuerunt. Deinde Genuenses ingruente nocte versus portum urbis contendunt, timentes ne insequentes hostes pugnam renovare audeant. At soluta catena, Gabrielus Trevisanus et Zaccharias Grioni cum tribus galeris Venetis e portu egressi naves illas quattuor remulco tractas in urbis portum salvas deduxerunt. Diverso modo rem adornavit Pusculus 4, 390-471. Turcorum classis præfectus in Propontidem provectus Latinos jubet deponere vela et stare rates. Hi vero parere negant, sed vento carbasa pandunt et cursum inceptum peragere student. Cinguntur itaque hostium navigiis, prœliumque committitur, dum auster in puppim spirans naves plenis velis fert, nec flare desinit

structa donec statuit super æquora, Bosporus arctat
litora ubi geminæ telluris. Deserit illic
ventus eas; cecidere sinus sub mœnibus arcis.
Tum vero exoritur pugna, increvere remisso
Teucrum animi vento; segnes fessosque Latinos
non duraturos longo duxere labori.
Præterea pudor incendit, de litore spectans
haud procul et princeps Machmettus concitat iras.

Post pugnam acerrimam ad noctem usque perductam Turcorum naves laceræ se subduxerunt, Genuenses autem Venetum de puppe revinctæ in portum salvæ perveniunt. — Similiter Leonardus p. 322, quum Mechemetem in colle *Perensi* stetisse spectatorem dicat, pugnam in Bosporo, non vero in Propontide, pugnatam esse statuisse debet.

XLI. § 1. σφοδρῶς τε] τε add. man. 2. || — καὶ πλήξας τὸν ἵππον ἀνεχώρησε σιωπῶν] Minus moderate se gessit sec. Phrantzem p. 249, 7 . μανεὶς καὶ θυμῷ ληφθείς, βρυχώμενος καὶ τοὺς ὀδόντας τρίζων ὕβρεις ἐνέχεε εἰς τοὺς αὐτοῦ, δειλοκαρδίους καὶ γυναικώδεις καὶ ἀνωφελεῖς ἀποκαλῶν· καὶ τὸν ἵππον κεντρίσας ἦλθεν ἐντὸς τῆς θαλάσσης καὶ τὰ πλείονα τῶν χιτώνων αὐτοῦ ἐβάφησαν ἐκ τῶν τῆς ἁλμυρᾶς θαλάσσης ὑδάτων ... Καὶ πλεῖστοι ἔφιπποι τῷ ἀμηρᾷ καὶ αὐτοὶ ἀκολουθοῦντες ἕως τῶν νηῶν ἤγγισαν. Leonardus p. 322 : *blasphemat, urget equum in salum, vestimenta cum furore conscindit.* Similiter Ducas p. 269, 13 et Chalcocondylas p. 390, 2. Nihil de his legitur neque apud Barbarum neque in Pusculi carmine.

§ 2. δύο καὶ εἴκοσι] Secundum Phrantzem et Leonardum in Italis navibus ne unus quidem interfectus est, vulnerati

ρωμάτων, τῶν δὲ ἀπὸ τοῦ στόλου ὀλίγῳ πλείους τῶν ἑκατὸν, τραυματίαι μέντοι γεγόνασιν ὑπὲρ τοὺς τριακοσίους. (3) Βάλλεται δὲ καὶ Παλτόγλης ὁ τοῦ στόλου ἡγεμὼν τὸν ὀφθαλμὸν λίθῳ, καὶ ξυνήνεγκε τοῦτο ταῖς μὲν ὁλκάσι σωτηρίαν, αὐτῷ δὲ Παλτόγλῃ μὴ ἀποθανεῖν ὑπὸ βασιλέως, ὃς δεινὸν ὅτι μάλιστα ἐποιήσατο τὴν ἀποφυγὴν τῶν ὁλκάδων, καὶ τὸ πρᾶγμα βαρέως ἤνεγκε, δειλίαν τε καὶ ἀνανδρίαν καταγνοὺς τοῦ Παλτόγλου, μᾶλλον δὲ ἀμέλειαν καὶ ῥαθυμίαν τούτου τὸ ὅλον νομίσας εἶναι, καὶ προδοσίαν τῶν αὐτοῦ πραγμάτων. (4) Οὐ καλὸν γάρ οἱ οἰωνὸν ἐνόμιζεν εἶναι ἔς γε τὸ προκείμενον ἔργον τὴν τῶν ὁλκάδων ἀποτυχίαν. Παραλύει μέντοι γε τοῦτον εὐθὺς τῆς ἀρχῆς καὶ παραδίδωσι τόν τε στόλον καὶ τὴν σατραπείαν Καλλιουπόλεως Χαμουζᾷ τῶν ἑταίρων τινὶ καὶ ᾧ μάλιστα τὰ τοιαῦτα ἐπίστευε. (5) Ῥωμαίοις μέντοι γε τοῦτο παρ' ἐλπίδας γεγονὸς ἀναψυχήν τινα τότε καὶ παραμυθίαν ἤνεγκεν οὐ μετρίαν, καὶ χρηστοτέρων ἐλπίδων ἐνέπλησεν, οὐ μόνον τοῖς παροῦσιν, ἀλλὰ δὴ καὶ ταῖς χρησταῖς τῶν ἀγγελιῶν, ἕως ἔδει τούτους πράξειν καλῶς καὶ οὔπω παρῆν τὰ δεινά· οὐ γὰρ ἐς μακρὰν χαιρήσειν ἔμελλον, ἁλόντες καὶ πᾶσι κακοῖς ἐκλυθέντες, αἰχμαλωσίᾳ καὶ δουλείᾳ καὶ φόνῳ καὶ διαρπαγῇ καὶ ὕβρει γυναικῶν τε καὶ παίδων. Καὶ οἱ μὲν οὕτως.

XLII. Βασιλεὺς δὲ Μεχέμετις προὔργου τι νομίζων εἶναί οἱ ἐς τὸ προκείμενον τόν τε λιμένα ἑλεῖν καὶ τὸ Κέρας ἀνοῖξαι ταῖς ἰδίαις ναυσὶν ἐφορμεῖν, ἐπειδὴ πᾶσαν πεῖραν καὶ μηχανὴν προσαγαγὼν οὐκ ἠδυνήθη τὸν ἔσπλουν βιάσασθαι, βουλὴν βουλεύεται ξυνετὴν καὶ μόνης τῆς αὐτοῦ διανοίας καὶ ἰσχύος ἀξίαν, ἣ καὶ πρὸς τὸ προκείμενόν οἱ καλῶς ἤρκεσε καὶ τοῖς πᾶσι πέρας ἐπέθηκε. (2) Κελεύει τοίνυν τοὺς ἐπὶ ταῖς ναυσὶ τεταγμένους ὅτι τάχιστα ποιεῖν ὁλκοὺς, φέ-

---

autem perpauci, quorum duo vel tres post dies nonnullos mortui sunt; Turcorum vero decem millia, ut Leonardus ait, vel duodecim millia, ut apud Phrantzen legitur, cecidissse retulerunt exploratores et profugi. Minus absurda tradit Critobulus, quamvis is Turcorum cæsorum numerum fortasse justo minorem exhibuerit. Certe apud Barbarum p. 25 Paltogles in sua ipsius nave homines centum et quindecim occidisse dicit.

§ 3. βάλλεται... τὸν ὀφθαλμὸν] Cum Critobulo facit Chalcocondylas p. 390, 3 : Ἐνταῦθα τιτρώσκεται ὁ τοῦ βασιλέως ναύαρχος Παντόγλης τὸν ὀφθαλμὸν ὑπὸ τῶν σφετέρων, ὡς αὐτὸς διεμαρτύρει ἐς τὸν βασιλέα· καὶ εἰ μὴ ἐτρώθη, εἷλεν ἂν τὰς ναῦς διισχυριζόμενος. Οὕτω μέντοι διέφυγεν ὥστε κακόν τι μὴ παθεῖν ὑπὸ βασιλέως. Orationem, qua Paltogles coram rege, Aprilis die XXI e castris cum 10,000 equitibus ad classis stationem profecto, se defendit, apud Barbarum p. 25 habes; in ea tamen vulneris illius nulla fit mentio. Secundum Ducam p. 270 Pantogles oculum perdidit postquam pœnam ei rex inflixerat. Narrat enim Mechemetem Pantoglæ in terram dejecto et a quattuor viris distento centum verbera inflixisse virga aurea, ἧς ἡ κεφαλὴ χρυσίου καθαροῦ σταθμίον λίτραι πεντακόσιαι (an. λίτρας καὶ πενταουγκίας?), ἣν αὐτὸς κατεσκεύασεν, ἵνα παίζῃ αὐτὴν ὡς δοκίμιον. Deinde pergit : Καὶ ἰδόντες αὐτὸν ὑπὸ τοῦ τυράννου καταφρονηθέντα καὶ ῥαβδισθέντα, εἷς τῶν Ἀζαπίδων λίθον ἄρας καὶ κατὰ κόρρης κρούσας ἐξώρυσε τὸν ἕνα ὀφθαλμὸν αὐτοῦ. Nihil de his legitur apud Phrantzem et Leonardum, qui navarchum munere destitutum ac bona ejus janitzaris data esse tradunt, precibus vero ducum impeditum esse quominus supplicio Pantogles afficeretur.

§ 4. Χαμουζᾷ] Iterum ejus mentio fit c. 65 et 75 et lib. 2, c. 3, 1, ubi Chamuzas Asiæ præfecturam obtinuisse dicitur. Idem Χαμζᾶ vocatur apud Ducam p. 321, 14. Ex Barbaro p. 25 discimus Chamuzam filium fuisse viri, qui Turcorum navarchus erat eo tempore quo Venetorum classi præfectus erat Petrus Loredanus, qui istum Turcorum navarchum, Chamuzæ patrem, clade afflixit (sc. sub Murate II, patre Mechemetis. V. Zinkeisen l. l. 1, p. 551). Hunc enim in sensum accipienda sunt verba Barbari (quæ haud recte intellexit Henricus Cornet in annot. ad Barb. l. l.) : *Ma el signor Turco*, inquit, *privo quelo* (Paltoglem) *de esser più capetanio de quela armada, e privado che fo el dito capetanio de la sua capetanaria, el se fexe avanti el fiol de colui, che fo capetanio quando che fo de misser Piero Loredan* [i. e. filius ejus, qui navarchus erat tempore Petri Loredani. Perperam Cornetus : *Il senso è : il figlio di Pietro Loredano, capitano all' epoca della rotta di Murad II*], *quando fo de la rotta del pare de questo Turco, e disse costui al signor Turco : Signor si tu me fa capetanio de questa tua armada, e che staga al impeti de Cristiani, da mo te imprometo de darte tuta l'armada de Cristiani, in ne le man a man salva, e si vignaro a far la vendeta de mio pare, e si questo che te ho dito, non serà vero, da mo te digo senza dir altro, farame taiar la testa de prexente. E al Turco i consona el suo parlar, e fèlo capetanio zeneral da mar de tuta la soa armada, e dege de prexente el baston in man, e avelo fato so capetanio, che el fosse in pè de la persona del signor, a far e desfar come capetanio, come è le zeneral.*

§ 5. ἐκλυθέντες] sic margo, μερισθέντες textus.

XLII. De navibus (67 vel 70 vel 72 vel 80 numero) e classis statione, quæ in Bosporo ad Gemellas columnas sive Διπλοκιόνιον (*Bechiktach* hod.) erat, per terram in Cornu sinum deductis, v. Phrantzes p. 251, Leonardus p. 321, Barbarus p. 27, Pusculus 4, 534-572, Chalcocondylas p. 387, Ducas p. 270, Seadeddin. 2, p. 138 vers. Bratutti, *Historiola quæ inscribitur Constantinopolitanæ civitatis expugnatio, e cod. chart. bibl. templi cathedr. Strenges. descripta, ed. L. Thyselius* (Upsaliæ 1835), p. 5. Hunc libellum non novi nisi ex Zinkeisenio l. l. 1, p. 837, qui in eo tradi dicit naves curribus impositas esse. Ex recentioribus præ ceteris adeas Mordtmannum l. l. p. 57 sq. Transportatæ naves sunt Aprilis mensis die vicesimo secundo, notante Barbaro; ἐν μιᾷ νυκτί, ut ait Phrantzes p. 251, 23. || — βουλὴν βουλεύεται etc.] Ducas p. 270, 20 : τεχνάζεται γενναῖόν τι καὶ ἀνδρεῖον σόφισμα. Consilium Christianus quidam suppeditaverat (*Si fu insegnà da un Christian*), ut in Barbari Diario ad marginem legitur. Cf. Leonardus p. 321 : *Quam novitatem, puto, Venetorum more ex Gardaæ lacu is qui artificium Teucris patefecit, didicerat.* Eadem narrat Zorzi Dolfin in *Cronaca delle famiglie nobili di Venezia* in codice bibl. Marcianæ 794, fol. 315, ex quo quæ ad Const. obsidionem pertinent, excerpsit et edidit G. M. Thomas (Monac. 1868).

§ 2. Κατά γε τὸ τοῦ διπλοῦ κίονος etc.] Ducas p. 270, 23 : προστάττει τὸ εὐθυδρομηθῆναι τὰς νάπας τὰς ὄπισθεν

ροντας ἀπὸ τῆς ἔξω θαλάσσης πρὸς τὴν ἔσω θάλασσαν τοῦ τε λιμένος, φημὶ, καὶ τοῦ Κέρατος, κατά γε τὸ τοῦ Διπλοῦ κίονος ὀνομαζόμενον, καὶ ὑποστρωννύειν τούτοις δοκούς. (3) Ὁ δὲ χῶρος οὗτός ἐστι μὲν ἀπὸ θαλάσσης ἐς θάλασσαν μετροῦντι στάδιοι μάλιστα * ὀκτώ· ἔστι δὲ σφόδρα ἀνάντης ὑπερήμισυ τούτων, ἕως ἂν ἐπὶ τοῦ λόφου καὶ τῆς κορυφῆς γένηται, κἀκεῖθεν πάλιν διὰ τοῦ κατάντους φέρεται πρὸς τὴν ἔσω θάλασσαν τοῦ Κέρατος. (4) Τῶν δὲ ὁλκῶν γεγονότων θᾶττον ἢ λόγος διὰ πολυχειρίαν, ἐπάγει τὰς ναῦς· καὶ τρόπεις μεγάλας ὑποθεὶς αὐταῖς καὶ κεραίας ἑκατέρωθεν τῶν πλευρῶν, ὥστε ἀνέχειν αὐτὰς, καὶ σχοινίοις διαζώσας καλῶς, ἐξάπτει προτόνους μακροὺς τῶν ἀγκώνων ἐκδήσας, καὶ παραδίδωσιν ἕλκειν τῇ στρατιᾷ, τοῖς μὲν αὐτοχειρίᾳ, τοῖς δὲ καὶ διὰ μηχανῶν τινων καὶ μαγγάνων. (5) Αἱ μὲν οὖν νῆες εἵλκοντο θᾶττον, οἱ δὲ ἐπιβάται τούτων, ὥσπερ ἐπεντρυφῶντες τοῖς γινομένοις τε καὶ ἐπεγγελῶντες, πληροῦντες αὐτὰς ἐπὶ τῆς χέρσου ὥσπερ ἐπὶ θαλάσσης, οἱ μὲν ἀνεπετάννυον ξὺν κραυγῇ τὰ ἱστία, ὡς δῆθεν ἀναγόμενοι, τὰ δὲ πνεῦμά τε ἐδέχετο καὶ ἐκυρτοῦτο, οἱ δὲ ἐπὶ τῆς εἰρεσίας καθήμενοι κατεῖχον τὰς κώπας ἐν χεροῖν τετροπημένας ὥσπερ ἐρέττοντες, καὶ οἱ κελευσταὶ διαθέοντες ἐπὶ τῆς ἱστοδόκης, συριγμοῖς τε καὶ κραυγῇ καὶ φραγελλίοις παίοντες τοὺς ἐπὶ τῆς εἰρεσίας ἐρέττειν διεκελεύοντο, αἱ δὲ νῆες ἐπὶ τῆς χέρσου φερόμεναι ὥσπερ ἐπὶ πελάγους, αἱ μὲν ἀνήγοντο διὰ τοῦ ἀνάντους ἐπὶ τὸν λόφον ἄνω, αἱ δὲ πάλιν κατήγοντο διὰ τοῦ κατάντους ἐς τὸν λιμένα, χαλῶσαι τὰ ἱστία ξὺν βοῇ καὶ πατάγῳ πολλῷ. (6) Καὶ ἦν ἰδεῖν θέαμα ξένον καὶ ἀκοαῖς ἄπιστον πλὴν τῶν τεθεαμένων, ναῦς ἐπὶ τῆς μεσογείας φερομένας, ὥσπερ ἐπὶ θαλάσσης πλεούσας μετά γε τῶν πληρωμάτων αὐτῶν καὶ τῶν ἱστίων καὶ τῆς ἄλλης ἀποσκευῆς. (7) Ἐγὼ δὲ νομίζω καὶ τῆς Ξέρξου Ἄθω διορυγῆς μεῖζον εἶναι τοῦτο πολλῷ, καὶ παραδοξότερον καὶ ἰδεῖν καὶ ἀκοῦσαι· μᾶλλον δὲ τοῦτο χθὲς καὶ πρὸ ὀφθαλμῶν ἡμετέρων γεγονὸς βεβαίαν κἀκείνῳ τὴν πίστιν παρέχει τοῦ γενέσθαι, ὡς ἄνευ γε τούτου μῦθος ἂν ἦν ἐκεῖνο καὶ ἐδόκει μάτην λεγόμενον. (8) Κατάγονται τοίνυν ἐν τῷ κόλπῳ τῶν Ψυχρῶν ὑδάτων καλουμένῳ, μικρὸν ἀπωτέρω τοῦ Γαλατᾶ, στόλος οὐ μικρὸς, νῆες ἑπτὰ καὶ ἑξήκοντα, καὶ ὁρμίζονται αὐτοῦ.

XLIII. Ῥωμαῖοι δὲ πρᾶγμα τοσοῦτον παρὰ δόξαν γεγονὸς θεασάμενοι, καὶ τῷ Κέρατι ναῦς πολεμίας ἐφορμοῦντας, ὅπερ οὐκ ἄν ποτε προσεδόκησαν, ἐξεπλάγησάν τε τῷ παραλόγῳ τῆς θέας καὶ ἐς ἀμηχανίαν τε καὶ ἀπορίαν μεγίστην ἐνέπεσον, μὴ ἔχοντες τοῦ λοιποῦ ὅτι καὶ δράσαιεν, ἀλλὰ δὴ καὶ ἀπόγνωσιν· (2) καὶ γὰρ ἀφύλακτον ἔχοντες πρότερον τὸ τοῦ Κέρατος τεῖχος, σταδίους ἐγγύς που τριάκοντα, οὐδὲ οὕτως εἶχον ἀρκούντως τοῖς ἄλλοις τείχεσιν ἔς γε προφυλακήν τε καὶ μάχην οὔτε οἱ ἀστοὶ οὔτε οἱ ξένοι, ἀλλ' ἐπάλξεις δύο καὶ τρεῖς εἶχον ἕνα προπολεμοῦντα· νῦν δὲ καὶ τοῦτο τὸ τεῖχος ἀνοιγὲν τῷ πολέμῳ φυλάττειν ἀνάγκην ἔχοντες, ἠναγκάζοντο τὰς ἄλλας ἐπάλξεις ἀπογυμνοῦν

κειμένας τοῦ Γαλατᾶ ἀπὸ τὸ μέρος τὸ πρὸς ἀνατολὴν κάτωθεν τοῦ Διπλοῦ κίονος ἕως τὸ ἄλλο μέρος τὸ πρὸς τὸν αἰγιαλὸν τοῦ Κερατίου κόλπου κείμενον ἄντικρυ Κοσμηδίου. Καὶ ποιήσαντες τὴν ὁδὸν ὁμαλὴν ὅσον ἐδύναντο, διὰ τῶν φαλαγγίων ἐπιβιβάσας τὰς διήρεις καὶ τὰ ἱστία πτερώσας ἐκέλευσεν ἕλκειν διὰ ξηρᾶς ἐκ τοῦ πορθμοῦ τοῦ Ἱεροῦ στομίου καὶ εἰσάγειν εἰς τὸν Κεράτιον κόλπον τὰ πλοῖα. Ὃ καὶ γέγονεν. Εἵλκοντο δὲ τὰ σκάφη, καὶ ἐν ἑκάστῳ πρωρεὺς καὶ ἄλλος ἐπὶ τῶν οἰάκων καθήμενος, ἕτερος δὲ τὸ πτερὸν κρατῶν τὸ ἱστίον ἐτίνασσεν· ἄλλος τύμπανον, ἕτερος σάλπιγγα κρούων ἐμελῴδει θαλάσσιον μέλος. Phrantzes p. 251, 6 : ἐκ τοῦ ὄπισθεν μέρους τοῦ Γαλατᾶ διὰ τοῦ λόφου ὁδὸν εὐθεῖαν ᾠκονόμησεν. Secundum Barbarum naves a Columnis per trium milliarium spatium tractæ sunt usque ad Perense Galatæ armamentarium (*fino dentro dal navarchio de Pera*). Cui testimonio innitens probabiliter Mordtmannus ductum viæ ejusmodi fuisse censet, ut ex valle quæ est prope *Bechiktach*, in collem Peræ adscenderet, deinde inter *Dimitri* et *Jenicher* suburbia descenderet in vallem quæ juxta *Kasim-pacha* in medium Cornu sinum exit. Fuisse ibi armamentarium Galatinum, sicuti nunc ibidem est Turcicum, consentaneum fuerit. Viæ ejus longitudo 18 fere stadiorum erat, eaque quadrat in tria quæ Barbarus dicit milliaria ex illa milliarii mensura, de qua dixi ad cap. 28. Multo longior via, quam per dorsa collium ductam esse statuendum foret, efficitur, si cum Duca censueris eam exiisse in locum Cosmidio oppositum; nam Cosmidium extra urbem erat ad sinus partem intimam. Similiter Augustinus Justinianus in Chronicis Genuensibus (monente Bullialdo ad Ducam p. 615 ed. Bonn.) naves tractas esse dicit in *Aquas dulces*, quæ in intimo sinus recessu sic etiam nunc vocantur, nec differre mihi videntur ab *Aquis frigidis*, in quas Critobulus noster § 7 naves deductas esse perhibet. || — στάδιοι μάλιστα ὀκτώ] Falsus numerus et haud dubie scribarum errore corruptus. Ex Barbari rationibus pro η' legendum foret ιη' vel κ', at quum reliqua Critobuli narratio longiorem viam postulet, facile fieri potuit, ut η' ortum sit ex μ', sueta harum literarum confusione. Apud Leonardum, ubi : *Jussit invia æquari exque colle suppositis lenitis vasis lacertorum sex, ad stadia septuaginta trahi biremes*, stadiorum numerus excidisse videtur, nam *septuaginta* vox ad navium numerum, quem eundem etiam Chalcocondylas p. 387, 8 præbet, referenda est. || — τούτους δοκοῖς] sic man. sec. supra scriptum; τούτοις δοκούς man. 1.

§ 4. τρόπεις] Vox de trabibus, quæ fulcimento erant et apud Ducam p. 271, 2 φαλάγγια vocantur, intelligenda videtur. || — μαγγάνων] μαγκάνων codex. || — § 5 πατάγῳ πολλῷ] sic margo, ἀλαλαγμῷ text. || — § 7. τῆς Ξέρξου.. μεῖζον] Ducas p. 271, 16 : ἀλλ' ὑπὲρ τὸν Ξέρξην οὗτος. Cf. Pusculus 4, 543. Alia exempla excitat Phrantzes p. 251. Multa congessit Hammerus l. l. 1, p. 543. || — τῶν ψυχρῶν ὑδάτων] Cf. not. ad § 2. || — νῆες ἑπτὰ καὶ ἑξήκοντα] 70 secundum Chalcocond. p. 387 (et Leonard. p. 321); 72 sec. Barbar.; 80 sec. Ducam p. 271, 11 et 281, 11.

XLIII. § 2. τριάκοντα] 35 stadia supra dixit cap. 28, 3, ubi vid. not. || — ἠναγκάζοντο etc.] Leonardus p. 322 : *Jam perdito portu, necesse fuit ex postis, ut maritimos custodiremus muros, diminuere milites.* || — § 3 ἡ γέφυρα] V. not. ad cap. 27, 2.

καὶ μετακομίζειν ἐνταῦθα τοὺς ἄνδρας· ὅπερ ἦν κίνδυνος προφανής, κενουμένου τῶν προμαχομένων τοῦ ἄλλου τείχους, καὶ μὴ ἀρκούντων τῶν ἐγκαταλελειμμένων, ὀλίγων ὄντων, φυλάττειν αὐτό. (3) Οὐ τοῦτο δὲ μόνον ἦν τὸ δεινὸν, ἀλλ' ὅτι καὶ ἡ γέφυρα τέλος λαβοῦσα ὁπλίτας ἐδέχετο καὶ τοξότας διαβαίνοντας ἐπὶ τὸ τεῖχος, καὶ ἔδει φυλάττειν κἀκεῖ· καὶ αἱ πρὸς τῷ στόματι δὲ τοῦ λιμένος καὶ τῇ ἁλύσει ὁλκάδες τε καὶ τριήρεις καὶ αἱ ἄλλαι νῆες ἐν τῷ λιμένι φυλακῆς ἤδη μᾶλλον ἐδέοντο πλείονος, ἔνδοθέν τε καὶ ἔξωθεν πολεμούμεναι. Πολλαχόθεν οὖν αὐτοῖς ἄπορα ἦν τε καὶ ἐδόκει, πλήν γε δὴ οὐκ ἠμέλουν ἐκ τῶν ἐνόντων τῶν δυνατῶν.

XLIV. Ἰουστῖνος γὰρ, ἄρας μίαν τῶν ὁλκάδων αὐτοῦ ἀπὸ τοῦ στόματος τοῦ λιμένος καὶ τῶν Ἰταλικῶν τριήρεων τρεῖς, ἐπάγει κατὰ τὸ στόμα τοῦ κόλπου, οὗ ἐφώρμουν αἱ νῆες τοῦ βασιλέως, καὶ ὁρμίζει αὐτοῦ, ἵν' ἀπ' αὐτῶν ποιοῖτο τὸν πόλεμον, καὶ κατείργῃ τὰς πολεμίας ναῦς ἐν τῷ κόλπῳ, μηδαμοῦ διεκθεούσας ἢ βλάπτειν δυναμένας τόν τε λιμένα καὶ τὰ ἐν αὐτῷ σκάφη. Καὶ ἔδοξε τοῦτο ἀρίστη βουλὴ καὶ ἀντιτέχνησις, πρὸς καιρὸν μέντοι. (2) Μεχέμετις γὰρ ὁ βασιλεὺς τοῦτο γνοὺς ἀντιτεχνᾶται τοιόνδε. Κελεύει τοὺς μηχανοποιοὺς νυκτὸς ἀπαγαγόντας λάθρα τὰς μηχανὰς θεῖναι παρὰ τὸν αἰγιαλὸν ἀντικρὺ οὗ ἐφώρμουν αἱ νῆες καὶ ἡ ὁλκάς, καὶ ἀφεῖναι τοὺς λίθους κατ' αὐτῶν. Οἱ δὲ θᾶσσον τοῦτο ποιήσαντες, βάλλουσι μίαν τῶν τριήρεων κατὰ μέσον καὶ καταδύουσιν αὔτανδρον πλὴν ὀλίγων πάνυ ἀπονηξαμένων ἐς τὰς ἄλλας τριήρεις, καὶ οἱ ἐν αὐταῖς ὄντες εὐθὺς ἀπάγουσί τε αὐτὰς ὡς πορρωτάτω καὶ ὁρμίζουσιν· εἰ γὰρ μὴ τοῦτο τάχος ἐγεγόνει, κατεδύοντ' ἂν αἱ τριήρεις αὔτανδροι καὶ ἡ ὁλκάς, μηδ' αἴσθησιν γοῦν ἡντινοῦν τοῦ κακοῦ σχοῦσαι· οὕτως ἦσαν ἐγγὺς τοῦ διαφθαρῆναι, τῶν μηχανῶν ἑτοίμων οὐσῶν ἀφεῖναι τοὺς λίθους κατ' αὐτῶν. (3) Ῥωμαῖοι μέντοι καὶ τούτου διαμαρτόντες οὐκ εἶχον ὅ τι γε ἕτερον διαπράξονται, μηχαναῖς δὲ μόνον πετροβόλοις ἀπὸ τοῦ τείχους καὶ βέλεσιν ἔβαλλον τὰς ναῦς καὶ ἀνεῖργον ὅποι παρήκοι διεκθεούσας. Ἐπεξέθεον δὲ καὶ τριήρεις τῶν ἀπὸ τοῦ στόματος τοῦ λιμένος, καθ' ἡμέραν διώκουσαί τε αὐτὰς καὶ ἀνείργουσαι τοῦ μή τι βλάπτειν ἐν τῷ λιμένι, πολλάκις δὲ καὶ μέχρι πρὸς τὴν γῆν ἐποκέλλουσαι πρὸς τοὺς ἑαυτῶν, αἱ δὲ πάλιν ὑπέστρεφον, ἀναστρεφουσῶν τῶν τριήρεων, καὶ παρὰ πόδας ἠκολούθουν, βάλλουσαι καὶ βαλλόμεναι· καὶ οὕτω ἠκροβολίζοντο καθ' ἡμέραν.

XLV. Κατὰ δὲ τὰς αὐτὰς ἡμέρας ξυνηνέχθη καὶ τάδε, ἅπερ θεοσημεῖαί τινες ἦσαν καὶ προφοιβασμοὶ τῶν ἐσομένων ὅσον οὐ τῇ πόλει δεινῶν. Πρὸ γὰρ τριῶν ἢ τεττάρων ἡμερῶν τοῦ πολέμου θεοκλητούντων πάντων τῶν ἐν τῇ πόλει ἀνδρῶν ὁμοῦ τε καὶ γυναικῶν, καὶ περιερχομένων αὐτὴν μετὰ τῆς εἰκόνος τῆς θεομήτορος, αὕτη τῶν χειρῶν αἴφνης ἐκπεσοῦσα τῶν κατεχόντων, μηδεμιᾶς ἡστινοσοῦν ἀνάγκης ἢ βίας ἡγησαμένης, πρηνὴς ἔπεσεν ἐπ' ἔδαφος. Πάντων οὖν ἀναβοησάντων εὐθὺς καὶ ξυνδεδραμηκότων ἐς ἀνάστασιν τῆς εἰκόνος, αὕτη μᾶλλον ἐβρίθη κάτω μολύβδου δίκην βαρυνομένη, ὥσπερ ἐνισχημένη τῷ ἐδάφει, καὶ ὅλως δυσαπόσπαστος ἦν. (2) Καὶ τοῦτο ἐφ' ἱκανὴν ὥραν ἐγίνετο, ἕως οὗ

XLIV. § 2. γνοὺς] ἰδὼν mgo. || — 3. διαμαρτόντες.. ἔβαλλον.. ἐποκέλλουσαι] διαμετριῶντες.. ἔβαλον.. ἐπωκέλουσαι codex. De his præter Critobulum unus Ducas p. 277, quamquam paullo aliter, exponit. Τότε, ait, ὁ Λόγγος Ἰουστινιανὸς ἐσκέψατο διὰ τῆς νυκτὸς προσεγγίσαι ταῖς τριήρεσι καὶ ἐμπρῆσαι ταύτας. Καὶ δὴ ἑτοιμάσας μίαν τῶν τριήρεων καὶ βαλὼν ἐν αὐτῇ τοὺς δοκιμωτάτους τῶν Ἰταλῶν καὶ παντοῖα μηχανικὰ σκεύη, ἵσταντο ἐκδεχόμενοι τὴν ὥραν. Οἱ δὲ Γενουῖται τοῦ Γαλατᾶ μαθόντες τὸ δρώμενον ἀπήγγειλαν τοῖς Τούρκοις. Οἱ δὲ τῇ νυκτὶ ἐκείνῃ ἄγρυπνοι διανυκτερεύσαντες καὶ σκεύη ἑτοίμους παραταξάμενοι τοὺς Λατίνους ἐξεδέχοντο. Οἱ δὲ Λατῖνοι μὴ γνόντες τὸ μηνυθὲν παρὰ τῶν τοῦ Γαλατᾶ εἰς τοὺς ἀσεβεῖς, περὶ μέσας νύκτας ἄρσασα τὰς ἀγκύρας ἡ τριήρης ἀψοφητὶ τοῖς πλοίοις πλησιάζων ἦν. Οἱ δὲ Τοῦρκοι ἐν τῇ βοτάνῃ τῆς σκευῆς πῦρ βάλλοντες, καὶ δὴ ἐκπεμφθεὶς ὁ λίθος κατὰ τῆς τριήρεος καὶ σὺν ἤχῳ πλείστῳ κρούσαν αὐτὴν ἔβαλε κάτω ὑποβρύχιον σὺν τοῖς ἐπιβάταις πέμψας εἰς βυθόν. Τοῦτο τοὺς Λατίνους εἰς φόβον καὶ ἀγωνίαν οὐ μικρὰν ἐνέβαλε, καὶ τὸν Ἰωάννην οὐκ εἰς μικρὰν ἀθυμίαν· ἦσαν γὰρ οἱ καταποντισθέντες ἅπαντες ἐκ τῆς αὐτοῦ νηὸς εὔζωνοι νέοι καὶ λίαν πολεμισταὶ ὑπὲρ τοὺς ρν'. Post hæc Ducas narrat Turcos sub diei initium bombardæ ictu demersisse navem Genovensem ad Galatæ portam positam, quæ mercibus onusta in Italiam navigatura erat. Jam quum navis illa Genuensis procul dubio eadem sit, quam jacto e colle Galatæ lapide Turci delevisse dicuntur Maii m. die quinto (Barbar. p. 35. Vid. supra ad cap. 38), Justiniani expeditio secundum Ducæ narrationem ejusdem mensis diei quarto vindicanda foret. Pontis constructio, quam deinceps Ducas narrat, sec. Barbarum pertinet ad diem XIX. Critobuli autem verba si premas (c. 45, 1), Justiniani conamen ad diem XXV ou XXVI Maii referendum foret. Ceterum reputari velim nihil apud Critobulum et Ducam legi de Jacobo Coco Veneto, qui Aprilis die vicesimo octavo naves a Turcis in portum transductas incendere tentavit, sed ausu excidit, quum consilium rei a Genuensibus Mechemeti proditum esset et navis Coci bombardæ lapide frangeretur (V. Barbarus p. 29, Pusculus 4, 574 sqq., Phrantzes p. 259, Leonardus p. 324. Cf. etiam Chalcocondylas p. 337, 17). Hæc ita comparata sunt, ut magná cum probabilitatis specie Ellissenus l. l. p. 67 conjecerit ejusdem rei memoriam variatam subesse iis quæ de Justiniano narrat Ducas, cui nunc addendus Critobulus.

XLV. De hoc miraculo apud ceteros scriptores nihil legitur. Imaginem intellige Deiparæ τῆς ὁδηγητρίας, celeberrimum urbis palladium, de quo vide Ducangium in Const. Christ. lib. 4 p. 90 sq. et Ellissen in not. ad Threnum Constant. l. l. p. 262. Ceterum solennes pompas supplicantium tunc per urbem perambulasse narrant Phrantzes p. 271, 9 (μετὰ τῶν ἁγίων καὶ σεπτῶν εἰκόνων καὶ τῶν θείων ἐκτυπωμάτων ἱερεῖς καὶ μοναχοὶ, γυναῖκές τε καὶ παιδία μετὰ δακρύων διὰ τῶν τειχῶν τῆς πόλεως περιερχόμενοι τὸ κύριε ἐλέησον μετὰ δακρύων ἔκραζον), Puscul. 4, 229 (*matremque Dei effigiemque verendam supplicibus portant votis per mœnia*, etc.), Leonardus p. 330. Cf. Ducas p. 272. Hammer l. l. 1, p. 544. || — § 1. βαρυνομένη] Hæc vox suppletur in margine. || — § 4 προβάντες] sic man. 2; προβῆναι m. 1.

μετὰ βίας πολλῆς καὶ κραυγῆς μεγάλης καὶ δεήσεως πάντων οἵ τε ἱερεῖς καὶ βαστάζοντες μόλις ἀνέστησάν τε αὐτὴν καὶ τοῖς τῶν φερόντων ὤμοις ἐπέθεσαν. (3) Τοῦτο παρὰ δόξαν γεγονὸς φρίκην τε πολλὴν καὶ ἀγωνίαν μεγίστην καὶ φόβον πᾶσιν ἐνέβαλεν· ἐνόμιζον γάρ, ὥσπερ δὴ καὶ ἦν, ἐπ' οὐδενὶ ξυμβόλῳ χρηστῷ τὴν πτῶσιν ταύτην γενέσθαι. (4) Ἔπειτα δὲ οὐκ ἔφθησαν μικρὸν προβάντες, καὶ εὐθὺς μετὰ τοῦτο, μεσημβρίας οὔσης σταθερᾶς, βρονταὶ πολλαὶ καὶ ἀστραπαὶ κατερράγησαν μετὰ νέφους, καὶ ὗσέγε λάβρον ὑετὸν μετὰ χαλάζης σφοδροτάτης, ὥστε μὴ δύνασθαι ἀντέχειν ἢ προβαίνειν ἔτι τούς τε ἱερεῖς καὶ φέροντας τὴν εἰκόνα καὶ τὸ πλῆθος τῶν ἀκολούθων, τῇ φορᾷ τῶν καταφερομένων ὑδάτων καὶ τῇ βίᾳ τῆς χαλάζης βαρυνομένους τε καὶ κωλυομένους. (5) Πολλὰ δὲ καὶ τῶν ἑπομένων παιδαρίων ἐκινδύνευσε παρασυρῆναί τε καὶ ἀποπνιγῆναι, τῇ σφοδρᾷ καὶ βιαίᾳ ῥύμῃ τῶν ὑδάτων παραφερόμενα, εἰ μὴ ἄνδρες εὐθὺς δραττόμενοι μόγις αὐτὰ τῆς φορᾶς τούτων ἐξήρπαζον· οὕτω παράλογόν τι καὶ ἄηθες ἦν τὸ χρῆμα τοῦ ὑετοῦ καὶ τῆς χαλάζης ἐκείνης, ὅπερ ἐδήλου πάντως τὴν ταχίστην τῶν ὅλων ἀπώλειαν, καὶ ὅτι χειμάρρου δίκην καὶ σφοδροτάτων ὑδάτων ἅπαντα οἰχήσεται καὶ παρασυρήσεται.

XLVI. Καὶ τῇ μὲν προτέρᾳ ταῦτα ἐγένετο, τῇ δ' ὑστεραίᾳ ἕωθεν νέφος βαθὺ τὴν πόλιν πᾶσαν περιεκάλυψεν ἀπὸ πρωίας βαθείας ἕως ἑσπέρας. Τοῦτο πάντως ἐδήλου τὴν ἀποδημίαν τοῦ θείου καὶ ἀναχώρησιν ἐκ τῆς πόλεως ἢ τὴν τελείαν ταύτης ἐγκατάλειψιν καὶ ἀποστροφήν· νέφει γὰρ τὸ θεῖον κρυπτόμενον καὶ παραγίνεται καὶ πάλιν ἀπέρχεται. Καὶ ταῦτα μὲν οὕτω. Καὶ ἀπιστείτω μηδείς· πλεῖστοι γὰρ οἱ τούτων μάρτυρές τε καὶ θεαταὶ τῶν τε ξένων καὶ ἀστῶν.

XLVII. Βασιλεὺς δὲ Μεχέμετις, ἐπειδή οἱ πάντα ἦν εὐτρεπῆ καὶ οὐδὲν ἐμποδὼν ἔτι (τό τε γὰρ τεῖχος τό τε ἐντὸς τό τε ἐκτὸς ταῖς μηχαναῖς κατήρριπτο μέχρις ἐδάφους, ἥ τε τάφρος ἐχώσθη πᾶσα, τό τε Κέρας καὶ τὸ κατ' αὐτὸ τεῖχος ἅπαν λαμπρῶς ἠνοίγη τῷ πολέμῳ, καὶ ἀκριβὴς ἦν ἡ πολιορκία πανταχόθεν τῇ πόλει, αἵ τε κλίμακες καὶ οἱ ξύλινοι πύργοι καὶ τὰ ἄλλα πάντα καλῶς ἡτοίμαστο, ὅ τε χρόνος τῆς πολιορκίας ἱκανὸς ἦν· ἡμέραι γὰρ δὴ παρεῖλκον αὐτῇ ἐγγύς που πεντήκοντα, καὶ δέος ἦν μή πού τι καὶ νεοχμώσῃ ἢ καὶ βοήθειά τίς ποθεν ἀπὸ θαλάσσης φανείη· ἤδη γὰρ ἐπυνθάνετο καὶ τὸν ἐν Χίῳ ἀπόστολον τῶν Ἰταλικῶν νεῶν), δεῖν ἔγνω μηκέτι διαμέλλειν, μηδὲ τοῦ λοιποῦ μενετέα οἱ εἶναι, ἀλλὰ πολεμητέα ἐν τάχει, καὶ ἐπιχειρητέα τῇ πόλει πάσῃ σπουδῇ καὶ δυνάμει κατά τε γῆν καὶ θάλασσαν προσβάλλοντι, καὶ πεῖραν ταύτην αὐτῇ μεγίστην τε καὶ τελευταίαν προσενεγκεῖν. (2) Ξυγκαλέσας οὖν πάντας τοὺς ἐν τέλει τε καὶ περὶ αὐτόν, σατράπας τέ φημι καὶ στρατηγοὺς καὶ ἰλάρχας καὶ ταγματάρχας καὶ ἡγεμόνας τῶν τάξεων, ἔτι δὲ χιλιάρχους τε καὶ ἑκατοντάρχους καὶ πεντηκοντάρχους τό τε ἄγημα τοῦ στρατοῦ καὶ τὴν περὶ αὐτὸν πᾶσαν ἴλην καὶ πρὸς τούτοις ναυάρχους τε καὶ τριηράρχους καὶ τὸν ἡγεμόνα τοῦ στόλου παντός, καὶ ξύλλογον ποιήσας ἔλεξε τοιάδε.

XLVIII. « Ἄνδρες φίλοι καὶ τοῦ παρόντος ἀγῶνος ἐμοὶ κοινωνοί, ἐγὼ ὑμᾶς ἐνθάδε ξυνεκάλεσα οὐ ῥαθυμίαν τινὰ καταγνοὺς ὑμῶν ἢ ἀμέλειαν ἐς τόδε τὸ ἔργον, οὐδ' ἵνα προθυμοτέρους ἐς τὸν παρόντα ἀγῶνα ποιήσω·

XLVI. Eodem referenda videntur versus Pusculi 4, 889 :

Candida completo cum Phœbe surgeret orbe
mœsta prodit, fati miseri cladisque propinquæ
nuntia; nam tristis faciem velamine nubis
tecta atræ, mediaque latens plus parte sereno incedit cœlo.

Barbarus quoque p. 46, Maii die vicesimo secundo inde ab hora prima usque ad horam sextam (post solis occasum) lunam obscuratam esse refert. At eo die neque plenilunium neque lunæ eclipsin fuisse monet Mordtmannus p. 77. De alio ostento illis diebus viso vide Phrantzem p. 264, 14 : φῶς ἀστράπτον καταβαῖνον ἐξ οὐρανῶν καὶ δι' ὅλης τῆς νυκτὸς ἄνωθεν τῆς πόλεως ἑστὸς διέσκεπεν αὐτήν.

XLVII. § 1. νεοχμώσῃ] νεωχμώσῃ codex h. l. et alibi. || — Ἰταλικῶν] addit mgo. De re cf. Phrantzes p. 263, 19 : Ἡμῶν δὲ οὕτως ἐχόντων, ἰδού τις φήμη ψευδὴς ἐρρέθη εἰς τὸ ἐναντίον στρατόπεδον, ὅτι ἐκ τῆς Ἰταλίας στόλος εἰς βοήθειαν τῆς πόλεως ἔρχεται, ὁμοίως καὶ ὁ Ἴαγκος ὁ κυβερνήτης τῶν Οὐγγάρων μετὰ πλείστων στρατιῶν ἱππικῶν τε καὶ πεζῶν. Ἀκούσαντες δὲ οἱ υἱοὶ τῆς Ἄγαρ, φόβος διέσχε πλεῖστος αὐτούς. Narrat deinde parum abfuisse quin Mechemetes soluta obsidione recederet, suadente etiam Chalile; at Saganum ducem oratione sua ad meliorem spem animum regis revocasse. Tum vero Chalilem misso nuntio Constantinum de regis consilio certiorem fecisse simulque hortatum esse ne desperaret, quum anceps esset fortuna. Cum Phrantze consentit Leonardus p. 328. || — τοῦ στρατοῦ] Hæc in margine addita. || — § 2 ἴλην] αὐλήν, supra scripto ἴλην, codex.

XLVIII. Orationem breviorem, sed Turcorum ingenio ac moribus magis accommodatam concinnavit Phrantzes p. 269 sq.; aliam habes ap. Chalcocondylam p. 392-397, aliam ap. Pusculum 4, 821-855. Cf. Etiam Leonardus p. 329. Nihil Critobulus tradit de legatis quos Mechemetes ad imperatorem de dedenda urbe misisse ap. Ducam p. 279 dicitur neque de iis, quos Ismaelis suasu imperator ad sultanum misisse perhibetur apud Chalcocondylam l. l.

§ 1. Cf. initium orationis ap. Pusculum :

His quos longa dies atque experientia belli
spectatos reddit, socii, verbo addere vires
credere nempe reor vanum.

πάλαι γὰρ ὁρῶ τοὺς μὲν ὑμῶν τοσαύτῃ προθυμίᾳ καὶ σπουδῇ περὶ τὸ ἔργον κεχρημένους, ὡς πᾶν ὁτιοῦν ἂν μᾶλλον ἑλομένους παθεῖν ἢ ἀπράκτους τῶν ὧδε ἀναχωρῆσαι, τοὺς δὲ οὐ μόνον αὐτούς, ἀλλὰ καὶ τοὺς ἄλλους παροξύνοντας, πάσῃ δυνάμει πρὸς τὸ ἔργον χωρεῖν· (2) οὐ τοίνυν διὰ τοῦτο ὑμᾶς ξυνεκάλεσα, ἀλλ' ὥστε μόνον ἀναμνῆσαι, πρῶτον μὲν ὡς καὶ τὰ παρόντα ἀγαθά, ἃ ἔχετε, οὐ ῥαθυμοῦντες καὶ ἀμελοῦντες, ἀλλὰ καὶ σφόδρα πονοῦντες καὶ μετὰ μεγάλων ἀγώνων τε καὶ κινδύνων μεθ' ἡμῶν ἐκτήσασθε καὶ ἆθλα τῆς ὑμῶν αὐτῶν ἀρετῆς καὶ ἀνδρίας ἔχετε μᾶλλον ἢ τύχης δῶρα· ἔπειτα δέ, ὡς καὶ τὰ νῦν τά τε προκείμενα ἆθλα διδάξαι ὑμᾶς ὅσα καὶ οἷά ἐστι, καὶ τὴν δόξαν ὁπόσην ἔχει μετὰ τοῦ κέρδους καὶ τιμήν, καὶ ἅμα ἵνα γνῶτε καλῶς ἐπὶ μεγίστοις ποιούμενον τὸν ἀγῶνα. (3) Πρῶτον μὲν γὰρ πλοῦτός τέ ἐστι πολὺς καὶ παντοδαπὸς ἐν τῇδε τῇ πόλει, ὁ μὲν ἐν τοῖς βασιλείοις, ὁ δὲ ἐν τοῖς οἴκοις τῶν δυνατῶν, ὁ δὲ ἐν τοῖς τῶν ἰδιωτῶν, ὁ δὲ καλλίων καὶ μείζων ἐν τοῖς ἱεροῖς ἀποκείμενος ἀναθημάτων καὶ κειμηλίων παντοίων ἐκ χρυσοῦ καὶ ἀργύρου κατεσκευασμένων, λίθων τε τιμίων καὶ μαργάρων πολυτελῶν, ἐπίπλων τε ἄπειρόν τι χρῆμα λαμπρῶν, ἄνευ δὴ τῆς ἄλλης κατ' οἶκον κατασκευῆς καὶ περιουσίας· ὧν ἁπάντων ὑμεῖς ἔσεσθε κύριοι· (4) ἔπειτα ἄνδρες ἀγαθοὶ πλεῖστοί τε καὶ τῶν εὖ γεγονότων, ὧν οἱ μὲν δουλεύσουσιν ὑμῖν, οἱ δὲ ἐς ἀπόδοσιν ἔσονται, γυναῖκές τε πλεῖσται καὶ κάλλισται, νέαι καὶ ἀγαθαὶ τὰς ὄψεις, καὶ παρθένοι πρὸς γάμον ὡραῖαι εὐγενεῖς τε καὶ ἐξ εὐγενῶν, καὶ ἀρρένων ὀφθαλμοῖς ἔτι καὶ νῦν ἄβατοι ἔνιαι τούτων καὶ πρὸς γάμους ὁρῶσαι ἐπιφανῶν καὶ μεγάλων ἀνδρῶν, ὧν αἱ μὲν ἔσονται ὑμῖν ἐς γυναῖκας, αἱ δὲ πρὸς θεραπείαν ἀρκέσουσιν, αἱ δὲ πρὸς ἀπόδοσιν, καὶ κερδανεῖτε κατὰ πολλὰ ἔς τε ἀπόλαυσιν ὁμοῦ καὶ θεραπείαν καὶ πλοῦτον· καὶ παῖδες ὁμοίως πλεῖστοι καὶ κάλλιστοι καὶ τῶν εὖ γεγονότων, ἔτι δὲ νεῶν τε κάλλη καὶ δημοσίων οἰκοδομημάτων, καὶ οἰκίαι λαμπραὶ καὶ παράδεισοι καὶ τοιαῦτα πολλὰ ἔς τε θέαν ὁμοῦ καὶ τέρψιν καὶ ἡδονὴν καὶ ἀπόλαυσιν ἱκανά. (5) Καὶ τί δεῖ ταῦτα πάντα καταλέγοντα διατρίβειν; πόλιν μεγάλην καὶ πολυάνθρωπον, βασίλειόν τε τῶν πάλαι Ῥωμαίων, καὶ ἐς ἄκρον εὐδαιμονίας καὶ τύχης καὶ δόξης ἐλάσασαν, κεφαλήν τε γεγενημένην τῆς οἰκουμένης ἁπάσης δίδωμι νῦν ὑμῖν ἐς διαρπαγήν τε καὶ λείαν, πλοῦτον ἄφθονον, ἄνδρας, γυναῖκας, παῖδας, πάντα τὸν ἄλλον αὐτῆς κόσμον καὶ τὴν κατασκευήν· ὧν ἁπάντων ἐμφορηθήσεσθε ὥσπερ ἐν εὐωχίᾳ λαμπρᾷ, καὶ ἐνευδαιμονήσετε τούτοις ὑμεῖς τε, καὶ τοῖς ὑμετέροις παισὶ πλοῦτον πολὺν καταλείψετε, καὶ τὸ μέγιστον, ὅτι πόλιν τοιαύτην αἱρήσετε, ἧς τὸ κλέος πᾶσαν ἐπῆλθε τὴν οἰκουμένην· καὶ δῆλον ὅτι ἐς ὅσον ἔδραμεν ἡ ταύτης ἡγεμονία καὶ δόξα, ἐς τοσοῦτον καὶ τὸ ὑμῶν κλέος ἀφίξεται τῆς ἀνδρίας καὶ ἀρετῆς, πόλιν τοιαύτην ἑλόντων ἐκ προσβολῆς. (6) Καὶ σκοπεῖτε τίς εὐπραξία λαμπροτέρα ἢ τίς ἡδονὴ μείζων ἢ τίς πλούτου περιουσία καλλίων ἢ ἡ μετὰ τιμῆς καὶ δόξης προσέσται ἡμῖν; Τὸ δὲ δὴ μεῖζον πάντων, ὅτι πόλιν ἐχθρῶς ἔχουσαν ἡμῖν ἐξ ἀρχῆς καὶ ἀεὶ ἐπιφυομένην τοῖς ἡμετέροις κακοῖς καὶ πάντα τρόπον ἐπιβουλεύουσαν τὴν ἡμετέραν ἀρχὴν καθαιρήσομεν, καὶ τοῦ λοιποῦ αὐτοί τε βέβαια ἕξομεν τὰ παρόντα ἀγαθά, καὶ ἐν εἰρήνῃ βαθείᾳ καὶ ἀσφαλείᾳ διάξομεν, ἀπαλλαγέντες ἐχθροῦ γειτονήματος, καὶ πρὸς τὰ λοιπὰ θύραν ἀνοίξομεν. (7) Καὶ μήτοι νομίσητε ταῦτα μὲν οὕτως ἔχειν, ἀπόμαχον δὲ εἶναι τὴν πόλιν καὶ τὸ ταύτης τεῖχος δυσπρόσοδόν τε καὶ δύσβατον καὶ κίνδυνον οὐ μικρὸν ἔχον τοῖς ἐπιοῦσιν, ὡς οὐ ῥᾳδίως ὂν ἁλωτόν· ἀλλ' ἰδοὺ γάρ, ὡς ὁρᾶτε, ἡ μὲν τάφρος πᾶσα ἐχώσθη, τὸ δὲ κατὰ γῆν τεῖχος ἐν τρισὶ μέρεσιν οὕτω τοι κατήρριπται, ὡς μὴ μόνον ὁπλίταις τε καὶ εὐζώνοις ἀνδράσιν, ὥσπερ ὑμεῖς, ἀλλὰ καὶ ἵπποις αὐτοῖς καὶ ἱππόταις ὡπλισμένοις καλῶς ῥᾳδίως εἶναι διαβατόν. Οὕτως οὐ τεῖχος ἀπόμαχον ὑμῖν, ἀλλὰ πεδίον ἱππάσιμον δίδωμι διαβῆναι ξὺν ὅπλοις. »

XLIX. « Τὰ δὲ τῶν ἀντιτεταγμένων ἡμῖν τί χρὴ καὶ λέγειν; ἄνδρες γάρ εἰσι πάνυ τε ὀλίγοι καὶ οἱ πλείους ἄοπλοι καὶ πολέμων ἄπειροι· ὡς γὰρ ἔχω πυνθάνεσθαι τῶν αὐτομόλων, μόλις φασὶ δύο ἢ τρεῖς ἄνδρας εἶναι τοὺς ἐν τῷ πύργῳ προμαχομένους καὶ ἑτέρους τοσούτους ἐν τῷ μεταπυργίῳ, ὥστε ξυμβαίνειν ἕνα ἄνδρα προπολεμεῖν τε καὶ προμάχεσθαι τριῶν ἢ τεττάρων ἐπάλξεων, καὶ τοῦτον ἢ ἄοπλον πάντῃ ἢ κακῶς ὡπλισμένον. (2) Πῶς οὖν ἐς τοσοῦτον πλῆθος ἡμῶν ἀρκέσουσιν οὗτοι; καὶ μάλιστα ἡμῶν μὲν ἐκ διαδοχῆς ἀγωνιζομένων καὶ ἀεὶ νεαρῶν ἐπιόντων ἐς τὸ ἔργον, καὶ καιρὸν ἐχόντων καὶ ὕπνον αἱρεῖσθαι καὶ σῖτα καὶ ἀναπαύειν αὑτούς, αὐτῶν δὲ ἀδιακόπως τε καὶ ἐπιτεταμένως μαχομένων ἀεὶ καὶ μηδένα καιρὸν ἐχόντων ἢ ὕπνου ἢ σιτίου ἢ ποτοῦ ἢ ἀναπαύλης ἢ ἄλλου του τῶν τοιούτων μεταλαχεῖν, ἡμῶν ἐπικειμένων τε τῷ πολέμῳ καὶ βιαζόντων. (3) Οὐδὲ γὰρ ἀκροβολισμοῖς ἔτι χρησόμεθα καὶ ἐπεκδρομαῖς καὶ προσβολαῖς καὶ πείραις μόναις, ὥσπερ πρόσθεν, καθὰ νομίζουσιν, ἀλλ' ἀρξαμένων πολεμεῖν ὁ πόλεμος ξυνεχὴς ἔσται καὶ ἀδιάκοπος νύκτωρ καὶ μεθ' ἡμέραν, μηδεμίαν ἔχων ἀνακωχὴν ἢ ἐκεχειρίαν, ἕως ἂν πέρας λάβῃ τὰ κατ' αὐτόν· ὥστε νομίζω τούτους τῷ τε ξυνεχεῖ πολέμῳ καὶ τῷ πόνῳ καὶ τῷ λιμῷ καὶ τῇ ἀγρυπνίᾳ καταπιεσθέντας ῥᾳδίως ἐνδώσειν ἡμῖν. (4) Οἱ δὲ ἐπὶ τοῦ κατερριμμένου τείχους τῶν Ἰταλῶν τεταγ-

§ 4. ἄβατοι] margo, ἄψαυστοι textus, ut infra c. 61, 5. || — ἐπιφανῶν καὶ add. m. 2. || — § 5 τὸ ὑμῶν] man. 2. τὸ ὑμέτερον m. 1. || — § 6. κακοῖς] καλοῖς codex. Cf. supra cap. 14, 14 et cap. 16, 6. || — τὴν ἡμετ. ἀρχὴν] malim τῇ ἀρχῇ, quamquam ferri etiam accusativus potest. || — 7. ὑμεῖς] ὑμῖν?

XLIX. § 2. σῖτα] sic manu 2, σῖτον man. 1; σῖτα habes etiam cap. 52, § 2. || — μεταλαγχάνειν m. 1. || — § 5. σύγ-

μένοι, εἰ καί τῳ δοκοῦσιν ἀπόμαχοι εἶναι καὶ ἱκανοὶ τοὺς ἐπιόντας ἀμύνεσθαι, ὡς καλῶς τε ὡπλισμένοι καὶ πολέμων ἔμπειροι, καὶ μάλιστα τῶν ἐν τοῖς φρουρίοις, ἀλλ' ἐμοὶ καὶ τὰ τούτων ἄπιστα δοκεῖ πάντη καὶ σφαλερά. (5) Πρῶτον μὲν γὰρ οὐκ ἐθελήσουσι νοῦν ἔχοντες ὑπὲρ ἀλλοτρίων ἀγαθῶν μάχεσθαι καὶ πονεῖν καὶ ἐς προὖπτον κίνδυνον ἐμβάλλειν αὑτούς, μηδὲν κερδαίνοντες αὐτοί· ἔπειτα ξύγκλυδές τέ εἰσι καὶ ἄλλοι ἄλλοθεν ξυνεληλυθότες, ἐπὶ τὸ λαβεῖν βλέποντες μόνον καὶ ἀπελθεῖν σῶς, οὐκ ἐπὶ τὸ μαχόμενοι ἀποθανεῖν· ὥστε νῦν μὲν ἀντέχονται πάντως καὶ μένουσιν, ἐκ διαλειμμάτων ἀκροβολιζομένων καὶ μαχομένων ἡμῶν, ὥσπερ ἐν παιδιᾷ, νομίζοντες τοιούτων ἡμῶν πειρᾶσθαι καὶ τοῦ λοιποῦ· (6) ὅταν δὲ ἴδωσι τὸν πόλεμον περιρρέοντα καὶ πανταχόθεν λαμπρῶς ἐπικείμενον καὶ φοβοῦντα καὶ τὸν θάνατον πρὸ ὀφθαλμῶν ἐπαγόμενον, τότε, εὖ οἶδα, μηδὲν μελλήσαντες ὅλως, ῥίψαντες τὰ ὅπλα καὶ νῶτα δόντες ἀποδράσουσιν ἀμεταστρεπτί, καὶ οὐδὲν ἔσται τὸ κωλῦσον αὐτοὺς ἔτι ἢ ἐπισχῆσον ὅλως. (7) Εἰ δὲ καὶ παραμένουσι καὶ ὁπωσοῦν (ἔστω γάρ), ἀλλ' ἡμεῖς αὐτοὺς ῥαδίως τρεψόμεθα ῥώμῃ τε καὶ ἐμπειρίᾳ καὶ τόλμῃ, ὥστε οὐδὲ τούτων ἡγοῦμαι πάνυ τι ἡμῖν εἶναι πρὸς λόγου ἢ φροντίδος ἄξιον ὅλως. »

L. « Δείκνυται τοίνυν ἐξ ἁπάντων μεθ' ἡμῶν εἶναι τὴν νίκην καὶ τὴν πόλιν ἡμῖν ἁλωτήν. Πᾶσα γάρ, ὡς ὁρᾶτε, καθάπερ ἐν σαγήνῃ τινὶ κατά τε γῆν καὶ θάλασσαν ἀποκέκλεισται, καὶ οὐκ ἔνεστιν αὐτῇ τοῦ λοιποῦ τὰ ἡμέτερα ὅπλα καὶ τὰς χεῖρας διαφυγεῖν. (2) Γίνεσθε οὖν ἄνδρες ἀγαθοὶ αὐτοί τε ὑμεῖς, καὶ τοὺς μεθ' ὑμῶν πάντας παρακελεύεσθε ἀκολουθεῖν τε γενναίως ὑμῖν καὶ πάσῃ προθυμίᾳ καὶ σπουδῇ ἐς τὸ ἔργον κεχρῆσθαι, νομίζοντας τοῦ καλῶς πολεμεῖν τρία εἶναι αἴτια, τό τε ἐθέλειν καὶ τὸ αἰσχύνεσθαι καὶ τὸ τοῖς ἄρχουσι πείθεσθαι· τοῦτο δ' ἐστὶ τὴν ἰδίαν ἕκαστον τάξιν καλῶς τηρεῖν καὶ μετὰ σιγῆς καὶ κόσμου ἐς τὸ ἔργον ἰέναι, ὥστε καὶ τῶν παραγγελλομένων ὀξέως τε ἀκούειν αὐτὸν καὶ ἐς τοὺς ἄλλους ταῦτα διαπορθμεύειν ὁμοίως, καὶ ὅτε σιγῶντας ἐπιέναι δέοι, σιγᾶν, καὶ ὁπότε δὲ ἐμβοῆσαι καλὸν καὶ ἐπαλαλάξαι μετὰ κραυγῆς φοβερωτάτης, τοῦτο ποιεῖν· καὶ γὰρ ὡς τὰ πολλὰ κἂν τοῖς ἄλλοις τῶν πολέμων τοῦτο ξυμφέρει, οὐχ ἥκιστα δὲ ἐς τειχομαχίαν· τά τε ἄλλα παραγγέλλετε πᾶσι καλῶς καὶ ἐν κόσμῳ καὶ τάξει πάντα ποιεῖν. (3) Ἀγωνίσασθε οὖν καλῶς καὶ ἀξίως ὑμῶν τε αὐτῶν καὶ τῶν προειργασμένων ὑμῖν, καὶ μήτε ὑμεῖς μαλακισθῆτε, ὁρῶντες περὶ ὅσων ὑμῖν ἐστιν ὁ ἀγών, μήτε τοῖς ἄλλοις ἐνδῶτε τοῖς μεθ' ὑμῶν. Κἀγὼ δὲ αὐτὸς πρῶτος παρέσομαι τῷ ἔργῳ, μεθ' ὑμῶν τε ἀγωνιζόμενος καὶ τῶν ἑκάστῳ δρωμένων θεατής. (4) Καὶ νῦν μὲν ἄπιτε παρὰ τὴν ἰδίαν τάξιν ἕκαστος καὶ σκηνήν, καὶ δειπνοποιεῖσθε καὶ ἀναπαύεσθε καὶ παραγγέλλετε ταῦτα καὶ τοῖς ὑφ' ὑμῖν· ἕωθεν δὲ ἀναστάντες ἐκτάττετε ἕκαστος τὴν ἑαυτοῦ τάξιν καλῶς τε καὶ ξὺν κόσμῳ, μηδενὸς αἰσθανομένου τῶν ἔξω ἢ κατακούοντος ὅλως· ταξάμενοι δὲ μένετε σιωπῇ· ἐπὰν δὲ ἀκούσητε τῶν πολεμικῶν ᾀδόντων καὶ τὸ ξύνθημα ἴδητε, ἐνταῦθα τὸ ἔργον ὑμέτερον. »

LI. « Καὶ σὺ μέν, ὦ Χαμουζᾶ, περιπλέων ταῖς ναυσὶ τὸ κατὰ θάλασσαν τεῖχος, ταῖς μὲν τῶν νεῶν ἀνακωχεύων εἴσω βελῶν, κέλευε τούς τε τοξότας καὶ τοὺς τὰς μηχανὰς ἔχοντας ἐν χεροῖν καὶ τοὺς τούφακας βάλλειν ἀπὸ τῶν καταστρωμάτων τοὺς ἐπὶ τῶν ἐπάλξεων οὕτω τοι πυκνῶς, ὡς μηδαμοῦ τούτους προκύπτειν ἐᾶν ἐς τὰ ἔξω ἢ ὅλως ἔχειν κεχρῆσθαι ἑαυτοῖς τῷ πολέμῳ, τὰς δὲ ἐποκέλλων εἴ ποι παρείκοι τοῦ τείχους, προσάγειν τούτῳ τὰς κλίμακας τοὺς ἐπὶ τούτῳ τεταγμένους, ὥστε ἐπιβαίνειν διὰ τούτων πειρᾶσθαι τοὺς ὁπλίτας τοῦ τείχους. Καὶ οὕτω ἀγωνίζου καλῶς καὶ πειρῶ ἀνὴρ ἀγαθὸς εἶναι. (2) Αὐτὸς δέ, ὦ Ζάγανε, σὺ διαβὰς τὴν γέφυραν ταχέως πρόσβαλε τῷ τοῦ Κέρατος τείχει μάλα εὐρώστως, ἔχων μετὰ σεαυτοῦ καὶ τὰς ἐν τῷ λιμένι ναῦς ξυνεφαπτομένας σοι τοῦ ἔργου, καὶ γίνου ἀνὴρ ἀγαθός. (3) Καὶ σὺ δὲ ὁμοίως, ὦ Καρατζία, ἔχων τοὺς μετὰ σεαυτοῦ καὶ διαβὰς τὴν τάφρον, πρόσμιγε τῷ κατά σε παρερρηγμένῳ τοῦ τείχους, καὶ βιασάμενος τοὺς προμαχομένους ῥωμαλέως πειρῶ ἐπιβαίνειν τούτου, ἀγωνιζόμενος γενναίως ὡς ἀνὴρ ἀγαθός. (4) Καὶ αὐτοὶ δὲ ὑμεῖς, Ἰσαάκ τε καὶ Μαχουμούτα, ἔχοντες τὰς ἰδίας τάξεις διαβαίνετε τὴν τάφρον ἀσφαλῶς καὶ πειρᾶσθε διὰ τῶν κλιμάκων ἐπιβαίνειν τοῦ τείχους, οἱ δὲ τοξόται καὶ οἱ τὰς μηχανὰς ἔχοντες καὶ τοὺς τούφακας, βαλλέτωσαν ἰσχυρῶς τοὺς ἐπὶ τῶν ἐπάλξεων, ὡς ἂν ἧττον ἀπείργωσιν ὑμᾶς τῆς διαβάσεως. (5) Καὶ ὑμεῖς δέ, ὦ Χαλίλη καὶ Σαρατζία, ἑκατέρωθεν ἐμοῦ τὰς τάξεις ἔχοντες καὶ μα-

---

κλυδές] σύγκληδές codex, in quo deinceps: ἐπὶ τῷ λαβεῖν... οὐκ ἐπὶ τῷ. || — § 6. εὖ οἶδα] addit man. 2. || — § 7. ἔστω γὰρ] add. mgo, sicuti in seqq. verba πρὸς λόγου ἢ φροντίδος ἄξιον ὅλως.

L. § 2. Γίνεσθε οὖν etc.] Critobulus ob oculos habuit Brasidæ orationem apud Thucyd. 5, 9, 9, ubi: Καὶ αὐτός τε ἀνὴρ ἀγαθὸς γίγνου..., καὶ ὑμεῖς, ὦ ἄνδρες ξύμμαχοι, ἀκολουθήσατε ἀνδρείως, καὶ νομίσατε εἶναι τοῦ καλῶς πολεμεῖν τὸ ἐθέλειν καὶ αἰσχύνεσθαι καὶ τοῖς ἄρχουσι πείθεσθαι. || — § 3. καὶ μήτε ὑμεῖς μαλακισθῆτε]. Cf. Thucyd. 5, 9, 10: ἀλλὰ μήτε ὑμεῖς μαλακισθῆτε, ὁρῶντες περὶ ὅσων ὁ ἀγών ἐστιν, ἐγὼ δὲ δείξω etc. || — ἐνδῶτε] sc. τὸ μαλακισθῆναι vel μαλακόν τι. Cf. Herodot. 3, 51: μαλακὸν ἐνδιδόναι βουλόμενος οὐδέν. Euripid. Hel. 508: ἢν δ' ἐνδιδῷ μαλακόν τι. || — τοῖς μεθ' ὑμῶν] τῶν μ. ὑ: codex.

LI. § 1. τούφακας] i. e. *fusils*, turcice *toufeng*, neogr. τουφέκια, apud Phrantzen τηλεβολίσκοι, apud Ducam μολυβδοβόλοι. || — κεχρῆσθαι] sic man. 2, χρῆσθαι man. 1. || — διὰ τούτων πειρᾶσθαι] add. margo. || — § 2. πρόσβαλε] sic margo, πρόσμιγε textus etiam hoc loco sicuti § 3. || — § 4. Μαχουμούτα] Μαχουμάτα codex. Cf. 1, 27, 4. || — § 5. Χαλίλη] Χαλήλη codex.

χόμενοι, ὅταν ἐμὲ ἴδητε ἀγωνιζόμενον καὶ πειρώμενον ἐπιβαίνειν κατὰ τὰ παρερρηγμένα τοῦ τείχους, βιαζόμενόν τε τοὺς Ἰταλοὺς καὶ τοῖς μετ' ἐμοῦ πάροδον ἀνοίγοντα ἐς τὴν πόλιν, πειρᾶσθε τρόπῳ παντὶ ἑκατέρωθεν ἀπείργειν τοὺς κατὰ πρόσωπον ὑμῖν ἀντιτεταγμένους, προσβάλλοντες ἰσχυρῶς, ὡς ἂν μὴ σχολὴν ἄγοντες ἀφ' ὑμῶν, ἧττον προσέχωσιν ἡμῖν καὶ μηδαμοῦ προσβοηθῶσι τοῖς ὑφ' ἡμῶν βιαζομένοις. Καὶ τὸ ἀπὸ τοῦδε τῶν λοιπῶν ἔμοιγε πάντων μελήσει. Ἀλλ' ἄπιτε πρὸς τὰς σκηνὰς καὶ τὰς τάξεις ὑμῶν ἀγαθῇ τύχῃ, καὶ δειπνοποιησάμενοι ἀναπαύεσθε.»

LII. Τοσαῦτα εἰπὼν διέλυσε τὸν ξύλλογον, καὶ ἀπῆλθον ἕκαστος ἐς τὰς ἑαυτῶν τάξεις τε καὶ σκηνάς, καὶ αὐτὸς δὲ δειπνοποιησάμενος ἀνεπαύετο. Ἕωθεν δὲ ἀναστὰς καλεῖ πρῶτον τοὺς μηχανοποιοὺς καὶ κελεύει τὰς μηχανὰς ἑτοιμάσαντας τρέψαι κατὰ τὰ παρερρηγμένα τοῦ τείχους, ἵνα, ὅταν ᾖ καιρός, κατὰ τῶν ταύτῃ προμαχομένων ἀφῶσιν αὐτάς. (2) Ἔπειτα ξυγκαλέσας τὰς περὶ αὐτὸν ἴλας καὶ τάξεις, ὁπλίτας τέ φημι καὶ ὑπασπιστὰς καὶ τοξότας καὶ τὴν βασιλικὴν πᾶσαν αὐλήν, ἐκτάττει καλῶς κατὰ ξυμμορίας τε καὶ ξυσσιτίας καὶ ξυνωμοσίας καὶ τάξεις, ἀνὰ χιλίους ἢ καὶ πλείους τὸν ἀριθμόν, καὶ κελεύει τούτους ἐκ διαδοχῆς ἀγωνίζεσθαι, ὅταν ἐς τοῦτο καταστῶσι, καὶ τοὺς μὲν πολεμεῖν τε καὶ μάχεσθαι, τοὺς δὲ ὕπνον αἱρεῖσθαι καὶ σιτία καὶ ἀναπαύειν αὑτούς, ἵν' ὦσι νεαροὶ πάλιν πρὸς τὸν ἀγῶνα, καὶ τούτους πάλιν ἑτέρους διαδέχεσθαι, καὶ οὕτω τάξεως τάξιν διαδεχομένης ἀεὶ καὶ ἀναπαυούσης, ἀδιάκοπόν τε καὶ ξυνεχῆ γίνεσθαι τὸν πόλεμον, ὡς ἂν μηδεμία ἀνακωχή τις ἢ ἐκεχειρία ᾖ τῷ πολέμῳ τοῖς ἀντιτεταγμένοις. Ἀποτάττει δὲ καὶ τόπον ἑκάστῳ καὶ καιρὸν καὶ τάξιν, καὶ παραγγέλλει πῶς δεῖ καὶ ποῦ καὶ πότε ἀγωνίζεσθαι καλόν. (3) Ἔπειτα παριππεύων περιῄει τὰς ἄλλας τάξεις ἁπάσας, ἀποσκοπῶν τε αὐτὰς καὶ παρακελευόμενος καὶ κοινῇ πᾶσι καὶ ἰδίᾳ ἑκάστῳ καὶ παραθαρρύνων καὶ παροτρύνων πρὸς τὸν ἀγῶνα, καὶ μάλιστα δὴ τοὺς ἡγεμόνας τῶν τάξεων, ἐξ ὀνόματος πάντας καλῶν. (4) Περιελθὼν οὖν πᾶσαν τὴν στρατιὰν καὶ τὸ τεῖχος ἀπὸ θαλάσσης ἐς θάλασσαν καὶ παραγγείλας ἃ δεῖ καὶ παρακαλέσας καὶ παροξύνας ἅπαντας ἐς τὸ πολεμεῖν καὶ παρακελευσάμενος ἄνδρας ἀγαθοὺς γενέσθαι, κελεύει ἑστιαθέντας ἀναπαύεσθαι, ἕως ἂν ᾄσῃ τὸ πολεμικὸν καὶ τὸ ξύνθημα ἴδωσι. Δράσας δὲ ταῦτα ἀνεχώρησεν ἐς τὴν ἑαυτοῦ σκηνήν, καὶ ἑστιαθεὶς ἀνεπαύετο.

LIII. Ῥωμαῖοι δὲ σιωπὴν τοσαύτην ἐν τῇ στρατιᾷ καὶ ἠρεμίαν ὁρῶντες παρὰ τὸ ξύνηθες ἐθαύμαζόν τε τὸ πρᾶγμα καὶ ἐς διαφόρους λογισμοὺς καὶ ἐννοίας ἐνέπιπτον, οἱ μὲν νομίζοντες ἑτοιμασίαν εἶναι ἐς ἀναχώρησιν, οὐκ ὀρθῶς δοκοῦντες, οἱ δέ, ὅπερ καὶ ἦν, παρασκευὴν ἐς τὸν πόλεμον καὶ ἑτοιμασίαν, ὃν ὅσον οὐ προσεδόκων, καὶ διεβοῶντο καὶ αὐτοὶ πρὸς ἀλλήλους ἡσυχῇ, καὶ πρὸς τὰς ἑαυτῶν τάξεις ἐχώρουν ἕκαστος, τά τε ἄλλα παρεσκευάζοντο.

LIV. Βασιλεὺς δέ, ἐπεὶ ὥρα τε ἦν ἤδη κλινούσης ἡμέρας, ἐγγύς που περὶ δείλην, καὶ ὁ ἥλιος κατὰ νῶτόν τε αὐτῶν ἐγένετο καὶ τοῖς ἐναντίοις κατὰ πρόσωπον, ὅπερ ἐβούλετο, ἐνταῦθα δὴ κελεύει πρῶτον ᾆσαι τάς τε σάλπιγγας τὸ πολεμικὸν καὶ τὰ ἄλλα ὄργανα τούς τε αὐλοὺς καὶ τὰς σύριγγας καὶ τὰ κύμβαλα πάνυ ἰσχυρῶς ὡς οἷόν τε. Καὶ οὕτως αἵ τε σάλπιγγες πᾶσαι τῶν ἄλλων τάξεων καὶ τὰ ὄργανα ἐκ διαδοχῆς ἤχησαν μέγα καὶ φοβερὸν ὁμοῦ πάντα, καὶ τὸ πᾶν ἐσείσθη καὶ διεδονήθη τῇ περιηχήσει τούτων. (2) Ἔπειτα ἤρθη τὰ σημεῖα· καὶ οἱ τοξόται πρῶτοι καὶ σφενδονῆται καὶ οἱ τὰς μηχανὰς καὶ τοὺς τούφακας ἔχοντες (οὕτω γὰρ ἐτέτακτο αὐτοῖς) κατέβαινον ἐπὶ

LII. § 2. πᾶσαν ante αὐλὴν addit m. 2. || — ξυνωμοσίας] συνομοτίας codex h. l. et cap, 61, 4. || — ἀδιάκοπον. συνεχῆ] sic man. 2; ἀδιακόπως... συνεχῶς man. 1. || — τις post ἀνακωχή add. man. 2. || — καλόν] Aut hanc vocem aut vocem δεῖ abesse velim, nisi forte pro καλὸν scribendum καλῶς.

LIII. Σιωπὴν τοσαύτην] Ingentes clamores et ignes per castra ubique incensi oppidanis indicarunt ad ultimum assultum Turcos accingi, ut tradunt Phrantzes p. 269-280, Leonardus p. 329, Ducas 281. Cf. Barbari Diarium ad Maii dies 26 et 27 et 28.

LIV. Secundum Ducam p. 282, 15 Mechemetes ἤρξατο ἡμέρᾳ κυριακῇ συνάπτειν πόλεμον καθολικόν· καὶ δὴ ἑσπέρας γενομένης οὐκ ἔδωκεν ἀνάπαυσιν τοῖς Ῥωμαίοις τῇ νυκτὶ ἐκείνῃ· ἦν γὰρ ἡ κυριακὴ ἐκείνη τῶν ἁγίων πάντων, ἄγων ὁ Μάϊος ἡμέρας κζ'. Ab eodem Maii die XXVII Phrantzes quoque ultimi certaminis initium computat, si quidem p. 288, 16 Turcos dicit urbe potitos esse ἡμέρᾳ τρίτῃ. Ὥρα ἦν ἡμέρας β' καὶ Ἥμισυ, τοῦ ἔτους ,ϛϡξά, τῇ κθ' μηνὸς Μαΐου. Per totum diem bombardarum lapidibus muros impetitos esse refert Barbarus. Critobulus oppugnationis hoc die factæ non meminit. Sequente die, sec. Ducam, remissius pugnatum est (bombardis, puta) usque ad diei horam nonam. Μετὰ δὲ τὴν ἐννάτην, pergit, διεῖλε τὸν στρατὸν ἀπὸ τοῦ παλατίου μέχρι τῆς Χρυσῆς, καὶ τὰ ὀγδοήκοντα πλοῖα ἀπὸ τῆς Ξυλοπόρτης ἄχρι τῆς Πλατέας. Τὰ δὲ ἕτερα ἱστάμενα ἐν τῷ Διπλοκιονίῳ περιεκύκλωσαν ἀπὸ τῆς Ὡραίας πύλης διαβάντα τὸν Μεγαδημήτριον τὴν ἀκρόπολιν· καὶ τὴν πόρτην τὴν μικρὰν τὴν ἐν τῇ μονῇ τῆς Ὁδηγητρίας, καταβάντες τὸ μέγα παλάτιον καὶ διαβάντες τὸν λιμένα περιεκύκλωσαν ἄχρι τοῦ Βλάγκα... Δύναντος οὖν τοῦ ἡλίου τὸ ἐνυάλιον ἤχησε, καὶ αὐτὸς ὁ τύραννος ἔφιππος τῇ δευτέρᾳ ἑσπέρας, καὶ ἦν ἡ παράταξις μεγάλη σφόδρα etc. Similiter Critobulus ultimum assultum, quo capta urbs est, jam inde a vespere diei XXVIII initium sumsisse narrat. At audiendi potius testes qui ipsis rebus interfuerunt, Barbarus p. 49 sq. et Phrantzes p. 280. Secundum hos Turci die et vespere XXVII omnia quæ ad urbem ultimo certamine expugnandam necessaria esse viderentur, præpararunt, ad ipsum vero assultum non accesserunt nisi primo mane diei XXIX. Phrantzes, qui tum una cum imperatore muros obiit, περὶ δὲ δευτέραν ἀλεκτροφωνίαν, inquit, ἄνευ σημείου τινὸς, καθὼς καὶ ἄλλαις ἡμέραις προεποίουν, τὸν πόλεμον ἀνῆψαν μετὰ μεγάλης σπουδῆς καὶ βίας. Quod ipsam pugnam attinet, Phrantzem et Barbarum adeas; reliqui scriptores minoris sunt momenti.

τὸ τεῖχος σχολῇ καὶ βάδην· ὡς δ' ἔσω βέλους ἐγένοντο, καταστάντες ἐμάχοντο. Καὶ πρῶτα μὲν ἀκροβολισμοῖς ἰσχυροῖς ἐχρήσαντο πρὸς ἀλλήλους ἑκάτεροι, τοῖς τε ἀπὸ τῶν τοξοτῶν βέλεσι τοῖς τε ἀπὸ τῶν σφενδονητῶν λίθοις καὶ τοῖς ἀπὸ τῶν μηχανῶν καὶ τουφάκων ἀφιεμένοις σιδηροῖς καὶ μολυβδίνοις βόλοις, ἔτι δὲ παλτοῖς καὶ δορατίοις, ὡς μᾶλλον ἐπλησίαζον, βάλλοντες ἀλλήλους καὶ βαλλόμενοι ἀνοικτὶ ξὺν ὀργῇ καὶ θυμῷ πολλῷ· καὶ κραυγὴ ἦν παρ' ἀμφοτέρων ἰσχυρὰ καὶ βλασφημία καὶ ὕβρις· καὶ πολλοὶ μὲν ἐτιτρώσκοντο, ἐξ ἑκατέρου μέρους, οὐκ ὀλίγοι δὲ καὶ ἀπέθνησκον. Καὶ τοῦτο ἐγίνετο μέχρις ἡλίου δυσμῶν δύο ἢ τριῶν που ὡρῶν διάστημα.

LV. Ἔπειτα μέγα βοήσας ὁ βασιλεὺς καλεῖ τούς τε ὑπασπιστὰς καὶ ὁπλίτας καὶ τὸ ἄλλο ἄγημα, εἰπών· « Ἴτε, φίλοι καὶ παῖδες ἐμοί· καιρός ἐστιν ἄνδρας ἀγαθοὺς ὑμᾶς φανῆναι. » Οἱ δ' εὐθὺς ξὺν βοῇ καὶ ἀλαλαγμῷ φρικαλέῳ διαβάντες τὴν τάφρον προσέμιξαν τῷ ἔξω τείχει· τὸ δὲ ὅλον κατέρριπτο ταῖς μηχαναῖς· σταυρώματα δὲ μόνον ἦσαν ἀντὶ τείχους αὐτοῦ μεγάλων δοκῶν καὶ φάκελοι κλημάτων καὶ ἄλλης ὕλης καὶ ἀμφορεῖς μεστοὶ γῆς. (2) Ἐνταῦθα ξυνίσταται μάχη καρτερὰ ἐκ χειρῶν ἀγχεμάχοις ὅπλοις, τῶν μὲν ὁπλιτῶν καὶ ὑπασπιστῶν ἀγωνιζομένων βιάσασθαί τε τοὺς προμαχομένους καὶ ἐπιβῆναι τοῦ σταυρώματος, τῶν δὲ Ῥωμαίων καὶ Ἰταλῶν ἀπώσασθαί τε τούτους καὶ φυλάξαι τὸ σταύρωμα. Καί ποτε μὲν ἐπέβαινον τοῦ τείχους καὶ τοῦ σταυρώματος οἱ ὁπλῖται θρασέως τε καὶ ξὺν οὐδενὶ λογισμῷ βιαζόμενοι· ποτὲ δὲ ἀπεκρούοντο ἰσχυρῶς καὶ ἐλαύνοντο· καὶ ὁ βασιλεὺς εἵπετο αὐτοῖς ἀγωνιζόμενός τε γενναίως καὶ παροξύνων αὐτούς. (3) Ἐνταῦθα κελεύει καὶ τοὺς μηχανοποιοὺς πῦρ ἐπιβαλεῖν ταῖς μηχαναῖς· αἱ δὲ ἀναφθεῖσαι ἀφῆκαν τοὺς λίθους κατὰ τῶν προμαχομένων καὶ φόνον οὐκ ὀλίγον ἐξ ἑκατέρου μέρους τῶν προστυχόντων εἰργάσαντο. (4) Οὕτως οὖν εὐρώστως τε καὶ γενναίως ἀγωνιζομένων ἀμφοτέρων καὶ μαχομένων, τὸ πλέον τῆς νυκτὸς παρεληλύθει· καὶ ἐκράτουν καὶ ἴσχυον οὐ μικρῶς οἱ Ῥωμαῖοι καὶ Ἰουστῖνος μετὰ τῶν ξὺν αὐτῷ, κατέχοντές τε ἀσφαλῶς τὸ σταύρωμα καὶ φυλάσσοντες, καὶ ἀμυνόμενοι τοὺς ἐπιόντας γενναίως. Καὶ ταύτῃ μὲν οὕτως.

LVI. Οἱ δὲ ἄλλοι στρατηγοὶ καὶ σατράπαι μετὰ τῶν ἰδίων τάξεων, ἀλλὰ δὴ καὶ ὁ τῶν νεῶν ἡγεμών, προσβάλλοντες καὶ αὐτοὶ τῷ τείχει κατὰ γῆν τε καὶ θάλασσαν ταῖς ναυσὶ ἐμάχοντο ἰσχυρῶς, οἱ μὲν τοῖς ἀπὸ τῶν τοξοτῶν βέλεσι καὶ τοῖς ἀπὸ τῶν μηχανῶν ἀφιεμένοις, οἱ δὲ κλίμακας προσάγοντες τῷ τείχει καὶ γεφύρας καὶ πύργους ξυλίνους καὶ μηχανὰς παντοίας. Καί τινες αὐτῶν που ξὺν βίᾳ καὶ ἐπιβαίνειν ἐπειρῶντο τοῦ τείχους, καὶ μάλιστα δὴ ᾗ ὁ Ζάγανος ἐπετέτακτο καὶ ὁ Καρατζίας. (2) Ὁ μὲν γὰρ, ὁ Ζάγανος, διαβὰς τὴν γέφυραν ἀσφαλῶς καὶ κλίμακας ἐπαγαγὼν τῷ τείχει καὶ γεφύρας ἀναβιβάζειν ἐπειρᾶτο τοὺς ὁπλίτας ξὺν βίᾳ, ἔχων καὶ τοὺς ἀπὸ τῶν ἐντὸς τοῦ λιμένος νεῶν τοξότας τε καὶ τουφακοφόρους βάλλοντας ἀπὸ τῶν καταστρωμάτων ἐξ ὑπερδεξίων τοὺς ἐπὶ τῶν ἐπάλξεων ἰσχυρῶς, περιπλεουσῶν τῶν νεῶν. (3) Καρατζίας δὲ διαβὰς τὴν τάφρον καὶ γενναίως ἀγωνιζόμενος, ἔσω τοῦ παρερρηγμένου τείχους ἐβιάζετο παρελθεῖν. (4) Οἱ δὲ Ῥωμαῖοι καὶ τούτους ἰσχυρῶς ἀπεκρούοντο καὶ ἀπεωθοῦντο λαμπρῶς, ἀμυνόμενοί τε γενναίως καὶ τῷ πολέμῳ καθυπερτεροῦντες καὶ ἄνδρες ἀγαθοὶ γινόμενοι· οὐδὲν γὰρ ὅλως αὐτοὺς ἠδυνήθη παρατρέψαι τῶν γινομένων, οὐ λιμὸς ἐπικείμενος, οὐκ ἀγρυπνία, οὐ πόλεμος ξυνεχής τε καὶ ἀδιάκοπος, οὐ τραύματα καὶ σφαγαὶ καὶ θάνατοι τῶν οἰκείων πρὸ ὀφθαλμῶν δρώμενοι, οὐκ ἄλλο τῶν φοβερῶν οὐδὲ ἕν, ὥστε ἐνδοῦναί τι καὶ καθυφεῖναι τῆς πρόσθεν ὁρμῆς τε καὶ γνώμης, ἀλλ' ἐτήρησαν γενναίως τὴν ἐξ ἀρχῆς ἔνστασιν διὰ πάντων, ἕως ἡ πονηρὰ καὶ ἀγνώμων τύχη προὔδωκε τούτους.

LVII. Μεχέμετις γὰρ ὁ βασιλεὺς, ἐπειδὴ τὰς προβεβλημένας οἱ τάξεις ἑώρα σφόδρα τῷ πολέμῳ πεπονηκυίας, καὶ μηδὲν περαινούσας ὅ τι καὶ λόγου ἄξιον, καὶ τοὺς Ῥωμαίους καὶ Ἰταλοὺς εὐρώστως τε ἀγωνιζομένους καὶ τῷ πολέμῳ πλεονεκτοῦντας, ἐνταῦθα δὴ σφόδρα ἀγανακτήσας καὶ οὐκέτι ἀνασχετὰ ἡγησάμενος εἶναι, αὐτίκα πάσας ἐπάγει τὰς τάξεις, ἃς ἐς ὕστερον ἐταμιεύετο, ἄνδρας εὐοπλοτάτους τε καὶ εὐτολμοτάτους καὶ εὐθαρσεστάτους ἅμα καὶ τῶν ἄλλων ἐμπειρίᾳ καὶ ῥώμῃ πολλῷ προέχοντας· οἱ δὲ ἦσαν τὸ καθαρώτατον τοῦ στρατοῦ, ὁπλῖται καὶ τοξόται καὶ ἀκοντισταὶ καὶ ἡ περὶ αὐτὸν τάξις τῶν τε ἄλλων καὶ τῶν καλουμένων δὴ γενητζάρων· οἷς μέγα βοήσας καὶ παρακελευσάμενος ἀνδράσιν ἀγαθοῖς νῦν ἤδη φανῆναι, ἡγεῖτο τὴν ἐπὶ τὸ τεῖχος πρῶτος αὐτὸς μέχρι τῆς τάφρου. (2) Κἀνταῦθα δὴ τοὺς μὲν τοξότας τε καὶ σφενδονήτας καὶ τοὺς τούφακας ἔχοντας πόρρωθεν ἱσταμένους ἐκέλευσε βάλλειν ἐξ ὑπερδεξίων τοὺς ἐπὶ τοῦ σταυρώματος καὶ τοῦ παρερρηγμένου τείχους προμαχομένους οὕτω πυκνῶς ὥστε μηκέτι ἑαυτοῖς τῷ πολέμῳ ἔχειν κεχρῆσθαι, μηδὲ ἐς τὰ ἔξω προκύπτειν δύνασθαι τῷ πλήθει τῶν ἀφιεμένων

LV. § 4. Καὶ ἴσχυον οὐ μικρῶς] Hæc adduntur in margine. Phrantzes p. 281, 16 : Καὶ ὥραις μὲν δύο ἡ μάχη ἐνεστήκει στενοῦσα καὶ φρικαλέα, ἦν δέ πως τὰ τῶν Χριστιανῶν ἐπικρατέστερα.

LVI. § 3. γενναίως] sic mgo, ῥωμαλαίως cod. ‖ — παρελθεῖν] παρεθεῖν cod. ‖ — § 4. δρώμενοι] sic mgo, κείμενοι text. De re cf. Phr. p. 281, 18 : Καὶ γὰρ αἱ κλιμακοφόροι τριήρεις σὺν τῇ γεφύρᾳ ἄπρακτοι τῶν τειχῶν τῶν ὕδραιων ἀπεκρούσθησαν, καὶ τὰ τῶν λίθων ἐκ τῆς πόλεως ἀφετήρια πλείστους τῶν ἐναντίων Ἀγαρηνῶν διέφθειραν, καὶ ἐκ τῆς χέρσου μέρους τὰ ὅμοια τοὺς ἐναντίους καὶ χεῖρον ἐδεξιώσαντο. Cf. Pusculus 4, 939-972.

LVII. § 2. μηκέτι ἑαυτοῖς] sic margo ; μ. τούτους text.

βελῶν καὶ τῶν ἄλλων, νιφάδων δίκην, πιπτόντων· τοῖς δὲ ἄλλοις ὁπλίταις τε καὶ ὑπασπισταῖς ἐσήμηνε διαβάντας τὴν τάφρον σπουδῇ προσμῖξαι τῷ σταυρώματι. (3) Οἱ δὲ ἀλαλάξαντες μέγα καὶ φοβερὸν ξὺν ὀργῇ καὶ θυμῷ, μαινομένων δίκην, ἐπίασιν· ἅτε γὰρ νεαροὶ ὄντες καὶ ῥωμαλέοι καὶ θράσους μεστοὶ καὶ ἔμπροσθεν τοῦ βασιλέως μαχόμενοι οὐδὲν ἠφίεσαν ὁρμῆς, ἀλλὰ προσμίξαντες τῷ σταυρώματι θρασέως τε καὶ ξὺν οὐδενὶ λογισμῷ καὶ κόσμῳ ἐμάχοντο, κατασπῶντές τε τοὺς προβεβλημένους ἀμφορέας, τάς τε κεραίας ξυγκλῶντες καὶ τὴν ἄλλην ξυμπεφορημένην ὕλην σκεδαννύντες καὶ βιαζόμενοι τρέψασθαί τε τοὺς προμαχομένους καὶ εἴσω τοῦ σταυρώματος παρελθεῖν.

LVIII. Ἰουστῖνος δὲ μετὰ τῶν ξὺν αὐτῷ καὶ οἱ ταύτῃ ὄντες Ῥωμαῖοι εὐρώστως ἀγωνιζόμενοι ξυστοῖς καὶ παλτοῖς καὶ ἀκοντίοις καὶ δόρασι μακροῖς καὶ τοιούτοις τισὶ ἀγχεμάχοις ὅπλοις (ἐν χεροῖν γὰρ ἦν ἡ μάχη), κατεῖχόν τε αὐτοὺς τῆς ὁρμῆς, καὶ ἀνεῖργον εἴσω τοῦ σταυρώματος παρελθεῖν. (2) Ἦν οὖν παρ' ἀμφοτέρων κραυγὴ πολλὴ καὶ βία ξυμμιγὴς βλασφημούντων, ὑβριζόντων, ἀπειλούντων, ὠθούντων, ὠθουμένων, βαλλόντων, βαλλομένων, κτεινόντων, κτεινομένων, παντὰ δεινὰ ποιούντων μετὰ θυμοῦ καὶ ὀργῆς· καὶ ἦν ἰδεῖν ἐνταῦθα μάχην κρατερὰν ξυνισταμένην τε καὶ ξυσταδὸν γινομένην μετὰ φρονήματος μεγίστου καὶ ὑπὲρ μεγίστων ἄθλων μαχομένων γενναίως ἀνδρῶν, τῶν μὲν φιλονεικούντων πάσῃ δυνάμει βιάσασθαί τε τοὺς ἀνθισταμένους καὶ κατασχεῖν τὸ τεῖχος καὶ ἔσω τῆς πόλεως παρελθεῖν ἐπὶ παῖδας καὶ γυναῖκας καὶ τὰ τιμιώτατα, τῶν δὲ ἀγωνιζομένων καλῶς ἀπώσασθαί τε τούτους καὶ φυλάξαι τὰ ὄντα ἀγαθά, εἰ καὶ μὴ διὰ τέλους ἴσχυσαν ὑπερσχεῖν καὶ ταῦτα φυλάξαι. (3) Ἀλλ' ἔδει ποτὲ καὶ τοὺς ταλαιπώρους Ῥωμαίους τῷ τῆς δουλείας ὑπαχθῆναι ζυγῷ καὶ τῶν ταύτης πειραθῆναι δυσκόλων· ἤδη γὰρ μαχομένων γενναίως καὶ προθυμίας καὶ τόλμης οὐδὲν ἐλλειπόντων ἐς τὸν ἀγῶνα, βάλλεται μὲν Ἰουστῖνος καιρίαν βέλει τῶν ἀπὸ μηχανῆς κατὰ τοῦ στέρνου διὰ τοῦ θώρακος διαμπάξ, καὶ βληθεὶς πίπτει αὐτοῦ, καὶ ἀποκομίζεται ἐς τὴν ἰδίαν σκηνὴν κακῶς ἔχων. Ἐκλύονται δὲ οἱ μετ' αὐτοῦ πάντες ἀπειρηκότες τῷ πάθει, καὶ καταλείψαντες τό τε σταύρωμα καὶ τὸ τεῖχος ἵνα ἐμάχοντο, πρὸς ἓν μόνον ἑώρων, ἀποκομίσαι τε τοῦτον ἐν ταῖς ὁλκάσι καὶ αὐτοὶ ἀποκομισθῆναι σῶς, καίτοι τοῦ βασιλέως Κωνσταντίνου πολλὰ παρακαλοῦντος αὐτοὺς καὶ ὑπεσχημένου μικρὸν παραμεῖναι, ἕως ἂν ὁ πόλεμος λωφήσῃ· οἱ δ' οὐκ ἐδέξαντο, ἀλλ' ἀναλαβόντες τὸν ἡγεμόνα σφῶν, ὡπλισμένοι ἐχώρουν ἐπὶ τὰς ὁλκάδας σπουδῇ καὶ δρόμῳ, μηδενὸς ἐπιστρεφόμενοι τῶν ἄλλων.

LIX. Βασιλεὺς δὲ Κωνσταντῖνος ἀπαγορεύσας τοῖς ὅπλοις καὶ μηδ' ὅλως ἔχων ὅ τι καὶ δράσειεν (οὐδὲ γὰρ εἶχεν ἄνδρας ἑτέρους ἀναπληρῶσαι τοὺς ἀπολειφθέντας τόπους καὶ τὰς τάξεις τῶν ἀπελθόντων εὐθύς, ἐπικειμένου τε τοῦ πολέμου σφοδρῶς καὶ πάντων ἐς τὰς ἰδίας τάξεις τε καὶ τοὺς τόπους ὁρώντων τε καὶ ἀγωνιζομένων), ὅμως γε μὴν μετὰ τῶν ἀπολειφθέντων Ῥωμαίων αὐτοῦ καὶ τῶν μετ' αὐτοῦ, εὐαριθμήτων πάνυ, στὰς πρὸ τοῦ σταυρώματος ἀπεμάχετο γενναίως.

LX. Μεχέμετις δὲ ὁ βασιλεὺς κατανοήσας τό τε σταύρωμα καὶ τὸ ἄλλο κατερριμμένον τοῦ τείχους

LVIII, § 2. ἦν οὖν etc.] Cf. 1, 40, 5, ubi eadem fere. || — ἀγωνιζ. καλῶς] ἀγ. γενναίως margo. || — § 3. δυσκόλων] κακῶν mgo. || — βάλλεται Ἰουστῖνος καιρίαν etc.] « Augustinus Justinianus in Annalibus et Folieta lib. 10 vulnus letale ipsum accepisse scribunt » Bullialdus ad Ducam p. 620. Ceteri aliter rem tradidere. Phrantzes p. 283, 18: Καὶ ταῦτα τοῦ βασιλέως λέγοντος, Ἰωάννης ὁ Ἰουστινιανὸς ἐπλήγη τόξου βέλει ἐν τοῖς σκέλεσιν ἐπὶ τὸν δεξιὸν πόδα. Αὐτὸς δὲ, ὡς εἶδε τὸ αἷμα ῥέειν ἐκ τοῦ σώματος αὐτοῦ, ὅλος ἠλλοιώθη, καὶ ἣν προέδειξεν ἀνδρίαν ἐκ τοῦ φόβου ἔχασε, καὶ ἀνωφελῶς μετὰ ταῦτα ἔπραξε· ὃς ἀνεχώρησεν ὅθεν ἦν· μετὰ σιωπῆς διήρχετο ζητῶν ἰατρούς. Imperatori hortanti ne ob leve vulnus locum desereret, nihil respondit, sed Galatam trajecit, ubi mortuus est ἐκ τῆς πικρίας καὶ περιφρονήσεως. Eadem narrat Leonardus p. 332, nisi quod Justinianum *sub asella* sagitta vulneratum esse, et deinde e Galata in Chium navigasse atque ibi ex vulnere vel tristitia ingloriam mortem obiisse dicit. Eum in Chio obiisse etiam Petrus Bizæus lib. 12 historiæ Genuensis tradit, monente Bullialdo ad Duc. p.620. Pusculus 4, 975:

Joannes abiit percussus glande lacertum
ac se subripuit pugnæ navesque petivit',
sive metu Teucrum, seu vulnere abactus acerbo.

Chalcocond. p. 395, 3: Τιτρώσκεται τηλεβολίσκῳ ἐς τὴν χεῖρα. Minus probrosam narrationem habet Ducas p. 284, 14 et p. 296: Ἐπλήγη διὰ μολυβδοβόλου ἐν τῇ χειρὶ ὄπισθεν τοῦ βραχίονος, ἔτι σκοτίας οὔσης, καὶ διατηρήσας τὴν σιδηρᾶν χλαμύδα, καὶ ἥτις ὑπῆρχε κατεσκευασμένη ὡς τὰ τοῦ Ἀχιλλέως ὅπλα, οὐκ ἠδύνατο ὑπὸ τῆς πληγῆς ἠρεμεῖν. Καὶ λέγει τῷ βασιλεῖ· Στῆθι θαρσαλέως, ἐγὼ δὲ μέχρι τῆς νηὸς ἐλεύσομαι, κἀκεῖ ἰατρευθεὶς τάχος ἐπαναστρέψω. In nave versans quum nuntium accepisset de morte imperatoris deque Turcorum victoria, suos a pugna revocavit, ut cum illis e portu discederet. Contra Barbarus suo in Genuenses odio indulgens ita narrat: *Vedendo questo Zuan Zustignan Zenovexe da Zenova se delibera de abandonar la sua posta* [*per esser ferito de freza* adscribitur in margine], *e corse a la sua nave che iera stà messa a la cadena;... e scampando questo che iera capetanio, vignando el dito per la tera criando: Turchi son intradi dentro de la tera; e menteva per la gola, che ancora i non iera intradi dentro.* Ceterum varia veterum et recentiorum de Justiniano judicia justa trutina ponderat Ellissen l. l. p. 75 sq.

LX. § 2. Διὰ τῆς πυλίδος] De hac portula, quæ erat ad Hebdomum palatium, hæc habet Ducas p. 282: οἱ δὲ Ῥωμαῖοι ἰδόντες τὴν εἰσοδοέξοδον αὐτῶν φανερὰν γενομένην, καὶ μὴ δυναμένους ἐξιέναι ἔξω τῆς πύλης καὶ ἀνθίστασθαι τοῖς Τούρκοις ἐν τῷ ἔξω κάστρῳ ἀπερικαλύπτους ὄντας τῶν τειχέων καταπεσόντων, ἦσάν τινες τῶν γερόντων ἐπιστάμενοι πα-

ξενὸν ἀνδρῶν καὶ τῶν προμαχομένων ἔρημον (ἐγγὺς γάρ που ἐτύγχανεν ὢν ἀγωνιζόμενος), τούς τε ἄνδρας ὑπεξιόντας λαθραίως, τούς τε μένοντας ἀσθενῶς δι' ὀλιγότητα μαχομένους, καὶ γνοὺς ἐκ τούτων τόν τε δρασμὸν τῶν ἀνδρῶν καὶ τὴν τοῦ τείχους ἀπόλειψιν, μέγα βοήσας εὐθύς· « Ἔχομεν, εἶπεν, ὦ φίλοι, τὴν πόλιν, ἔχομεν ἤδη· φεύγουσιν οἱ ἄνδρες ἡμᾶς· οὐκέτι παραμένειν ἀνέχονται· γυμνὸν τῶν προμαχομένων τὸ τεῖχος· ὀλίγου πόνου τὸ ἔργον καὶ ἡ πόλις ἑάλω· μὴ μαλακισθῆτε οὖν, ἀλλὰ χωρεῖτε πρὸς τὸ ἔργον εὐψύχως, καὶ γίνεσθε ἄνδρες ἀγαθοί, κἀγὼ μεθ' ὑμῶν. » (2) Ταῦτα εἰπὼν ἡγεῖτο πρῶτος αὐτός. Οἱ δὲ ἀλαλάξαντες δρόμῳ καὶ βοῇ φρικαλέῳ προλαβόντες τὸν βασιλέα χωροῦσιν ἐπὶ τὸ σταύρωμα, καὶ μάχης ἰσχυρᾶς γενομένης ἐφ' ἱκανὸν, τρέπονται τοὺς ταύτῃ Ῥωμαίους καὶ βιαίως ἐπιβαίνουσι τοῦ σταυρώματος, καὶ οὕτω τοὺς μὲν αὐτῶν ῥίπτουσι κατὰ τοῦ χάρακος τοῦ μεταξὺ τοῦ μεγάλου τείχους και του σταυρωματος, βαθέος ὄντος καὶ δυσδιεξιτήτου, καὶ κατασφάττουσι πάντας αὐτοῦ, τοὺς δὲ ὠθοῦσι διὰ τῆς πυλίδος Ἰουστίνου, ἣν οὗτος ἀνέῳξεν ἐν τῷ μεγάλῳ τείχει, ἵνα προχείρως ἔχῃ διαβαίνειν ἐπὶ τὸ σταύρωμα. (3) Καὶ γίνεται ὠθισμὸς ἐνταῦθα καὶ φόνος τῶν προστυχόντων πολὺς παρὰ τῶν ὁπλιτῶν, ἅτε ξυνδεδραμηκότων καὶ ἑτέρων οὐκ ὀλίγων ἀτάκτως πρὸς τὴν βοὴν πολλαχόθεν· οὗ δὴ καὶ βασιλεὺς Κωνσταντῖνος πίπτει μαχόμενος μετὰ τῶν ξὺν αὐτῷ γενναίως.

LXI. Οἱ δὲ ὁπλῖται ἐσεχέοντο ἤδη διὰ τῆς πυλίδος ἐπὶ τὴν πόλιν, οἱ δὲ καὶ διὰ τοῦ κατερριμμένου μεγάλου τείχους ἐσέπιπτον· τὸ δὲ ἄλλο στράτευμα πᾶν ἑπόμενον ὠθισμῷ καὶ βίᾳ ἐσεχεῖτο λαμπρῶς ἀνὰ πᾶσαν τὴν πόλιν σκεδαννύμενον. (2) Βασιλεὺς δ' ἑστὼς πρὸ τοῦ μεγάλου τείχους, ἵνα καὶ ἡ μεγάλη σημαία ἦν καὶ τὸ ξύνθημα, ἀπεσκόπει τὰ δρώμενα·

ραπόρτιον ἓν πρὸ πολλῶν χρόνων ἀσφαλῶς πεφραγμένον, ὑπόγαιον, πρὸς τὸ κάτωθεν μέρος τοῦ παλατίου· καὶ δηλώσαντες τῷ βασιλεῖ, διὰ προστάξεως αὐτοῦ ἠνοίχθη· καὶ ἐξήρχοντο ἐξ αὐτοῦ περισκεπόμενοι τοῖς τείχεσι τοῖς ὑγιαίνουσι, καὶ ἀντεμάχοντο τοῖς Τούρκοις ἐν τῷ περιβολαίῳ. Τὸ δὲ ὄνομα τῆς κρυφῆς ἐκείνης πύλης ἐκαλεῖτό ποτε Κερκοπόρτα. Eadem porta Ξυλοκέρκου dicitur apud Cantacuzenum lib. 3, c. 9 : Καὶ διελέγετο κρύφα τοῖς ἐν Βυζαντίῳ φίλοις, ἐὰν δύναιντο τὴν πόλιν αὐτῷ παραδιδόναι· ἐπηγγέλλοντό τε τὴν τῆς Ξυλοκέρκου λεγομένην πύλην ἐκ πολλῶν ἐτῶν ἀπῳκοδομημένην διορύξαντες εἰσάγειν. Ceterum per hanc Cercoportam Græcos in urbem retrusos esse in eoque tumultu cecidisse Constantinum Critobulus haud recte dixerit. Ex ceteris scriptoribus colligitur Constantinum inter Charsiam portam et portam S. Romani, non vero prope palatium, cecidisse. Ducas p. 285, 17 Turcos quinquaginta narrat per Cercoportam penetrasse indeque in murum adscendisse; his in alto conspectis, Romanos, qui ante murum pugnabant, terrore perculsos per Charsi portam (per Romani portam sec. Chalcocond. p. 396, 1) in urbem præcipitanter se recepisse adeo ut invicem se conculcarent. Quo viso, Turcos, qui circa Mechemetem erant, insistentes fugientibus in urbem irruppisse partim per eandem Charsi portam (S. Romani sec. Barbarum), partim vero per proximas muri ruinas, quum porta mox mortuorum et exspirantium corporibus obturaretur. Τότε εἷς τῶν Τούρκων δοὺς αὐτῷ (Constantino) κατὰ πρόσωπον καὶ πλήξας, καὶ αὐτὸς τῷ Τούρκῳ ἑτέραν ἐχαρίσατο· τῶν ὄπισθεν δ' ἕτερος καιρίαν δοὺς πληγὴν, ἔπεσε κατὰ γῆς... Ἦν ὥρα πρώτη τῆς ἡμέρας, ἡλίου οὔπω ὑπὲρ γῆν φανέντος. Εἰσελθόντων δὲ καὶ διασκεδασθέντων ἀπὸ τῆς πύλης Χαρισοῦ ἕως τοῦ παλατίου τὸν ἀπαντήσαντα ἐφόνευον ὁμοίως καὶ τὸν φεύγοντα. Phrantzes p. 285, 20 nomen portæ per quam Turci irruperunt, non memorat, intellexisse autem videtur S. Romani portam, quoniam circa hanc imperatorem et Franciscum Toletanum et Theophilum Palæologum et Joannem Dalmatam fortiter pugnantes occubuisse refert p. 287, addens se ipsum tum in his locis non affuisse, sed in alia urbis parte versatum esse. Quare etiam de ratione qua occisus sit imperator nihil tradidit. Leonardus p. 333 ita habet : *Se invicem nostri, ut portam ingrederentur cito oppressi pereunt. Quibus innixus imperator cadens atque resurgens relabitur et compressione princeps patriæ e vita demigrat. Perierunt ex nostris et Latinis et Græcis se invicem conculcantibus in portæ exitu circiter octingenti.* Sec. Chalcocondylam p. 395, 15 Turci ἐπιόντες καὶ διώκοντες ἔτρωσαν βασιλέα Κωνσταντῖνον ἐς τὸν ὦμον, καὶ ἐτελεύτησεν. Pusculus vero (4, 1006) postquam dixerat Justinianum percussum discessisse, deinde vero decem janitzaros in summum aggerem pervenisse indeque, quum oppidanos perterritos et fugam molientes viderent, horrendum edidisse clamorem, pergit hunc in modum ·

Rex ut forte caput galea nudatus inani
inclinans oculos intra tentoria fessos
carpebat somnum, magno clamore citatus
exilit, eque fuga cives revocare laborans
increpitat socios, tres ipsoque aggere truncat
Janitzaros. Tandem media inter tempora grandi
vibrato cecidit gladio. Caput abstulit unus
ex humeris; regem ut novit, pro numere cæsum
attulit atque duci Machmetto, et dona recepit.

Barbarus p. 57 : *De l'imperador mai non se potè saver novela di fatti soi, ni vivo ni morto, ma alguni dixe, che el 'fo visto in nel numero di corpi morti, el qual fo dito, che el se sofegà al intrà che fexe i Turchi a la porta de San-Romano.* Ad hæc in margine adscripta sunt : *L'imperador pregava che li suoi l'amazasse, et si messe nella furia con la spada, et cascò et rilevò, poi recascò et cosi morì.* Denique rumor spargebatur non cecidisse imperatorem, sed elapsum alicubi latitare, ut referunt auctor Threni v. 825 et 1015 et Phrantzes p. 290. De capite imperatoris ad sultanum allato cf. Ducas p. 300, qui præterea dicit pellem Constantini palea fartam in varias terras missam esse, ut ubique hoc victoriæ symbolum spectaretur. Audiendus potius Phrantzes p. 291, qui quæsitum inter mortuos et repertum Constantini corpus μετὰ βασιλικῆς τιμῆς, jussu Mechemetis, sepultum esse prodidit,

LXI. § 1. Λαμπρῶς] Legendum proponerem λάβρως, nisi λαμπρῶς in loco simillimo infra cap. 72, 2 occurreret. || —

ἤδη γὰρ καὶ ἡμέρα ὑπέφαινεν. Ἔνθα δὴ φόνος πολὺς τῶν προστυγχανόντων ἐγίνετο, τῶν μὲν κατὰ τὴν ὁδόν (ἤδη γὰρ ἐξῄεσάν τινες τῶν οἰκιῶν θέοντες πρὸς τὴν βοήν, καὶ τοῖς ξίφεσι τῶν στρατιωτῶν ἀπροόπτως ἐνέπιπτον), τῶν δὲ ἐν ταῖς οἰκίαις αὐταῖς, ἐπεσπιπτόντων βίᾳ τῶν γενητζάρων καὶ τῶν ἄλλων στρατιωτῶν ξὺν οὐδενὶ κόσμῳ καὶ λογισμῷ, τῶν δὲ καὶ ἐς ἀλκὴν τρεπομένων, τῶν δὲ καὶ πρὸς ἱεροῖς καταπεφευγότων τε καὶ ἱκετευόντων, ἀνδρῶν, γυναικῶν, παίδων, πάντων ἁπλῶς, μηδεμιᾶς οὔσης φειδοῦς· (3) ὀργῇ γὰρ καὶ θυμῷ πολλῷ ἐχώρουν ἐπ' αὐτοὺς οἱ στρατιῶται, τοῦτο μὲν ἀχθόμενοι τῇ τριβῇ τῆς πολιορκίας, τοῦτο δ' ὅτι καὶ ἀπὸ τῶν ἐπάλξεων σκώμμασί τε καὶ ὕβρεσιν οὐκ ὀλίγοις ἔβαλλον αὐτοὺς ἔνιοι τῶν ἀνοήτων παρ' ὅλον τὸν πόλεμον, τὸ δ' ὅλον ὅπως ἂν θροήσωσι τὸ πᾶν καὶ φοβήσωσι καὶ δουλώσωνται ταῖς σφαγαῖς. (4) Ὡς δὲ ἅλις εἶχον τοῦ φόνου καὶ ἡ πόλις ἤδη δεδούλωτο, τρέπονται οἱ μὲν ἐν ταῖς τῶν δυνατῶν οἰκίαις κατὰ ξυμμορίας τε καὶ ξυνωμοσίας καὶ τάξεις ἐπὶ διαρπαγῇ καὶ σκυλμῷ, οἱ δὲ πρὸς σύλησιν τῶν ἱερῶν, οἱ δὲ ἐπὶ τὰς κοινάς τε καὶ τῶν ἰδιωτῶν οἰκίας ἐσκεδασμένοι, διαρπάζοντες, σκυλεύοντες, ληιζόμενοι, φονεύοντες, ὑβρίζοντες, ἀπάγοντες αἰχμαλώτους ἄνδρας, γυναῖκας, παῖδας, πρεσβύτας, νέους, ἱερεῖς, μοναχούς, πᾶσαν ἡλικίαν καὶ τάξιν ἁπλῶς. (5) Καὶ ἦν ἰδεῖν θέαμα δεινὸν καὶ ἐλεεινὸν καὶ πέρα τραγῳδίας ἁπάσης, γυναῖκας νέας καὶ σώφρονας, εὐγενεῖς τε καὶ τῶν εὖ γεγονότων, τὰ πολλὰ οἰκουρούσας καὶ οὐδὲ τὴν αὔλιον προελθούσας ποτέ, καὶ παρθένους εὐπρεπεῖς καὶ ὡραίας λαμπράς τε καὶ λαμπρῶν οἰκιῶν καὶ μέχρι τότε ἀρρένων ὀφθαλμοῖς ὅλως ἀψαύστους, τὰς μὲν βίᾳ τῶν θαλάμων ἐξελκομένας ἀπηνῶς τε ἅμα καὶ ἀναιδῶς ἁρπαζομένας, τὰς δὲ — κακὸν αὐταῖς ἔτι κοιμωμέναις ἐφιστάμενοι ὄναρ ἄνδρες ξιφήρεις, ᾑμαγμένοι τὰς χεῖρας τῷ φόνῳ, θυμοῦ πνέοντες, φονικὸν βλέποντες, ἄσημα φθεγγόμενοι, ἀπηρυθριασμένοι πρὸς πάντα τὰ χείριστα, ἅτε πλῆθος ξύμμικτον ὄντες, ἐκ παντὸς ἔθνους καὶ γένους καὶ τύχης ξυνειλεγμένοι, ὥσπερ θῆρες ἄγριοι καὶ ἀνήμεροι ἐσπηδῶντες ἐς τὰς οἰκίας καὶ σύροντες ὠμῶς, ἕλκοντες, σπαράσσοντες, βιαζόμενοι, ἀπάγοντες αἰσχρῶς, ἐπὶ τῶν τριόδων ὑβρίζοντες καὶ τί δεινὸν οὐχὶ ποιοῦντες· φασί γέ τοι πολλὰς αὐτῶν καὶ πρὸς μόνην ἀήθη τὴν θέαν τε καὶ ἀκοὴν τούτων καταπλαγείσας ἐγγὺς ἐλθεῖν ἀφεῖναι καὶ τὴν ψυχήν· (6) ἔτι δὲ γέροντας ἐντίμους ἑλκομένους τῆς πολιᾶς, τοὺς δὲ καὶ τυπτομένους ἀνηλεῶς· παρθένους μοναζούσας σεμνάς τε καὶ ἀπροΐτους τὸ ὅλον καὶ τῷ θεῷ μόνῳ προσανεχούσας καὶ ζώσας, ᾧ καθιέρωσαν ἑαυτάς, τὰς μὲν τῶν δοματίων βιαίως ἐξαγομένας καὶ συρομένας, τὰς δὲ τῶν ἱερῶν ἀποσπωμένας, ἐν οἷς κατέφευγον, καὶ ἀπαγομένας ξὺν ὕβρει καὶ ἀτιμίᾳ, ξαινομένας τε τὰς παρειὰς ξὺν οἰμωγῇ καὶ ὀλολυγῇ καὶ κοπτομένας πικρῶς· παῖδας ἁπαλοὺς ὠμῶς ἀποσπωμένους μητέρων, κόρας ἐλεεινῶς χωριζομένας τῶν νεογάμων ἀνδρῶν· ἄλλα μυρία εἰργασμένα δεινά.

LXII. Τὴν δὲ τῶν ἱερῶν ὕβριν καὶ σύλησιν καὶ διαρπαγὴν πῶς ἄν τις ἐξείποι τῷ λόγῳ; Κατεβάλλοντο μὲν ἀτίμως ἐς γῆν εἰκόνες καὶ ἀφιδρύματα καὶ τἆλλα τῶν ἱερῶν, ἀπεσπᾶτο δὲ κόσμος ὁ τούτων, ἐδίδοτο δὲ τὰ μὲν αὐτῶν τῷ πυρί, τὰ δὲ ἐς λεπτὰ τεμνόμενά τε καὶ ξυντριβόμενα ἐπὶ τῶν τριόδων ἐρριπτεῖτο, ἠνοίγοντο δὲ θῆκαι τῶν παλαιῶν καὶ μακαρίων ἀνδρῶν καὶ τὰ τούτων ἐξήγετο λείψανα καὶ ἀτίμως λεπτυνόμενα καὶ λυόμενα ἐς ἀέρα ἐλικμᾶτο, τὰ δὲ καὶ ἐπὶ τῶν ἀμφόδων ἐρριπτεῖτο, (2) κρατῆρές τε καὶ φιάλαι καὶ ἃ τὴν παναγεστάτην θυσίαν ἐδέχετο, αἱ μὲν ἐς προπόσεις καὶ μέθην ἦσαν αὐτοῖς, οἱ δὲ ξυντριβόμενοί τε καὶ χωνευόμενοι ἀπεδίδοντο, ἱερὰ δὲ σκεύη καὶ πέπλα τίμια πολυτελῆ τε καὶ πολλῷ χρυσίῳ ἐνυφασμένα, τὰ δὲ καὶ λίθοις διαφανέσι καὶ μαργάροις καταστραπτόμενα, τὰ μὲν ἀπεδίδοντο πονηροτάτοις ἀνδράσιν εἰς ἀπόχρησιν οὐ καλήν, τὰ δὲ πυρὶ παρεδίδοντο, χωνευόμενα διὰ τὸν χρυσόν· (3) βίβλοι τε ἱεραὶ καὶ θεῖαι, ἀλλὰ δὴ καὶ τῶν ἔξω μαθημάτων καὶ φιλοσόφων αἱ πλεῖσται, αἱ μὲν πυρὶ παρεδίδοντο, αἱ δὲ ἀτίμως κατεπατοῦντο, αἱ πλείους δὲ αὐτῶν οὐ πρὸς ἀπόδοσιν μᾶλλον ἢ ὕβριν δύο ἢ τριῶν νομισμάτων, ἔστι δ' ὅτε καὶ ὀβολῶν ἀπεδίδοντο· (4) τράπεζαι δὲ ἱεραὶ ἐκ βάθρων αὐτῶν ἀνεσπῶντο καὶ ἀνετρέποντο, τοῖχοί τε τῶν ἀβάτων καὶ ἀψαύστων τόπων ἀνηρευνῶντο καὶ τὰ τῶν τεμενῶν ἱερὰ ἕδη ἀνωρύττετό τε καὶ κατεσκάπτετο ἐπὶ ζητήσει χρυσοῦ, ἄλλα τε πολλὰ τοιαῦτα ἐτολμᾶτο.

LXIII. Οἱ δὲ ἐπὶ τοῦ ἑτέρου τείχους τεταγμένοι τε καὶ μαχόμενοι κατὰ γῆν τε καὶ θάλασσαν δυστυχεῖς Ῥωμαῖοι νομίζοντες σῶν εἶναι τὴν πόλιν καὶ κακῶν ἀπαθῆ καὶ παῖδας καὶ γυναῖκας ἐλευθέρους (οὐδὲ γὰρ ᾔδεσάν πω τὰ γινόμενα), εὐρώστως τε ἠγωνίζοντο καὶ μετὰ ῥώμης ἠμύνοντο τοὺς ἐπιόντας καὶ ἀπεωθοῦντο,

---

2. προστυγχανόντων] sic m. 1; ἐγτυγχ. m. 1· || — § 5. ξυνωμοσίας] συνομοτίας codex, ut supra c. 52. || — § 5 τὰς δὲ... κακὸν etc.] Structura grammatica in oratione vivida negligitur. || — ἄσημα φθεγγόμενοι] Hæc adduntur in margine. || — δεινὸν] κακὸν margo. || — § 6. ὀλολυγῇ] sic m. 2, ὀλολυγμῷ m. 1.

LXII. § 1. Ἀμφόδων ἐρριπτεῖτο] sic m. 2, ἀ. ἐρρίπτετο m. 1. || — § 2. χωνευόμενοι] χον. cod. h. l. et mox iterum. || — πονηροτάτοις ἀνδρ.] Ἰουδαίοις mgo. || — βίβλοι etc.] Cf. Ducas p. 312, 14: τὰς δὲ βίβλους ἁπάσας ὑπὲρ ἀριθμὸν ὑπερβαινούσας ταῖς ἁμάξαις φορτηγήσαντες ἁπανταχοῦ ἐν τῇ ἀνατολῇ καὶ δύσει διέσπειραν· δι' ἑνὸς νομίσματος δέκα βίβλοι ἐπιπράσκοντο, Ἀριστοτελικαί, Πλατωνικαί, θεολογικαὶ καὶ ἄλλο πᾶν εἶδος βίβλου· εὐαγγέλια μετὰ κόσμου παντοίου ὑπὲρ μέτρον, ἀνασπῶντες τὸν χρυσὸν καὶ τὸν ἄργυρον, ἄλλ' ἐπώλουν, ἄλλ' ἔρριπτον.

LXIII. Cf. Ducas p. 294, Chalcocondyl. p. 397.

λαμπρῶς τοὺς ἐπιβαίνειν πειρωμένους τοῦ τείχους. (2) Ὡς δὲ κατὰ νώτου τε εἶδον τοὺς πολεμίους καὶ βάλλοντας ἀπὸ τῶν ἔνδον καὶ τῆς πόλεως αὐτοὺς, καὶ παῖδας καὶ γυναῖκας ἠνδραποδισμένους ἑώρων καὶ ἀπαγομένους αἰσχρῶς, οἱ μὲν αὐτῶν ἀθυμίᾳ ληφθέντες ἐρρίπτουν σφᾶς αὐτοὺς μετὰ τῶν ὅπλων ἀπὸ τοῦ τείχους καὶ ἀπέθνησκον, οἱ δὲ ἀπογνόντες τοῖς ὅλοις καὶ τὰ ὅπλα τῶν χειρῶν ἐκλυομένων ἤδη ἀπολύοντες, παρεδίδουν αὐτοὺς τοῖς ἐχθροῖς ἀμαχὶ χρήσασθαι ὅ τι καὶ βούλοιντο.

LXIV. Ἔτυχε δ' ἐκεῖσε τότε παρὼν καὶ μαχόμενος ἐπὶ τοῦ τείχους ξὺν αὐτοῖς καὶ Ὀρχάνης ὁ τοῦ **βασιλέως** θεῖος, τοῦ Ἀτουμάνων γένους, ὃν εἶχε βασιλεὺς **Κωνσταντῖνος** ἐν τῇ πόλει, ἐν πολλῇ ἄγων θεραπείᾳ τε καὶ τιμῇ δι' ἐλπίδας, φυγάδα πρὸ πολλοῦ ὄντα διὰ τὸν φόβον τοῦ ἀδελφοῦ· ἐζήτει γὰρ αὐτὸν ἀνελεῖν· ὃς ἰδὼν τὴν τῆς πόλεως ἅλωσιν καὶ θέλων ἑαυτὸν ἐκσῶσαι, πρῶτον μὲν ἐβουλήθη λαθὼν διαδρᾶναι, ὡς εἷς τῶν ἀπὸ τῆς στρατιᾶς τῇ τε σκευῇ καὶ τῇ τῆς φωνῆς ὁμοιότητι· ὡς δὲ εἶδε [ὅτι] γνωσθεὶς τε καὶ διωκόμενος (ἦσαν γὰρ οἱ ἀναγνόντες αὐτόν), ῥίπτει ἑαυτὸν εὐθὺς κατὰ τοῦ τείχους καὶ ἀποθνήσκει. (2) Οἱ δὲ στρατιῶται δραμόντες αἴρουσιν αὐτοῦ τὴν κεφαλὴν ἀποταμόντες καὶ ἀπήγαγον τῷ βασιλεῖ· καὶ γὰρ ἐζήτει αὐτὸν διὰ σπουδῆς ἢ ζῶντα ἢ τεθνεῶτα ἰδεῖν.

LXV. Ἐν τούτῳ δὲ καὶ **Χαμουζᾶς** ὁ τῶν νεῶν ἡγεμὼν, ὡς εἶδε τὴν πόλιν ἐχομένην ἤδη καὶ τοὺς ὁπλίτας ληιζομένους αὐτὴν, εὐθὺς ἐπιπλεῖ τῇ ἁλύσει καὶ διαρρήξας αὐτὴν εἴσω γίνεται τοῦ λιμένος· καὶ ὅσας εὗρε τῶν Ῥωμαϊκῶν νεῶν (αἱ γὰρ τῶν Ἰταλῶν τριήρεις τε καὶ ὁλκάδες εὐθὺς βιασάμεναι ταύτας ἀνήχθησαν ἐς τὸ πέλαγος), τὰς μὲν κατέδυσεν αὐτοῦ, τὰς δὲ αὐτάνδρους ἔλαβε· καὶ ἐποκείλας τὰς ναῦς ταῖς βασιλικαῖς καλουμέναις πύλαις, ἔτι κεκλεισμένας εὑρὼν διαρρήσσει τε τὰ τούτων κλεῖθρα καὶ τοὺς μοχλοὺς καὶ καταβάλλει ταύτας, καὶ ἐσελθὼν μετὰ τῆς στρατιᾶς ἐν τῇ πόλει, εὑρίσκει πολλοὺς ἐκεῖσε τῶν Ῥωμαίων ξυνισταμένους καὶ ἐς ἀλκὴν τραπομένους (οὔπω γὰρ ἐφθάκει πρὸς τοῦτο τὸ μέρος ἡ κατὰ γῆν

LXIV. Ὀρχάνης ὁ τοῦ βασιλέως θεῖος] Igitur Orchanes fuit frater Muratis II. Idem colligas e Turcicis scriptoribus Aali et Scolakfade, qui fratres Moratis recensent quattuor : Alaeddinum, Achmetem, Orchanem, Hasanum, ut ex Hammero l.l. 1, p. 680 disco. Secundum alios auctores, quos Hammerus in suo Osmanidarum stemmate sequitur, fratres Muratis fuerunt Achmetes, Mustapha, Iusuf, Mechemetes. Aliam de Orchane nostro famam habes apud Chalcocondylam p. 393, qui Orchanem Solimanis e filio nepotem (τὸν Μουσουλμάνεω υἱϊδοῦν) fuisse dicit, adeo ut Orchanis nostri pater fuisset Orchanes ille Solimanis filius, qui post mortem patris (1410) ex Asia ab Emmanuele imperatore advocatus et Thessalonicam missus, deinde vero proditione captus et a Musa patruo trucidatus est (V. Zinkeisen l. l. 1, p. 425. Cf. idem p. 809). De Orchane Constantinopoli degente supra (not. ad c. 5, 3) citavimus Ducam p. 232. Ejusdem etiam Barbarus p. 19 meminit hisce : *El Turco Dorgano* (sic), *el qual iera in Constantinopoli al soldo del' imperador, si avea in varda uno di cantoni da la tera de la banda da mar cum i suo Turchi i qual iera a suo soldo, i qual per avanti avea revelado* (i. e. rebellaverant) *al suo signor.* De morte ejus ita Chalcocondylas p. 398, 3 : Ἀμφὶ τὸν Νοταρᾶν τοῦ βασιλέως ἁρμοστὴν καὶ Ὀρχάνη τὸν Μουσουλμάνεω υἱϊδοῦν, ὡς αὐτοὶ ἔλεγον Ἕλληνες, τοιόνδε ἐγένετο· ὡς γὰρ ἐπυνθάνοντο ἑαλωκέναι τὴν πόλιν, ἀπέδρασαν ἐπὶ πύργον τινὰ τῆς πόλεως, ὡς ἐνταῦθα βουλευσόμενοι ὅτι ἅπαν σφᾶς δέοι τραπέσθαι. Καὶ ἐνταῦθα γενόμενοι, Ὀρχάνης μὲν ῥάκια ἀμφιεσάμενος Ναζαραίου τινὸς ἔβαλεν ἑαυτὸν κατὰ τοῦ πύργου καὶ ἀπέθανεν, οἱ δὲ ἀμφὶ τὸν Νοταρᾶν πολιορκηθέντες ἑάλωσαν περὶ πλήθουσαν ἀγορὰν, αὐτός τε ἅμα καὶ οἱ παῖδες αὐτοῦ. Aliter rem narrat Ducas p. 300, 1 : Ἕτεροι δέ φασιν ὡς ὁ δοὺξ (Notaras) εὑρέθη μετὰ τοῦ Ὀρχὰν ἐν τῷ πύργῳ τῷ τοῦ καστελίου τοῦ Φραντζεζίδων, κἀκεῖ παρεδόθησαν, ὁρῶντες ὡς οὐκ ἦν δυνατὸν ἀνθίστασθαι πλέον τοῖς Τούρκοις. Ὄντων δὲ πλείστων ἐκεῖ καὶ εὐγενῶν ἀρχόντων σὺν τῷ δουκὶ, ᾐτήσατο ὁ Ὀρχὰν ἀπό τινος μοναχοῦ τὰ ἄμφια αὐτοῦ, καὶ φορήσας αὐτὰ ἔδωκε τῷ μοναχῷ τὰ αὐτοῦ, καὶ διὰ μιᾶς τοξοβολικῆς θυρίδος ἔβαλεν ἑαυτὸν κατὰ γῆς ἔξω τῆς πόλεως. Καὶ λαβόντες οἱ τῶν πλοίων καὶ δεσμώσαντες ἔβαλον ἐντὸς σὺν τοῖς λοιποῖς αἰχμαλώτοις· οἱ δὲ τοῦ πύργου παραδοθέντες καὶ αὐτοὶ ἐντὸς τοῦ πλοίου ἐκείνου εἰσήχθησαν. Τότε εἷς τῶν αἰχμαλώτων τῶν Ῥωμαίων καταπραγματευσάμενος τὴν αὐτοῦ ἐλευθερίαν εἴρηκε τῷ ναυάρχῳ « εἰ ἐλευθερώσεις με σήμερον, ἔχω σοι δοῦναι τὸν Ὀρχὰν καὶ τὸν μεγαδοῦκα ὁμοῦ. » Τόδε ἀκούσας ὁ ναύαρχος ὤμοσε τοῦ ἐλευθερῶσαι αὐτόν. Καὶ τότε δείξας τὸν μελαμφόρον Ὀρχὰν, καὶ μαθὼν ὅτι κατ' ἀλήθειαν ἐκεῖνός ἐστιν, ἀπέτεμε τὴν κεφαλὴν αὐτοῦ, τὸν δὲ μεγαδοῦκα ζῶντα καὶ τὴν κεφαλὴν τοῦ Ὀρχὰν λαβὼν εἰς τὸν ἡγεμόνα ἀπήγαγεν ἐν τῷ Κοσμηδίῳ· ἐκεῖνος δὲ τῷ ναυάρχῳ εὐεργετήσας καὶ πλεῖστα δοὺς ἀπέλυσεν. || — θέλων] sic m. 2, βουλόμενος m. 1. Deinde inserui ὅτι.

LXV. De iis quæ in portu acciderunt, amplam narrationem habes apud Barbarum p. 56 sqq., cujus summa momenta paucis comprehendere satis sit. Classis Turcorum, quæ ad Colonas stationem habebat, paullo ante solis ortum prope portum apparuit, at prœlium committere et rupta catena introitum sibi patefacere non ausa, mox inde se contulit in urbis latus Propontidi obversum, ubi nautæ in terram egressi et in direptionem urbis diffusi sunt. Interea naves Turcorum septuaginta, quæ per collem Galatensem in Cornu sinum transductæ erant, ad Pharum (*el Fanari*) appulerunt indeque in urbem irrumpunt. Dum sic classiarii per urbem disperguntur et prædæ corradendæ intenti sunt, major pars navium Italarum, quas singulatim Barbarus recenset, saluti suæ consulentes, rupta catena portum relinquunt. Cf. Ducas, p. 296, 13 : Καὶ γὰρ εἰ καὶ μὴ ἠσχολοῦντο τὰ πλοῖα τοῦ τυράννου ἐν τῇ πραίδᾳ καὶ τῷ σκυλμῷ τῆς πόλεως, οὐκ ἂν ἀφέθη μία καὶ μόνον. Ἀλλ' οἱ Τοῦρκοι ἀφέντες τὰ πλοῖα πάντες ἔνδον ἦσαν, καὶ οἱ Λατῖνοι ἄδειαν εὑρόντες ἐξήρχοντο τοῦ λιμένος. Eadem fere Chalcocondylas p. 400, 1. Haud recte igitur Critobulus Italos ait βιάσασθαι classem Turcorum, rupta catena in portum ingressam. Reliquæ narrationis fides ut servaretur, statuendum foret, postquam Itali discesserant et Turci a tribus jam partibus in urbem penetraverant, portum denuo catena clausum esse et tum demum Chamuzam, e Propontide et meridionali urbis parte reducem, in portum irrupisse. Quod quam probabile sit, tu videas. || — ταῖς βασιλικαῖς πύλαις] Portam hanc intra catenam fuisse e Critobulo colligitur; haud longe ab ea fuisse ad ipsum portus introitum liquet e Phrantze p. 254, ubi postquam

στρατιὰ ληιζομένη τὴν ἄλλην πόλιν), καὶ ξυμβαλὼν αὐτοῖς τρέπεται καὶ φονεύει πάντας αὐτοῦ, ὥστε διὰ τῶν πυλῶν αἷμα ῥυῆναι πολύ.

LXVI. Ἐν τούτῳ δὲ καὶ ἡ ἄλλη στρατιὰ ἐφθάκει, ὁμοίως δὲ καὶ διὰ τῶν ἄλλων παραλίων πυλῶν ἐσεχέοντο λαμπρῶς, ταύτας ξυγκλῶντες καὶ καταβάλλοντες, καὶ οὕτως ἅπαν τὸ στράτευμα τῶν νεῶν ἤδη σκεδασθὲν ἀνὰ πᾶσαν τὴν πόλιν τρέπεται ἐς διαρπαγήν, ληϊζόμενον πάντα τὰ ἐν ποσὶ καὶ δίκην ἐμπίπτον πυρὸς ἢ σκηπτοῦ καὶ ἐμπιπρῶν πάντα καὶ ἀφανίζον, ἢ χειμάρρου δίκην ἅπαντα παρασῦρον καὶ διαφθεῖρον· καὶ γὰρ οὗτοι πάντα διηρευνήσαντο ἀκριβέστερον ἢ Δᾶτις, φασί, τὴν Ἐρετρικήν, ναούς, ἱερά, θήκας τε παλαιὰς καὶ τάφους ἀναρρηγνύντες, στοάς τε ὑπογείους καὶ καταδύσεις καὶ χρησφύγετα καὶ ἄντρα καὶ χηραμοὺς καὶ ἄλλο πᾶν κεχρυμμένον ἀνερευνῶντες καὶ εἴ πού τις ἤ τι ἦν κεχρυμμένον, ἐς φῶς ἐξάγοντες. (2) Ἐς δὲ τὸν μέγιστον ἐσελθόντες τῆς τοῦ θεοῦ Σοφίας νεών, εὗρον ἐκεῖ πολύ τι πλῆθος ἀνδρῶν τε καὶ γυναικῶν **καὶ παίδων** καταφυγόντας τε καὶ θεοκλητοῦντας· οὓς καὶ δίκην σαγήνης ξυγκλείσαντες παρεστήσαντο πάντας ὁμολογίᾳ, καὶ ἀπήγαγον αἰχμαλώτους, τοὺς μὲν ἐς τὰς τριήρεις, τοὺς δὲ ἐς τὸ στρατόπεδον.

LXVII. Ἐν τούτῳ δὲ καὶ οἱ ἐν τῷ Γαλατᾷ, ὡς εἶδον τὴν πόλιν ἐχομένην ἤδη καὶ διαρπαζομένην, εὐθὺς προσεχώρησαν ὁμολογίᾳ τῷ βασιλεῖ ἐπὶ τῷ μηδέν τι κακὸν παθεῖν, καὶ ἀνοίξαντες τὰς πύλας ἐσεδέχοντο τὸν Ζάγανον μετὰ τῆς στρατιᾶς, καὶ αὐτοὶ οὐδὲν ὅλως ἠδίκηντο. (2) Ἡ δὲ στρατιὰ πᾶσα, ἥ τε κατὰ γῆν ἥ τε κατὰ θάλασσαν, ἐσχυθεῖσα ἐς τὴν πόλιν ἀπὸ πρωίας βαθείας καὶ αὐτοῦ τοῦ περιόρθρου μέχρι δείλης ὀψίας ἐληίζετο καὶ διηρπάζετο ταύτην, ἐκφοροῦσα πᾶσαν τὴν λείαν ἐς τὸ στρατόπεδον, τὴν δὲ καὶ ἐς τὰς ναῦς· ἔστιν ἃ δὲ ταύτης καὶ διαρπάζοντες ἔνιοι ὥσπερ φῶρες καὶ λαθραίως ἐξιόντες τῶν πυλῶν ἀπῄεσαν ἐς τὰ οἴκοι. (2) Οὕτω δὲ πᾶσαν ταύτην ἐκένωσε καὶ ἠρήμωσε καὶ πυρὸς δίκην ἠφάνισε καὶ ἠμαύρωσεν ὥσθ' ὅλως ἀπιστηθῆναι εἰ καὶ ἦν ἐν αὐτῇ ποτε ἢ ἀνθρώπων οἴκησις ἢ πλοῦτος ἢ περιουσία πόλεως ἢ ἄλλη τις κατ' οἶκον κατασκευή τε καὶ περιφάνεια, καὶ ταῦτα οὕτω λαμπρᾶς καὶ μεγάλης ὑπαρχούσης πόλεως· οἶκοι δὲ μόνον ἐναπελείφθησαν ἔρημοι καὶ φόβον παρέχοντες τοῖς ὁρῶσι διὰ τὴν ἐρημίαν πολύν. (3) Ἀπέθανον δὲ τῶν μὲν Ῥωμαίων καὶ τῶν ξένων, ὡς ἐλέγοντο, παρ' ὅλον τὸν πόλεμον καὶ ἐν αὐτῇ δὴ τῇ ἁλώσει ξύμπαντες, ἄνδρες, φημί, καὶ γυναῖκες καὶ παῖδες, ἐγγύς που τετρακισχίλιοι· ἐλήφθησαν δὲ καὶ αἰχμάλωτοι ὀλίγῳ πλείους πεντάκις μυρίων, τῆς δὲ στρατιᾶς ἁπάσης ἀμφὶ τοὺς πεντακοσίους.

LXVIII. Ὁ δὲ βασιλεὺς μετὰ ταῦτα ἐσελθὼν ἐς τὴν πόλιν, κατεθεᾶτο τό τε μέγεθος καὶ τὴν θέσιν αὐτῆς, τήν τε λαμπρότητα καὶ καλλονήν, τό τε πλῆθος καὶ μέγεθος καὶ κάλλος τῶν τε ναῶν καὶ τῶν δημοσίων οἰκοδομημάτων, τῶν τε ἰδιωτικῶν οἰκιῶν καὶ κοινῶν καὶ τῶν ἐν δυνάμει ὄντων τὴν πολυτέλειαν, ἔτι δὲ τήν τε τοῦ λιμένος θέσιν καὶ τῶν νεωρίων καὶ τὸ πρὸς πάντα ἐπιτηδείως ἔχειν τὴν πόλιν καὶ εὐφυῶς, καὶ ἁπλῶς πᾶσαν αὐτῆς τὴν κατασκευὴν καὶ τὸν κόσμον. (2) Ἑώρα δὲ καὶ τὸ πλῆθος τῶν ἀπολλυμένων καὶ τὴν ἐρήμωσιν τῶν οἰκιῶν καὶ τὴν παντελῆ φθορὰν αὐτῆς καὶ τὸν ὄλεθρον· καὶ οἶκτος αὐτὸν εὐθὺς ἐσῄει καὶ μεταμέλος οὐ μικρὸς τῆς ἀπωλείας τε καὶ διαρπαγῆς, καὶ δάκρυον ἀφῆκε τῶν ὀφθαλμῶν, καὶ μέγα στενάξας τε καὶ περιπαθές, « οἵαν, ἔφη, πόλιν ἐς διαρπαγὴν καὶ ἐρήμωσιν ἐκδεδώκαμεν· » οὕτως ἔπαθε τὴν ψυχήν. (3) Καὶ γὰρ ὄντως πάθος μέγα τοῦτο γέγονεν ἐφ' ἡμῶν ἐν μιᾷ δὴ ταύτῃ πόλει οἷον ἐν οὐδεμιᾷ τῶν πάλαι μνημονευομένων τε καὶ ἱστορουμένων μεγάλων πόλεων μεγέθει τε τῆς ἁλούσης πόλεως καὶ ὀξύτητι καὶ ἀποτομίᾳ τοῦ ἔργου· οὐχ ἥκιστα δὲ πάντας ἐξέπληξε τούς τε ἄλλους καὶ αὐτοὺς δὴ τοὺς δράσαντας καὶ πα-

---

dixerat regionem τῆς ὡραίας πύλης custodiæ commissam esse nautarum Cretensium [qui ibi usque ad septimam diei horam pugnarunt in turribus Basilii et Leonis et Alexii, id. p. 287, 20], pergit : **Τῷ δὲ Γαβριὴλ Τριβιζάνῳ** τῷ τῶν Ἐνετῶν τριηρέων καπετανίῳ μετὰ καὶ ἑτέρων ἀνδρῶν πεντήκοντα ἐδόθη φυλάττειν τὸν πύργον τὸν ἐν μέσῳ τοῦ ῥεύματος, τὸν φυλάσσοντα τὴν εἴσοδον τοῦ λιμένος, καὶ ἦν ἀντικρὺς τῆς πύλης τῆς Βασιλικῆς. Cf. Ducas p. 275, 11 : Οἱ δὲ Βενετικοὶ ἐν τῇ Βασιλικῇ πύλῃ μέχρι τοῦ Κυνηγοῦ σὺν Ῥωμαίοις ὁμοῦ τοῖς Τούρκοις ἐμάχοντο. Leonardus p. 326 Gabrielem Trevisanum cum Venetis suis in regione quæ est *a turri Phari usque ad Imperialem* decertasse dicit. — In Pusculo 4, 190 portarum, quæ ad Cornu sinum erant, series hæc est : P. Cynegii, Phari, Theodosiæ, Petri, Platea, Basilea. Memoratur porta Basilica etiam ap. Ducam p. 295, 1 et p. 300, 5, ubi Lucas Notaras prope eam fuisse dicitur, quo tempore Turci per Charsi portam in urbem irruperunt. Ex allatis patet errare Hammerum qui Basilicam portam componit cum hod. *Balat-Kapussi* quæ est inter Cynegii portam (*Aiwan-Kapussi*) et Fari portam (*Fener Kapussi*). Haud magis probandi Mordtmannus et Stolpius (in tabula Constantinopolis) qui Basilicam portam non ad Cornu sinum collocant, sed in hodierna *Achyr-Kapussi* quærunt, quæ in meridionali Seraglii apice sita versus Propontidem spectat. || — τραπόμενος] sic man. 2, τρεπόμενος m. 1. || — ληιζομένη τὴν ἄλλην πόλιν] Hæc adduntur in margine.

LXVI. § 1. ἢ Δᾶτις τὴν Ἐρετρικὴν] V. Herodot. 6, 101. || — § 2. Σοφίας νεὼν] V. Ducas p. 288,3 1. 291, 6; Phrantzes p. 289, 20; Chalcocondylas p. 397, 9. || — καὶ παίδων] addit margo.

LXVII. § 1. Οἱ ἐν τῷ Γαλατᾷ etc.] De his vide plura ap. Ducam p. 267, 1. 312, 22 et Chalcocondylam p. 400, 22. Pactorum, quæ Mechemetes cum Galatinis inivit, apographum græcum habes apud Hammerum l. l. 1, p. 675 sq. Idem documentum italica lingua scriptum et in nonnullis a græcis recedens dedit Zinkeisen l. l. 2, p. 26. || — § 3 ξύμπαντες] ξύμ syllaba additur in margine. || — πεντακισχίλιοι] literæ πενταχ in rasura scriptæ sunt; 60,000 sec. Leonardum p. 334.

LXVIII. § 1. Εἰσελθὼν ἐς τὴν πόλιν] diei hora octava, sec. Ducam p. 298, 16. Cf. Phrantzes p. 290, 18. || —

θόντας τῷ τε παραλόγῳ καὶ ἀήθει τοῦ γεγονότος καὶ τῷ ὑπερβάλλοντι καὶ ξενίζοντι τοῦ δεινοῦ. (4) Ἑάλω Τροία, ἀλλ' ὑπὸ Ἑλλήνων καὶ δέκα ἔτη πολεμουμένη, ὥστε εἰ καὶ τῷ πλήθει τῶν τε ἀπολλυμένων τῶν τε ἑαλωκότων οὐ μείων ἦν ἡ ξυμφορά, εἰ μὴ καὶ μείζων εἰπεῖν, ἀλλὰ καὶ ἄμφω ταῦτα ἔφερέ τινα κουφισμὸν καὶ παραμυθίαν αὐτῇ· οἵ τε γὰρ Ἕλληνες φιλανθρωπότερον τοῖς ἑαλωκόσι προσεφέροντο, τὰς κοινὰς αἰδούμενοι τύχας, ὅ τε συνεχὴς πόλεμος καὶ μακρὸς καὶ τὸ καθ' ἡμέραν τὴν ἅλωσιν προσδοκᾶν παρῄρηται τὴν ἀκριβῆ τούτων αἴσθησιν τῶν δεινῶν· τὸ δὲ παρὸν ἀπαραμύθητον ὅλως. (5) Ἑάλω Βαβυλὼν ὑπὸ Κύρου, ἀλλ' οὐδὲν ἐς τὰ καίρια παραβλαβεῖσα, οὐδ' αἰχμαλωσίᾳ δουλεύσασα, οὐδ' ὕβρει γυναικῶν ἐκδοθεῖσα καὶ παίδων, ἀλλ' ἢ μόνον δεσπότην ἀλλάξασα, καὶ τοῦτον χρηστὸν ἀντὶ πονηροῦ. (6) Ἑάλω Καρχηδὼν ὑπὸ Σκηπίωνος δίς, ἀλλὰ τὸ μὲν πρῶτον ὁμήρους δοῦσα καὶ τὰς δαπάνας τοῦ πολέμου παρασχομένη, ἐς χρήματα (καὶ) μόνα τὴν ζημίαν ἐδέξατο, τὸ δὲ δεύτερον μικρὸν ἀπωτέρω μετοικισθεῖσα ξὺν γυναιξὶ καὶ παισὶ καὶ τοῖς ὑπάρχουσι πᾶσι καὶ τοὺς οἰκήτορας ἔχουσα σῶς καὶ κακῶν ἀπαθεῖς οὐδὲν τοσοῦτον ὑπέστη δεινόν. (7) Ἑάλω Ῥώμη, τὸ μὲν πρῶτον ὑπὸ Κελτῶν τε καὶ Γαλατῶν, ὑπὸ Γότθων τὸ δεύτερον· ἀλλ' οὐδὲν τοσοῦτον παθοῦσα δεινόν, ἀλλ' ἢ μόνον τυραννηθεῖσα μικρὸν καὶ χρήμασι ζημιωθεῖσα καὶ πλούτῳ καὶ δημεύσει τῶν πρώτων οἰκιῶν καὶ ὑπερορίᾳ τῶν ἐνδόξων ἀνδρῶν, καὶ πάλιν μικρὸν ὕστερον ἑαυτὴν ἀνακτησαμένη, ἐπὶ μέγα δόξης ἤρθη καὶ πλούτου καὶ δυναστείας καὶ τύχης. (8) Ἑάλω Ἱεροσόλυμα τρίς, ὑπ' Ἀσσυρίων τὸ πρῶτον, ὑπ' Ἀντιόχου τὸ δεύτερον, ὑπὸ Ῥωμαίων τὸ τρίτον· ἀλλὰ τὸ μὲν πρῶτον μετοικίαν μόνην ὑπέστη ξὺν γυναιξὶ καὶ τέκνοις καὶ τοῖς ὑπάρχουσι πᾶσιν ἐς Βαβυλῶνα· ὑπ' Ἀντιόχου δὲ μικρὸν τυραννηθέντες πάλιν εἶχον τὴν πόλιν· ὑπὸ δὲ Ῥωμαίων εἰ καὶ τὰ πάθη τῆς ἁλώσεως ἦσαν οὐ φορητά, ἀλλὰ στάσεις τε ἦσαν ἐν αὐτῇ πολλαὶ καὶ δειναὶ καὶ ἐμφύλια καὶ διαρπαγαὶ καὶ σφαγαὶ καὶ φόνοι τῶν ἐνοικούντων τε καὶ τῶν οἰκειοτάτων ἀνόσιοι καὶ πρὸ τοῦ πολέμου καὶ ἐν αὐτῷ τῷ πολέμῳ, ὥστε καὶ ἐν εὐχαῖς ἦν αὐτοῖς πολλάκις τὸ τὴν πόλιν ἁλῶναι, ἀπαλλαγὴν ἐκ τούτου τῶν μεγίστων κακῶν οἰομένοις εὑρέσθαι ἢ τῷ θανάτῳ ἢ τῇ δουλείᾳ. Οὕτως οὐδὲν τὰ τῶν πόλεων ἐκείνων πτώματα πρὸς τὸ ταύτης εἰσὶν οἷα καὶ παραβάλλεσθαι. (9) Καὶ ἄλλαι δὲ πόλεις πολλαὶ καὶ μεγάλαι ἔν τε Ἀσίᾳ καὶ Εὐρώπῃ ἑάλωσαν, καὶ πλούτῳ καὶ δόξῃ καὶ σοφίᾳ καὶ ἀρετῇ τῶν ἐνοικούντων καὶ πολλοῖς ἄλλοις ἀνθοῦσαι τοῖς ἀγαθοῖς, ἀλλ' οὐδὲ τὰ τούτων πτώματα λόγον ἔχει πρὸς τὰ παρόντα δεινά.

LXIX. Ἑάλω καὶ ἡ δυστυχὴς αὕτη πόλις πρώην παρὰ τῶν ἑσπερίων γενῶν, ἑξήκοντα ἔτη τυραννουμένη, καὶ πλοῦτον ἀφῃρέθη πολὺν καὶ ἀναθήματα τῶν ἱερῶν πλεῖστα καὶ κάλλιστα καὶ πολυτελῆ, καὶ τὰ λαμπρὰ καὶ σεμνὰ καὶ περιμάχητα ταύτης θεάματα καὶ ἀκούσματα τὰ μὲν ἐς ἑσπέραν μετεκομίσθη, τὰ δ' ἐν αὐτῇ τῇ πόλει πυρὸς γέγονε παρανάλωμα· ἀλλὰ μέχρι τούτων ἦν αὐτῇ ἡ ζημία καὶ τὸ δεινόν· εἰ μὴ δὲ ταῦτα μικρά, τῶν οἰκητόρων δὲ οὐδένα ἀποβεβλήκει, οὐδ' ἐς παῖδας καὶ γυναῖκας καὶ τὰ τιμιώτατα παρεβλάβη, ἀλλ' εἶχε πάντας τοὺς ἐνοικοῦντας ἀσινεῖς ὅλως καὶ κακῶν ἀπαθεῖς· καὶ πάλιν ἀπωσαμένη τὴν τυραννίδα καὶ ἑαυτὴν ἀνακτησαμένη ἐς τὴν προτέραν ἧκε κατάστασιν, καὶ βασίλειον ἦν καὶ γενῶν ἦρχε πολλῶν ἔν τε Ἀσίᾳ καὶ Εὐρώπῃ καὶ νήσων οὐκ ὀλίγων, καὶ ἐν περιφανείᾳ καὶ πλούτῳ καὶ δόξῃ καὶ λαμπρότητι ἦν, καὶ τῶν καλῶν ἁπάντων ἡγεμὼν καὶ παράδειγμα, καὶ λόγων ἦν ἑστία καὶ παιδείας ἁπάσης καὶ σοφίας καὶ ἀρετῆς καὶ πάντων τῶν καλλίστων ὁμοῦ. (2) Νῦν δ' ὄντως ἐξήκει τὰ κατ' αὐτήν, καὶ τὰ καλὰ ξυλλήβδην ἔρρει, καὶ ἀφῄρηται πάντων, πλούτου, δόξης, ἀρχῆς, περιφανείας, τιμῆς, γένους λαμπρότητος, ἀρετῆς, παιδείας, σοφίας, ἱερωσύνης, βασιλείας, πάντων ἁπλῶς· καὶ ὅσον ἐς ἄκρον εὐδαιμονίας καὶ τύχης ἤλασε, τοσοῦτον ἐς πυθμένα δυστυχίας καὶ κακοδαιμονίας κατήχθη· καὶ μακαρισθεῖσα πρώην ὑπὸ πολλῶν, νῦν ὑπὸ πάντων δυστυχὴς καὶ βαρυδαίμων ἀκούει· καὶ μέχρι τερμάτων τῆς οἰκουμένης προελθοῦσα τῇ δόξῃ, νῦν πᾶσαν ὁμοῦ γῆν τε καὶ θάλασσαν μεστὴν πεποίηκε τῶν ἑαυτῆς ξυμφορῶν καὶ τῆς ἰδίας ἀδοξίας ἐνέπλησε, πανταχοῦ τῆς αὐτῆς κακοδαιμονίας ὑπομνήματα φέρουσα τοὺς οἰκήτορας, ἄνδρας ὁμοῦ καὶ γυναῖκας καὶ παῖδας διασπαρέντας αἰσχρῶς ἐπ' αἰχμαλωσίᾳ καὶ δουλείᾳ καὶ ὕβρει· καὶ ἡ πολλῶν γενῶν ἐπάρξασα πρότερον μετὰ τιμῆς καὶ δόξης καὶ πλούτου καὶ περιφανείας λαμπρᾶς, νῦν ὑφ' ἑτέρων ἄρχεται μετὰ πενίας καὶ ἀδοξίας καὶ ἀτιμίας καὶ δουλείας αἰσχίστης· καὶ παράδειγμα πάντων οὖσα καλῶν καὶ λαμπρᾶς εὐδαιμονίας εἰκών, νῦν εἰκών ἐστι δυστυχίας καὶ μεγίστων ξυμφορῶν ὑπόμνημα καὶ στήλη κακοδαιμονίας καὶ μῦθος τῷ βίῳ. (3) Οὕτως οὐδὲν τῶν ἀνθρωπίνων πιστὸν οὐδὲ βέβαιον, ἀλλὰ πάντα δίκην εὐρίπου ἄνω καὶ κάτω στροβεῖται καὶ περιφέρεται ταῖς ἀγχιστρόφοις τοῦ βίου μεταβολαῖς, παίζοντα

ναῶν] νεῶν man. 2 in rasura. || — § 3. τὴν ἀκριβῆ] add. mgo. || — § 6. μετοικισθεῖσα] sic mgo, μετοικίσασα textus. Haud premenda sunt quæ de Carthagine bis a Scipione capta Critobulus tradit. || — § 7. Γαλατῶν] sic mgo, Γερμανῶν text. || — § 8. ὑπέστη] sic mgo, ἐδέξατο text. || — ἐμφύλια] ἐμφύλιοι ? || — § 9. πτώματα] sic mgo, πάθη text.

LXIX. § 1. ἑξήκοντα] Sunt anni 57 ab Aprilis d. 12 an. 1204 usque ad 25 d. Julii an. 1261. || — § 2. πολλῶν γενῶν] sic mgo; π. ἐθνῶν text. || — μεγίστων] add. mgo. || — § 4. διακοσίων] 1136 ann. (328-1453). || — Κωνσταν. γάρ] Cf. Barbarus p. 51, ubi vates prædixisse perhibentur : *quando el se troverà uno imperador che abia nome Constantin fio d'Elena, soto quelo imperio el se perderà Constantinopoli.*

καὶ παιζόμενα παρὰ μέρος, καὶ οὐδέποτε στήσεται τῆς ἀτάκτου ταύτης καὶ ῥοώδους φορᾶς καὶ κινήσεως καὶ τῆς ἀλλοπροσάλλου παλιρροίας τε καὶ μεταβολῆς, ἕως ἂν ἐν τοῖς οὖσι τὸ εἶναι ᾖ. (4) Ἐγὼ δὲ καὶ τοῦτο παντὸς μᾶλλον θαυμάσας ἔχω, τήν τε γενομένην ξυγκύρησιν τῶν ὀνομάτων καὶ τὴν τῶν πραγμάτων ἐναντιότητα ἐπὶ τοσαύτης περιόδου ξυνδραμοῦσαν ἐγγύς που διακοσίων μάλιστα καὶ χιλίων ἐτῶν. Κωνσταντῖνος γὰρ εὐτυχὴς βασιλεύς, Ἑλένης υἱός, ἀνέστησέ τε ταύτην καὶ ἐς ἄκρον εὐδαιμονίας καὶ τύχης ἐπῆρε, καὶ πάλιν ἐπὶ Κωνσταντίνου, δυστυχοῦς βασιλέως, Ἑλένης υἱοῦ, ἑάλω τε καὶ ἐς ἐσχάτην δουλείαν τε καὶ κακοδαιμονίαν κατήχθη. Καὶ ταῦτα μὲν οὕτω.

LXX. Αἱ δὲ τριάκοντα τριήρεις, ἃς ὁ τῆς Ῥώμης ἀρχιερεὺς ἔπεμπε βοηθοὺς τῇ τε πόλει καὶ βασιλεῖ Κωνσταντίνῳ, καταχθεῖσαι ἐς Χίον κἀκεῖσε πνεύμασιν ἐναντίοις χρησάμεναι, αὐτοῦ περιέμενον, καιρὸν ἐπιτήδειον ἀναμένουσαι· ὡς δὲ μετὰ μικρὸν ἐπύθοντο τὴν τῆς πόλεως ἅλωσιν, ὑστερήσασαι τῆς βοηθείας πάλιν ἀπέπλευσαν οἴκοι, μηδὲν ὑπὲρ ὧν ἧκον διαπραξάμεναι. (2) Ἔδει δὲ ἄρα πάντως τὴν δυστυχῆ ταύτην πόλιν ἁλῶναί τε καὶ κακῶς παθεῖν, καὶ διὰ τοῦτο πάσης ἐπικουρίας πάντοθεν φαινομένης καὶ δυναμένης αὐτῇ βοηθεῖν, παντάπασιν ἀπεστέρητο· ἀλλὰ δὴ καὶ πάντα ξυνδεδραμήκει πρὸς τοῦτο, οὕτω τοῦ θείου ἐνδόντος.

LXXI. Ἑάλω τοίνυν ἐπὶ Κωνσταντίνου βασιλέως, ἑβδόμου Παλαιολόγων, ἐννάτῃ καὶ εἰκοστῇ φθίνοντος Μαΐου παρὰ Ῥωμαίοις, ἑξήκοντος ἔτους τῶν ἀπ' ἀρχῆς ἑνός τε καὶ ἑξηκοστοῦ παρὰ τοῖς ἐνακοσίοις τε καὶ ἑξακισχιλίοις, ἀπὸ δὲ κτίσεώς τε καὶ ξυνοικήσεως ταύτης ἔτεσι τέτταρσι καὶ εἴκοσι καὶ ἑκατὸν πρὸς τοῖς χιλίοις.

LXXII. Θνήσκει δὲ καὶ βασιλεὺς Κωνσταντῖνος αὐτὸς ᾗπερ ἔφην μαχόμενος, σώφρων μὲν καὶ μέτριος ἐν τῷ καθ' ἑαυτὸν βίῳ γενόμενος, φρονήσεως δὲ καὶ ἀρετῆς ἐς ἄκρον ἐπιμεμελημένος, ξυνετός τε καὶ τῶν ἄγαν πεπαιδευμένων, κἂν τοῖς πολιτικοῖς δὲ πράγμασι καὶ τοῖς ἐν ἀρχῇ οὐδενὶ τῶν πρὸ αὐτοῦ βασιλέων τῶν πρωτείων παραχωρῶν, ὀξὺς μὲν ξυνιδεῖν τὸ δέον παντὸς μᾶλλον, ὀξύτερος δὲ ἑλέσθαι, δεινὸς εἰπεῖν, δεινὸς δὲ νοῆσαι, δεινότερος δὲ πράγμασιν ὁμιλῆσαι, τῶν μὲν παρόντων ἀκριβὴς γνώμων, ἧπερ ἔφη τις ὑπὲρ Περικλέους, τῶν δὲ μελλόντων ὡς ἐπὶ πλεῖστον τοῦ εἰκότος ἄριστος εἰκαστής, ὑπέρ τε τῆς πατρίδος καὶ τῶν ἀρχομένων πάντα καὶ ποιεῖν καὶ πάσχειν αἱρούμενος, ὅς γε καὶ τὸν ἐπικείμενον τῇ πόλει προφανῆ κίνδυνον ὁρῶν αὐτοῖς ὀφθαλμοῖς καὶ δυνάμενος αὐτὸν ἐκσῶσαι καὶ πολλοὺς ἔχων τοὺς πρὸς τοῦτο παρακαλοῦντας, οὐκ ἠθέλησεν, ἀλλ' εἷλε τὸ ξυναποθανεῖν τῇ πατρίδι τε καὶ τοῖς ἀρχομένοις, μᾶλλον δὲ καὶ προαποθανεῖν αὐτός, ὅπως μὴ ταύτην τε ἁλοῦσαν ἐπίδοι, καὶ τῶν οἰκητόρων τοὺς μὲν σφαττομένους ὠμῶς, τοὺς δὲ δορυαλώτους ἀπαγομένους αἰσχρῶς. (2) Ἐπειδὴ γὰρ εἶδε τοὺς πολεμίους βιαζομένους τε αὐτὸν καὶ διὰ τοῦ κατερριμμένου τείχους ἐσερχομένους ἐπὶ τὴν πόλιν λαμπρῶς, εἰπεῖν λέγεται μέγα βοήσας ὑστάτην ταύτην φωνήν· « ἡ πόλις ἁλίσκεται κἀμοὶ ζῆν ἔτι περίεστιν; » καὶ οὕτως ἐς μέσους τοὺς πολεμίους ὦσαί τε ἑαυτὸν καὶ κατακοπῆναι. Οὕτως ἀνὴρ ἀγαθὸς ἦν καὶ τοῦ κοινοῦ κηδεμών, δυστυχὴς μέντοι γε παρὰ πάντα τὸν βίον αὐτοῦ, κἂν τῷ τέλει δὲ δυστυχέστατος. (3) Τὰ μὲν δὴ κατὰ τὴν μεγάλην πόλιν τὴν Κωνσταντίνου ἐπὶ μέγα δόξης ἀρθεῖσαν καὶ δυναστείας καὶ πλούτου ἔν γε τοῖς κατ' αὐτὴν καιροῖς, καὶ πάσας τὰς πρὸ αὐτῆς ἀποκρύψασαν πολλῷ τινι καὶ ἀπείρῳ τῷ μέσῳ ἐπί τε δόξῃ καὶ πλούτῳ καὶ ἀρχῇ καὶ δυνάμει καὶ μεγέθει καὶ τοῖς ἄλλοις πᾶσι θαυμαζομένην, οὕτως ἐτελεύτησεν.

LXXIII. Βασιλεὺς δὲ Μεχέμετις τήν τε πόλιν καὶ τὰ ἐν αὐτῇ πάντα καλῶς θεασάμενος, ἐπάνεισιν ἐς τὸ στρατόπεδον καὶ διατίθεται τὰ κατὰ τὴν λείαν. Καὶ

LXX. Αἱ δὲ τριάκοντα etc.] Cf. supra cap. 39. Pusculus de his ita habet 4, 1025:

Auxilium Deus ipse negavit :
in Tenedi portu nam tempestatibus actæ
stabant bis denæ naves, quas Gnosia tellus,
quæ Venetum imperium Rhadamanti legibus audit
omissis, plenas frumento et frugibus, inde
bis quinas Veneti mittebant Marte triremes
instructas, urbi auxilio Danaisque; sed omnes
mensem unum adverso tenuerunt sidere portum;
nec prius inde datum est se de statione movere,
quam Teucri capiant urbem regemque trucident.

§ 2. Τε καὶ κακῶς παθεῖν καὶ] add. margo. || — ἀλλὰ δὴ] add. margo.

LXXI. Ἑβδόμου] ὀγδόου Phrantz. p. 304, 3. || — Ἐννάτῃ καὶ εἰκοστῇ Μαΐου] Cf. Ducas p. 288, 15. Phrantzes p. 288, 19, et quæ ex Turcicis scriptoribus affert Hammer 1, p. 678. Constantinus obiit natus an. 49, mens. 3, dies 23 secundum Phrantzem p. 291, 12; de regni annis v. Phrantz. p. 304 et Chalcoc. p. 399, 15. || — ἑνός] πρώτου? At similiter habes καὶ ἓν cap. 77 ult. || — πρὸς τοῖς χιλίοις] πρὸς τρισχιλίοις codex; ab Constantinopolis encæniis (Sept. an. 328) usque ad expugnationem urbis (Maii mens. an. 1453) elapsi sunt anni 1124.

LXXII. § 1. Τῶν πρωτείων] sic mgo, τοῦ ἴσου text. || — ᾗπερ] sic m. 2, ὅπερ m. 1. De *Themistocle* Thucydides dixit 1,138, 3: τῶν τε παραχρῆμα δι' ἐλαχίστης βουλῆς κράτιστος γνώμων καὶ τῶν μελλόντων ἐπὶ πλεῖστον τοῦ γενησομένου ἄριστος εἰκαστής.

LXXIII. § 1. Ἔστιν ἃ δὲ τούτων καὶ] sic mgo; ἔστιν οὓς δὲ καὶ text. || — § 2. Νοταρᾶν] De virtute Lucæ Notaræ

πρῶτον μὲν λαμβάνει τὸν ξυνήθη δασμὸν αὐτῷ τῶν λαφύρων, ἔπειτα δὲ καὶ ἀριστεῖα ἀπὸ πάντων ἐκλέγεται, παρθένους τε ὡραίας καὶ τῶν εὖ γεγονότων καὶ παῖδας καλλίστους, ἔστιν ἃ δὲ τούτων καὶ ὠνούμενος παρὰ τῶν στρατιωτῶν. (2) Ἐκλέγεται δὲ καὶ τῶν ἐπιφανῶν ἀνδρῶν οὓς ἐμάνθανε γένει τε καὶ φρονήσει καὶ ἀρετῇ διαφέρειν τῶν ἄλλων, καὶ δὴ καὶ Νοταρᾶν αὐτὸν, ἄνδρα τῶν δυνατῶν τε καὶ ἐπιφανῶν ὄντα ἔν τε ξυνέσει καὶ πλούτῳ καὶ ἀρχῇ καὶ ἀρετῇ καὶ πολιτικῇ δυνάμει, καὶ τιμᾷ τοῦτον τῇ ἐσόδῳ τῇ παρ' αὐτὸν, καὶ λόγων μεταδίδωσι μειλιχίων καὶ χρησταῖς ἀνακτᾶται ταῖς ἐλπίσιν, οὐ μόνον αὐτὸν, ἀλλὰ καὶ τοὺς ἄλλους τοὺς μετ' αὐτοῦ· ἐσῄει γὰρ αὐτὸν ἔλεος τῶν ἀνδρῶν καὶ τῆς δυστυχίας αὐτῶν, ἐξ οἵας ἄρα εὐδαιμονίας ἐς οἵαν κακοδαιμονίαν κατήχθησαν· καὶ χρηστὰ περὶ αὐτῶν ἐβουλεύετο, εἰ καὶ ὁ φθόνος μικρὸν οὐκ εἴασεν ὕστερον. (3) Διαθέμενος δὲ ταῦτά τε καὶ τὰ κατὰ τοὺς στρατιώτας ἅπαντα καλῶς καὶ ὡς ἦν αὐτῷ κατὰ νοῦν, καὶ τιμήσας τοὺς μὲν αὐτῶν ἀρχαῖς τε καὶ ἀξιώμασι, τοὺς δὲ χρήμασι, τοὺς δὲ σιτηρεσίοις καὶ παντοίοις ἄλλοις δώροις, εὖ πεποιηκώς τε καὶ δεξιωσάμενος οὓς ᾔδει καλῶς ἀγωνισαμένους, ἔτι τε δημηγορήσας καὶ πολλὰ εἰπὼν ἐς ἔπαινον φέροντα καὶ εὐχαριστίαν αὐτῶν, ἀπολύει τὴν στρατιάν. (4) Αὐτὸς δὲ μετά γε τῶν ἐν τέλει καὶ τῆς ἰδίας αὐλῆς ἔσεισιν ἐς τὴν πόλιν, καὶ πρῶτον βουλεύεται, ὅπως ἂν αὐτὴν ξυνοικίσας πάλιν, οὐχ ὅσον ἦν πρότερον, ἀλλὰ καὶ πᾶσαν* εἰδιάαιτο, ὥστε βασίλειον εἶναι αὐτῷ, ἐν ἐπικαίρῳ γῆς καὶ θαλάσσης κειμένην· ἔπειτα δωρεῖται πᾶσι τοῖς τε ἐν τέλει καὶ οἰκείοις οἰκίας τε λαμπρὰς τὰς τῶν δυνατῶν καὶ παραδείσους καὶ ἀγροὺς καὶ ἀμπέλους ἔσω τῆς πόλεως, τοῖς δὲ καὶ ναοὺς περικαλεῖς, ὥστε εἶναι αὐτοῖς ἐς κατοίκησιν. (5) Ἐκλέγεται δὲ καὶ αὐτὸς τὸν μέσον καὶ κάλλιστον χῶρον τῆς πόλεως ἐς οἰκοδομὴν βασιλείων. Μετὰ δὲ τοῦτο, τῶν αἰχμαλώτων ὅσους ἔλαβε δασμὸν ξὺν γυναιξὶ

---

longe aliter judicant Pusculus et Leonardus. Videlicet acerrimus fuit τῶν ἐνωτικῶν adversarius, adeo ut dixerit : κρειττότερόν ἐστιν εἰδέναι ἐν μέσῃ τῇ πόλει φακιόλιον βασιλεῦον Τούρκων ἢ καλύπτραν Λατινικήν (Ducas p. 264, 14) De eo ita Pusculus 1, 434 :

generis non nomine clarus,
nec recti studio, pulchras namque oderat artes
barbarus hic, sed opum fama, quas turpiter ipse
et pater ad summum cumulum corraserat; olim
pisciculos vendebat avus; regnabat in urbe
alter, consilia et regis velanda tenebat.
Italiam inprimis, ignobilis, atque Latinum
nomen aeri invidia concussus in omen habebat
infandum, fideique rudis perhibebat in auras
ferri concilium, victos nec cedere Grajos
pontifici summo Romano jure volebat.

Similiter Leonardo archiepiscopo p. 335 est *miser ille qui semper gloriam mendaciis et schismate captare concupivit*. Secundum Ducam p. 295 captus Notaras est postquam a Basilica porta domum se contulerat. [Domum hanc sitam fuisse prope Bucoleonem inter portas *Tchatlady kapu* et *Achyr-Kapussi* censet Mordtmannus l. l. p. 143, qui ibi in muro urbis hancce repperit inscriptionem :

ΛΟΥΚ... (Reliqua trabe lignea obtecta sunt)
ΝΟΤΑΡΑΣ
ΔΙΕΡΜΗΝΕΥΤΟΥ

ex qua simul patere existimat magnum ducem olim interpretis munere apud imperatorem functum esse. Id tamen e genetivo διερμηνευτοῦ colligi nequit. Referenda vox ad patrem Lucæ, Nicolaum Notaram; hunc enim Manuelis imp. διερμηνευτὴν fuisse Ducas p. 93, 20 narrat. Neque ex eo quod Ducas p. 295 turrem memorat, in qua inclusa familia Lucæ Turcos aggredientes arcere studebat, consequitur domum Lucæ ad murum in quo inscriptio exstat, sitam fuisse. Probabilius ex titulo colligas istam muri urbani partem a Luca fuisse restauratam.] Re comperta, Mechemetes misit qui Lucam ejusque familiam custodirent ac tuerentur. Adductum deinde quum rex increpasset, quod deditione urbis stragem non avertisset, Lucas culpam ejus rei in Chalilem verbis tectis (vel, secundum Leonardum p. 335, monstratis Chalilis literis) retorsisse dicitur. Propius ad Critobuli narrationem accedunt quæ idem Ducas p. 301 sq. prodidit. Ibi Lucam simul cum Orchane captum esse narrat, Mechemetem vero Notaram in Cosmidium adductum benigne excepisse et familiæ ejus curam habuisse, ac duci dixisse : « Τὴν πόλιν ταύτην σοι μέλλω παρακαταθέσθαι τοῦ ἔχειν τὴν ἅπασαν αὐτῆς φροντίδα, καὶ ποιήσω σε εἰς κρειττοτέραν δόξαν παρ' ἣν εἶχες ἐν τῷ καιρῷ τοῦ βασιλέως. καὶ μὴ ἀθύμει » Addit deinceps : Εὐχαριστήσας οὖν καὶ ἀσπασάμενος τὴν αὐτοῦ χεῖρα ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ. Μαθὼν δὲ παρ' αὐτοῦ τὰ ὀνόματα τῶν εὐγενῶν τῶν ἐν τῷ παλατίῳ διαπρεψάντων ὀφφικιαλίων, πάντων τὰ ὀνόματα κατέγραψε· καὶ ἐν τοῖς πλοίοις καὶ ἐν ταῖς σκηναῖς συναθροίσας σύμπαντας ἐξηγόρασεν, ἀνὰ χιλίων ἀσπρῶν δοὺς τοῖς Τούρκοις, etc. Benevolentiæ, qua Notaram rex prosecutus sit, paucis etiam Chalcocondylas p. 401, 20 meminit. Longe alia tradit Phrantzes p. 291, 15, apud quem Notaræ animus vilis acerbissimis conviciis a Mechemete castigatur. || — ὄντα] sic mgo; ἄγαν text. || — κατήχθησαν] sic mgo; κατέπεσον text. Ante verba ἐξ οἵας fort. excidit ἐννοῶν vel tale quid. || — ὕστερον] Vid. § 8.

§ 4. Ξυνοικίσας] συνοικήσας cod. || — πᾶσαν * εἰδιάαιτο] Corrupta hæc. ἀλλὰ καὶ μᾶλλον (s. πλέον) εὖ διάθοιτο? || — τὰς ante τῶν δυνατῶν add. m. 2. || — § 5. τὸν μέσον χῶρον] Cf. 2, 1,2 : τὸν πλεῖστον καὶ κάλλιστον χῶρον, in quo structum palatium quod nunc *Eski-Serai* vocatur. Ceterum hoc palatium rex ædificare cœpit æstate anni 1454, postquam e prima contra Servios expeditione [a Critobulo non memorata] redux Constantinopolim venerat. Ducas p. 317, 23 : εἰσελθὼν δὲ ἐν τῇ πόλει καὶ διαμετρήσας ἐν μέσῳ αὐτῆς γῆν περιέχουσαν στάδια η' ἢ καὶ πλέον, ἐκέλευσε περιορίσαι αὐλὴν καὶ ἔνδον αὐτῆς

καὶ παισὶ καθίζει παρὰ τῷ τοῦ λιμένος αἰγιαλῷ τῆς πόλεως, θαλασσίους ὄντας, οὓς πρώην Στενίτας ὠνόμαζον, δοὺς αὐτοῖς καὶ οἰκίας καὶ ἀτέλειαν χρόνων ῥητῶν· (6) καὶ τοῖς ἄλλοις δὲ πᾶσι τοῦτ' αὐτὸ προκηρύξας, ὅσοι τὴν ἰδίαν ὠνὴν καταβαλόντες ἢ ξυνθέμενοι καταβαλεῖν ἐν καιρῷ ῥητῷ τοῖς δεσπόταις, βούλοιντ' ἂν κατοικεῖν ἐν τῇ πόλει, καὶ τούτοις δὴ ἀτέλειαν καὶ οἰκίας παρέσχεν ἢ τῶν ἰδίων ἢ τῶν ἀλλοτρίων. (7) Ἐβούλετο δὲ καὶ τῶν ἀρχόντων οὓς ἐξελέξατο κατοικίσαι αὐτοῦ ξὺν γυναιξὶ καὶ τέκνοις, παρασχὼν αὐτοῖς καὶ οἰκίας καὶ κτήματα καὶ πρόνοιαν τοῦ ζῆν, καὶ τρόπῳ παντὶ θεραπεῦσαι αὐτούς· καὶ ἦν αὐτῷ τοῦτο κατὰ νοῦν τε καὶ διὰ σπουδῆς, ὡς ἐλέγετο· (8) τὸν δέ γε Νοταρᾶν καὶ τῆς πόλεως ἐπιστάτην ἐσκόπει καταστῆσαι καὶ τοῦ ξυνοικισμοῦ ταύτης κύριον, ξυμβούλῳ χρησάμενος αὐτῷ πρότερον περὶ τούτου· ἀλλ' ἔφθησαν αὐτοὺς τὰ τοῦ φθόνου βέλη βαλόντα καιρίαν, καὶ κυροῦται θάνατος ἄδικος κατ' αὐτῶν. (9) Τῶν γὰρ μέγα δυναμένων ἔνιοι, οὐκ οἶδ' ὅθεν, φθόνῳ δὴ καὶ μίσει τῷ πρὸς τοὺς ἄνδρας φερόμενοι ἀναπείθουσι τὸν κρατοῦντα τούτους ἐκ μέσου ποιῆσαι, μὴ δεῖν λέγοντες ἄνδρας Ῥωμαίους καὶ τῶν ἐπιφανῶν μὴ ὅτι γε κατοικεῖν ἐν τῇ πόλει ταύτῃ καὶ προνοίας ἡστινοσοῦν ἠξιῶσθαι, ἀλλ' οὐδὲ ζῆν ὅλως καὶ περινοστεῖν ἐν τῷ τόπῳ τῷ σῷ· ἀνεθέντας γὰρ μικρὸν καὶ τῆς δουλείας ἀπαλλαγέντας οὐκ ἀτρεμήσειν ἔτι, ἀλλὰ τῶν ἰδίων καλῶν καὶ ὧν πρόσθεν εἶχον ἐπιθυμήσαντας καὶ δὴ καὶ ἐλευθερίας, πάντα πράξειν κατὰ τῆς πόλεως, ἢ αὐτομολήσαντας πρὸς τοὺς ἡμῖν ἐναντίους ἢ αὐτοῦ μένοντας. (10) Τούτοις πεισθεὶς ἢ μᾶλλον παραπεισθεὶς ὁ βασιλεὺς ἐκέλευσεν ἀναιρεθῆναι τοὺς ἄνδρας. Οἱ δὲ ἀναιροῦνται, καὶ ξυναναιρεῖται τούτοις ὁ μέγας δοὺξ ξὺν τοῖς δυσὶ υἱέσι. (11) Φασί γέ τοι τοῦτον, ἐς τὸν τόπον τῆς ἀναιρέσεως ἀπαχθέντα, παρακαλέσαι τὸν δήμιον πρὸ ὀφθαλμῶν αὐτοῦ πρότερον ἀποκτεῖναι τοὺς παῖδας, τοῦ μὴ τὸν θάνατον δείσαντας ἀρνηθῆναι τὴν πίστιν, εἶθ' οὕτως αὐτὸν τοῖς παισὶν ἐπιθῦσαι. Ἱστάμενον οὖν ὁρᾶν ἀτενὶ σφαττομένους τοὺς παῖδας ἀτρέπτῳ τῷ ὄμματι καὶ ἀπτοήτῳ τῇ γνώμῃ, εἶθ' οὕτως εὐξάμενον καὶ τῷ θεῷ χάριτας ὁμολογήσαντα τῆς ἀπαγωγῆς τῶν παίδων, καὶ ἑαυτοῦ ὑποθεῖναι τὸν αὐχένα τῷ ξίφει. Οὕτω γενναίως καὶ μετὰ φρονήματος καθεστῶτος καὶ ψυχῆς ἀνδρείας ἀπέθνησκεν. (12) Ἦν γὰρ ὁ ἀνὴρ εὐσεβής τε τὰ ἐς θεὸν ὅλως καὶ ξυνέσει διαφέρων, ἔτι δὲ φρονήματος μεγαλείῳ καὶ γνώμης ὀξύτητι καὶ ψυχῆς ἐλευθερίᾳ πάντων κρατῶν, καὶ διὰ πάντων φύσεως ῥώμην δεικνὺς καὶ ἀνὴρ ἀγαθὸς ὤν· δι' ὧν καὶ τὴν πολιτικὴν ἀρετὴν ἔσχε, καὶ τὴν ἐν τοῖς πράγμασι δύναμιν ἐκτήσατο, καὶ ἐπὶ μέγα δόξης ἤρθη καὶ πλούτου, τὰ πρωτεῖα φέρων οὐ μόνον παρὰ Ῥωμαίοις, ἀλλὰ δὴ καὶ πολλοῖς τῶν ἔξω γενῶν. Καὶ οἱ ξὺν αὐτῷ δὲ πάντες εὐθαρσῶς τε καὶ μετὰ γνώμης σταθερᾶς καὶ ἀνδρείας ἀπέθνησκον, ἐννέα τὸν ἀριθμὸν ὄντες. (13) Ὕστερόν γε μὴν καταφωράσας ὁ βασιλεὺς τὸν δόλον καὶ τὴν κακουργίαν τῶν ἀναπεισάντων αὐτὸν ἀποκτεῖναι τοὺς ἄνδρας, καὶ μισήσας τῆς κακουργίας αὐτοὺς ἐξ ὀφθαλμῶν ποιεῖται, τοὺς μὲν θανάτῳ ζημιώσας, τοὺς δὲ παραλύσας τῆς ἀξίας καὶ τῆς τιμῆς· καὶ ταύτην οὐκ ἐς μακρὰν ἔδοσαν δίκην τῆς ἐς τοὺς ἄνδρας παρανομίας. Καὶ ταῦτα μὲν μικρὸν ὕστερον. (14) Ἀποκαθίστησι δὲ καὶ τῆς πόλεως ἔπαρχον τότε καὶ τῶν περὶ αὐτὴν ἄνδρα τῶν πάνυ ξυνετῶν καὶ χρησίμων, ἀλλὰ δὴ καὶ τοὺς τρόπους χρηστὸν, Σουλαϊμάνην ὄνομα, ᾧ τά τε ἄλλα καὶ δὴ καὶ τὸν τῆς πόλεως ξυνοικισμὸν ἐπέτρεψε πάνυ τοι προὔργου ποιεῖν.

LXXIV. Ταῦτα δὲ δράσας ἐπάνεισιν ἐς τὴν Ἀδριανοῦ θέρους, κἀκεῖ δέχεται πρεσβείας παρά τε Τριβαλλῶν καὶ Ἰλλυριῶν καὶ Πελοποννησίων, ἔτι δὲ Μιτυληναίων καὶ Χίων καὶ πολλῶν ἄλλων, αἷς ἁπάσαις ἐχρημάτισεν ἡμέρως, τοῖς μὲν σπεισάμενος καὶ πίστεις δοὺς καὶ λαβὼν, τοῖς δὲ δωρησάμενος ἃ ᾔτουν, ἔστι δ' οἷς καὶ φόρους ἀνεὶς, τοῖς δὲ ἄλλο τι καλὸν πεποιηκὼς, πᾶσι δὲ λαλήσας εἰρηνικά. (2) Ὁμοίως ἥκουσι πρέσβεις αὐτῷ καὶ παρὰ τοῦ Περσῶν βασιλέως καὶ Αἰγύπτου, ἀλλὰ δὴ καὶ Καραμάνου τοῦ Κιλίκων

οἰκοδομῆσαι παλάτια, etc. Cf. Critobul. 2, 1, 2, Seaddedin. p. 165. || — στενίτας] V. Constantin. Porphyrog. De adm. imp. p. 233, 11, ed. Bonn., et plura apud Ducang. in Constant. Christ. lib. 4 p. 186 et in Stephan. Thes. s. v. στενῖται. || — § 6. ῥητῷ] add. m. 2. || — § 7. θεραπεῦσαι] θεραπεύσας? || — ὡς ἐλέγετο] add. margo. || — § 8. Νοταρᾶν] V. supra ad § 2. || — § 9. πρόσθεν] m. 2, πρότερον m. 1. || — § 10. συναναιρεῖται τ. ὁ μέγας δοὺξ] sc. quod filium libidini regis prostituere noluerat, ut multis narrat Ducas p. 303-306, paucis Chalcocond. p. 402, Leonardus p. 335, Pusculus 4, 1070. Causam hanc condemnationis cum Critobulo tacet Phrantzius p. 293. || — § 11. ἐς τὸν τόπον] τὴν τοῦ Ξηροῦ λόφου ἀγοράν (*Awret bazari*) sec. Phrantz. p. 293, 7. || — ἐπιθῦσαι] m. 2; ἐπισφάξαι m. 1. || — § 12. ἐννέα] Quinque commemorant Phrantzes et Leonardus l. l., quorum ille: μετὰ ταῦτα ἐθανάτωσε πολλοὺς εὐγενεῖς ἄρχοντας, τὸν τῶν Ἐνετῶν ἄγγαρον (*Girolamo Minotto*) καὶ τὸν υἱὸν αὐτοῦ, τὸν ἀστάνδην τῆς Καταλονίας (*Pietro Guliano*) καὶ τοὺς δύο υἱοὺς αὐτοῦ. || — § 14. Σουλαϊμάνην] Ducas p 313, 16: ἔπαρχον καταστήσας Σολειμὰν ὀνόματι, δοῦλον αὐτοῦ. Cf. Seadeddin. 2, p. 165.

LXXIV. § 1. Ἐπάνεισιν] Junii mensis die decimo octavo, sec. Ducam p. 313, 21. || — κἀκεῖ] κἀκεῖσε m. 2. || — πρεσβείας] Ducas p. 314, 3: Ἐλθὼν δὲ ἐν Ἀνδριανουπόλει ἐντὸς μετὰ θριάμβου ἐξοχωτάτου, ἦν ἰδεῖν συρρέοντας πάντας τοὺς ἀρχηγοὺς καὶ ἡγεμόνας τῶν Χριστιανῶν τοὺς ἐγγὺς καὶ τοὺς πόρρω προσαγορεύοντας τὸ χαῖρε. Ποία καρδία, ποία γνώμη, ποῖα χείλη, ποῖον στόμα. Ἀλλ' ἄκοντες καὶ μὴ βουλόμενοι προσεκύνουν σὺν δώροις, φοβούμενοι μὴ καὶ αὐτοὶ τὰ ὅμοια πάθωσιν. Ὁ δὲ τύραννος ἐκάθητο ὑπαύχην καὶ ἀλαζὼν, ἐπαιρόμενος ἐπὶ τῇ ἁλώσει τῆς πόλεως... Ἀπελογίσατο οὖν πρῶτον τῷ πρέσβει Σερβίας τοῦ διδόναι κατ' ἔτος τῇ ἡγεμονίᾳ τῶν Τούρκων νομίσματα χιλιάδας δώδεκα, τοῖς δεσπόταις τῆς Πελοποννήσου χιλιάδας δέκα καὶ κατ' ἔτος σὺν δώροις ἔρχεσθαι εἰς προσκύνησιν αὐτοῦ, τῷ ἐν τῇ Χίῳ κατ' ἔτος νομίσματα χιλιάδας ἕξ, τῷ Μιτυλήνης κατ' ἔτος νομίσματα χιλιάδας τρεῖς, τῷ Τραπεζοῦντος καὶ πᾶσι τοῖς ἐν τῇ Ποντικῇ θα-

ἐπάρχοντος, ξυγχαίροντές τε τῶν κατωρθωμένων καὶ ἅμα ἐπαινοῦντες αὐτὸν τῆς τε ἀνδρείας καὶ ἀρετῆς καὶ τῆς ὑπὲρ τοῦ γένους σπουδῆς· καὶ δέχεται τούτους ἀσμένως, καὶ τιμᾷ δώροις ἄλλοις τε πολλοῖς φιλοτίμοις καὶ δὴ καὶ τοῖς ἀπὸ τῶν λαφύρων, καὶ ἀποπέμπει λαμπρῶς. (3) Μετὰ δὲ τοῦτο τῶν εὐγενῶν παίδων οὓς ἔλαβεν ἀριστίνδην ἐπιλεξάμενος, ἀποκαθίστησιν οὓς μὲν σωματοφύλακας καὶ περὶ αὐτὸν, οὓς δὲ καὶ περὶ τὴν ἄλλην θεραπείαν αὐτοῦ, τῆς τε φρονήσεως καὶ τῆς ἄλλης ἀρετῆς καὶ παιδείας θαυμάσας αὐτούς· καὶ γὰρ ἦσαν ὥρᾳ τε σώματος διαλάμποντες καὶ ψυχῆς εὐγενείᾳ καὶ εὐφυΐᾳ, τῇ τε τῶν τρόπων καὶ τοῦ ἤθους καταστάσει πολὺ διαφέροντες, ἅτε γένους ὄντες ἐπισήμου τε καὶ λαμπροῦ καὶ φύσεως τυχόντες ἀρίστης καὶ ἐν τοῖς βασιλείοις πεπαιδευμένοι καλῶς. Ὁμοίως δὲ καὶ τὴν τῶν παρθένων αἰδῶ καὶ κόσμον καὶ κάλλος ἐθαύμασε, καὶ τὴν ἐν τοῖς καλοῖς πᾶσι τοῦ γένους ὑπεροχήν.

LXXV. Ἐν δὲ ταῖς αὐταῖς ἡμέραις ἀφικνεῖται καὶ παρὰ τῶν νήσων πρεσβεία τῷ βασιλεῖ, ἣν ἔπεμψε Κριτόβουλος ὁ Ἰμβριώτης, ὁ καὶ τάδε ξυγγράψας, ἐνδιδοῦσα τὰς ἐν τῷ Αἰγαίῳ νήσους αὐτῷ, Ἴμβρον καὶ Λῆμνον καὶ Θάσον, κατηκόους οὔσας πρότερον τῷ βασιλεῖ Κωνσταντίνῳ. Οἱ γὰρ ἐν αὐταῖς παρ' αὐτοῦ σταλέντες ἄρχοντες πρότερον, μαθόντες τήν τε τῆς πόλεως ἅλωσιν καὶ τὸν αὐτοῦ θάνατον, ἀπογνόντες τοῖς ὅλοις εὐθὺς ᾤχοντο φεύγοντες, οἱ μὲν, οἱ Λήμνιοι, μετὰ τῶν Ἰταλικῶν τριήρεων καταχθεισῶν ἐν ἄκρᾳ τῆς Λήμνου ἐν τῇ φυγῇ τῇ ἀπὸ τῆς πόλεως καὶ ὑποστροφῇ, οἱ δὲ ἐν τῇ Ἴμβρῳ μετὰ τῶν ὁλκάδων καταχθεισῶν καὶ αὐτῶν ἐν τῷ Κεφάλῳ λεγομένῳ, ἄκρᾳ τῆς Ἴμβρου. (2) Οἱ δὲ ἐν ταῖς νήσοις ἰδόντες τε τὸν δρασμὸν τῶν ἀρχόντων, καὶ δεδιότες τὴν ἔφοδον τοῦ βασιλέως στόλου, μήποτε ἐπιπλεύσῃ αὐτοῖς (ἤδη γὰρ ἐπυνθάνοντο ὑποστρέφοντα τοῦτον ἐν Καλλιουπόλει), δρασμὸν ἐβουλεύοντο· καὶ μέντοι γε καὶ ἀπέδρων τῶν Λημνίων ἐγγύς που διακόσιοι ἄνδρες ξὺν γυναιξὶ καὶ τέκνοις, οἱ μὲν ἐς Κρήτην, οἱ δὲ ἐς Χίον, οἱ δὲ ἐς Εὔβοιαν ἀπαχθέντες. (3) Κριτόβουλος δὲ τοῦτο μαθὼν ἀνέσχε τε τούτους τῆς ὁρμῆς, χρησταῖς ἐλπίσι κουφίσας, καὶ ἄνδρα πιστὸν αὐτῷ πέμπει κρύφα Χαμούζᾳ τῷ σατράπῃ Καλλιουπόλεως καὶ ἡγεμόνι τοῦ στόλου παντὸς, καὶ μετ' αὐτοῦ ξυνθήκας ποιεῖται μὴ ἐπιπλεύσεσθαι ταῖς νήσοις, μηδὲ κακόν τι μηδὲν ταύταις ὅλως ἢ βουλεῦσαι ἢ πρᾶξαι, πολλοῖς δώροις ἀναπείσας αὐτὸν, καὶ δι' αὐτοῦ μέσου πέμπει δὴ καὶ πρέσβεις ὡς βασιλέα τόν τε ἱερέα τῆς νήσου καὶ ἄρχοντα μετ' αὐτοῦ τῶν ἐγχωρίων, δῶρά τε κομίζοντας καὶ ἐνδιδόντας τὰς νήσους αὐτῷ καὶ ἅμα παρακαλοῦντας ἐᾶσαί τε μένειν αὐτὰς ἐν τῇ προτέρᾳ αὐτῶν καταστάσει οἰκουμένας καὶ ἀποφέρειν αὐτῷ τούς τε ὡρισμένους φόρους ἐτησίως καὶ ἄρχοντα ἔχειν ὃν ἂν κελεύσῃ. (4) Βασιλεὺς δὲ δέχεται τούτους ἡμέρως καὶ παρέχει τὰ αἰτηθέντα καὶ δωρεῖται τὰς νήσους καθὼς ἦσαν ἐν τῷ τοῦ βασιλέως καιρῷ τεταγμέναι, Ἴμβρον μὲν Παλαμήδῃ τῷ τῆς Αἴνου ἐπάρχοντι, Λῆμνον δὲ καὶ Θάσον Δωριεῖ τῷ Μυτιλήνης ἡγεμόνι. Ἔτυχον γὰρ τότε ὁ μὲν ἀποστείλας τὸν υἱὸν πρέσβυν ὡς βασιλέα, ὁ Δωριεύς, ὁ δὲ ἄρχοντα τῶν πρώτων παρ' αὐτῷ καὶ σφόδρα οἰκείων, ὁ Παλαμήδης, κατὰ ζήτησιν τῶν αὐτῶν νήσων· οἷς καὶ ξυνέπραξαν τὰ μάλιστα οἱ παρὰ τοῦ Κριτοβούλου πρέσβεις σταλέντες, ἔχοντες ἀνάθεσιν ταύτην καὶ ἐξαιτήσαντες καὶ αὐτοὶ τοῦτο παρὰ τοῦ βασιλέως. (5) Οὕτως ἠλευθέρωντο τοῦ τότε κινδύνου αἱ νῆσοι· προσεδοκᾶτο γὰρ αὐταῖς κίνδυνος οὐχ ὁ τυχὼν ἐν τῇ ἀπὸ τῆς πόλεως ἐπανόδῳ τοῦ στόλου ἐς Καλλιούπολιν.

LXXVI. Κατὰ δὲ τὰς αὐτὰς ἡμέρας ξυλλαμβάνει καὶ Χαλίλην ὁ βασιλεύς, ἄνδρα τῶν πρώτων παρ' αὐτῷ καὶ μέγα δυναμένων, καὶ ἐς εἱρκτὴν ἐμβάλλει, καὶ πολλὰ αἰκισάμενος ἀναιρεῖ· εὕρηται δὲ πολύ τι χρῆμα χρυσοῦ καὶ ἀργύρου ἐν αὐτῷ καὶ πλούτου παντοδαποῦ ἐκ παλαιῶν ἤδη χρόνων ξυλλεγέντος παρά τε τῶν προγόνων καὶ αὐτοῦ δή· ἦν γὰρ ὁ ἀνὴρ τῶν εὖ γεγονότων παρ' αὐτοῖς, καὶ ἐπὶ δόξῃ καὶ πλούτῳ διαφανῶν καὶ δυνάμει. Πάντα οὖν τὸν πλοῦτον ἐπῆξεν ἐς τὸ βασιλικὸν ταμιεῖον, πλὴν ὧν κατέλιπε τοῖς υἱέσιν αὐτοῦ εὐαριθμήτων πάνυ· ὕστερον μέντοι πάντα ἀπέ-

---

λάσσῃ οἰκοῦσι κατ' ἔτος ἐρχομένους ποιεῖν τὴν προσκύνησιν μετὰ δωροφορίας καὶ διδόναι τὰ τέλη. || — § 2. πρέσβεις π. τ. Περσῶν βασ. καὶ Αἰγύπτου] In Feriduni collectione epistolarum exstant literæ quibus Constantinopolis expugnationem Mechemetes nuntiavit sultano Ægypti et Meccæ principi et regi Persarum, et horum principum responsa. V. Hammer l. l. p. 5 not. || — § 3. τυχόντες] m. 2; λαχόντες m. 1.

LXXV. Quæ hoc capite Critobulus de se ipse narrat, aliunde non nota sunt. § 1. παρ' αὐτοῦ] a Critobulo? Fort. leg. παρ' αὐτὸν, ad Constantinum. — || ᾤχοντο φεύγοντες] Cf. Chalcocond. p. 400, 5 : αἱ μὲν οὖν τριήρεις (Venetorum qui Constantinopoli in Eubœam navigarunt) ἀφικόμεναι ἀγγέλλουσί τε τὴν Βυζαντίου συμφοράν... καὶ αἱ νῆσοι σχεδόν τι ξύμπασαι ὥρμηντο ἐς φυγήν. || — καταχθεισῶν] m. 2, κατασχουσῶν m. 1. || — τῷ Κεφάλῳ λεγομένῳ, ἄκρᾳ.] Cf. lib. 2, 16, 2. || — §. 2. ἐπιπλεύσῃ] m. 2, Αἰγαίῳ ἐπιπλεύσασι m. 1. || — δρασμὸν ἐβουλεύοντο] δρ. ἐβ. καὶ αὐτοί?

LXXVI. Χαλίλην] Χαλήλην cod. || — αἰκισάμενος] μωρησάμενος (sic) margo, quod fuerit τιμωρησάμενος. Secundum Osmansadem in opere quod inscribitur *Hadikatul Wusera* (i. e. hortus Vesirorum), Chaliles tertio post urbem captam die in carcerem conjectus et captivitatis die quadragesimo (10 Jul. 1853) interfectus est, notante Hammero 2, p. 5. Seadeddinus 2, p. 144 de his ita habet : *Halil Bassa vesir grande fù con li suoi dependenti arrestato, e dopo un quarto d'anno privato di vita; pero li suoi dependenti per indulto regio furono lasciati liberi.* Interfectus igitur Chaliles foret initio Septembris mensis. Secundum Phrantzem p. 293, 20 captum μετὰ ὀλίγας ἡμέρας ἐθανάτωσεν. Chalcocondylas p. 404, 4 necatum dicit οὐ πολλῷ ὕστερον quam vinctus Adrianopolim abductus esset. Obiter rei meminit Leonardus p. 335, omnino non meminit Ducas. || — πολύ τι χρῆμα] ὑπὲρ τὰς ιβ' μυριάδας χρυσοῦ,

δωκεν αὐτοῖς. (2) Εἶχε δ' αἰτίας καὶ ἄλλας μέν, δι' ἃς εἰκότως ὠργίζετο αὐτῷ ὁ βασιλεύς, αἱ δὲ μείζους ἦσαν αὗται, ὅτι τε, ζῶντος αὐτῷ τοῦ πατρός, ἐν πολλοῖς ἠναντίωτο μέγα δυνάμενος παρ' αὐτῷ, καὶ δὴ καὶ κύριον ἔτι ζῶντος ἀποδείξαντος αὐτὸν τῆς ὅλης ἀρχῆς, ἐσηγήσεσι τούτου πάλιν παρέλυσε ταύτης, καὶ ὅτι ἐς τὸν κατὰ τῆς πόλεως πόλεμον ἀποτρέπων τε ἦν αὐτόν, καὶ ἐν ἀπορρήτοις ἐκοινολογεῖτο Ῥωμαίοις, ἔκφορα καθιστὰς τὰ αὐτοῦ, καὶ πάντα τρόπον ἀντιπράττων τε ἦν αὐτῷ καὶ ἐναντιούμενος. (3) Καὶ αὗται μὲν ἦσαν αἰτίαι προηγούμεναι ἐς τὸ φανερὸν τῆς τε ξυλλήψεως αὐτοῦ καὶ τῆς ἀναιρέσεως· ἦσαν δὲ καὶ ἄλλαι τῶν ἀφανῶν. Ἐς δὲ τὴν τούτου τάξιν ἀντικατέστησεν Ἰσαάκην, ἄνδρα τῶν πάνυ ξυνετῶν τε καὶ πολλῶν πραγμάτων ἔμπειρον, ἀλλὰ δὲ καὶ στρατηγικὸν καὶ ἀνδρεῖον.

LXXVII. Μετ' οὐ πολλὰς δὲ ἡμέρας παραλύει καὶ Ζάγανον τῆς τε ἀρχῆς ἅμα καὶ τάξεως, ἀπολύσας αὐτοῦ καὶ τὴν θυγατέρα, ἣν νεωστὶ γεγαμηκὼς ἦν· καὶ πέμπει δὴ τοῦτον ξὺν τῇ θυγατρὶ ἐς Ἀσίαν, δοὺς αὐτοῖς καὶ χώραν ἱκανὴν ἐκεῖ ἐς διατροφήν· (2) ἀντικαθιστᾷ δὲ ἐς τὴν τούτου τάξιν τε καὶ ἀρχὴν καὶ τῶν ὅλων πραγμάτων ἐπιμέλειαν τὸν ἐπὶ τῇ ἑτέρᾳ θυγατρὶ αὐτοῦ κηδεστὴν Μαχουμούτεα, ἄνδρα τὰ πρῶτα μὲν φέροντα τοῦ γένους Ῥωμαίων πρός τε πατρὸς καὶ μητρὸς (ὁ δέ γε πρὸς πατρὸς πάππος αὐτῷ Φιλανινὸς καὶ τῆς Ἑλλάδος ἦρχε καὶ τῇ τοῦ Καίσαρος ἀξίᾳ ἐτετίμητο), οὕτω δὲ φύσεως ἀρίστης λαχόντα, ὡς ἀποκρύψαι μὴ μόνον τοὺς κατ' αὐτὸν ἅπαντας, ἀλλὰ δὴ καὶ τοὺς πρὸ αὐτοῦ ἔν τε φρονήσει καὶ ἀνδρίᾳ καὶ ἀρετῇ καὶ τοῖς ἄλλοις καλοῖς· ὀξὺν μὲν οἴκοθεν ξυνιδεῖν τὸ δέον καί, ἄλλου εἰπόντος, νοῆσαι, ὀξύτερον δ' ἑλέσθαι καὶ καταπρᾶξαι, ἔτι δὲ δεινὸν μὲν ὁμιλῆσαι πλήθει καὶ πολλῶν ἄρξαι, δεινότερον δὲ πράγμασι χρήσασθαι καὶ ἐν ἀπόροις πόρον εὑρεῖν, μεγαλοπράγμονα, βουλευτικόν, εὐθαρσῆ, γενναῖον, ἄριστον διὰ πάντων, ὡς ἔδειξαν αὐτὸν οἵ τε καιροὶ καὶ τὰ πράγματα· (3) ἐξ ὅτου γὰρ οὗτος γέγονεν ἐν τοῖς τοῦ μεγάλου βασιλέως πράγμασι, πάντα τὰ τῆς μεγάλης ταύτης ἀρχῆς ἐπὶ τὸ κρεῖττον ἐπέδωκε τῇ τε θαυμαστῇ σπουδῇ καὶ ταῖς ἀρίσταις βουλαῖς καὶ τῇ καθαρᾷ καὶ ἀδόλῳ τούτου πρὸς τὸν κρατοῦντα πίστει τε καὶ εὐνοίᾳ· οὕτω κρείττονος τοῖς ὅλοις φύσεως ἦν τε ὁ ἀνὴρ καὶ διεδείχθη τοῖς πράγμασι. (4) Βασιλεὺς δὲ ταῦτα πράξας ἐν Ἀδριανουπόλει ἐπάνεισι φθινοπώρου ἐς τὸ Βυζάντιον· καὶ ἑξηκοστὸν δὴ καὶ ἓν ἔτος πρὸς τοῖς ἐνναχοσίοις καὶ ἑξακισχιλίοις τοῖς ὅλοις ἠνύετο, τρίτον δὲ τῆς ἀρχῆς τῷ βασιλεῖ.

Chalcocond. p. 404, 18. || — § 2. πάλιν παρέλυσε ταύτης] De his vide Ducam p. 222, 3 sqq. || — ἀποτρέπων τε ἦν κτλ.] V. Chalcocond. l. l. et Phrantz. p. 265. 268. 293. || — § 3. ἐς τὸ φανερὸν] add. mgo. || — ἀντικατέστησεν Ἰσαάκην]. Secundum Turcicos scriptores qui Vesirorum historiam contexuerunt, post necem Chalilis locus Vesiri maximi per annum vacavit, deinde vero [postquam ex expeditione contra Servios rex redierat, sec. Seadeddin. p. 167] munus illud demandatum est Machumuti, quem Critobulus Zagano suffectum esse dicit, dum Chalilis successorem fuisse perhibet Isaacum, quem ex antecc. tanquam Asiæ præfectum novimus, quemque Muratis regis viduam in matrimonio habuisse e Duca p. 281, 8 constat. Vide Hammer. l. l. 2 p. 13. Critobuli auctoritas in his rebus plane nulla.

LXXVII. § 1. Αὐτοῦ τὴν θυγατέρα etc.] E duabus Zagani filiabus alteram Mechemeti, alteram Machumuti in matrimonium datam esse refert Chalcocondylas p. 404, 11. De Zagano in Asiam amandato aliunde non constat, quantum sciam. || — § 2. τὴν τῶν ὅλων πραγματείαν]. Hæc ex margine addita. Verba quadrant in munus Vesiri maximi, ideoque in successorem Chalilis, non vero Zagani, quamquam reapse, quo tempore Chaliles condemnatus est, summi ministerii potestas penes Zaganum erat regis favore pollentem. Cf. Chalcocond. p. 404, 11: Ταῦτα δὲ (Chalilis condemnatio) ἐγένετο, ἐπικρατοῦντος τότε καὶ τὸ κράτος ἔχοντος παρὰ βασιλεῖ Ζαγάνου, τοῦ κηδεστοῦ βασιλέως. Eoque sensu Zagano successisse Machumutem etiam Chalcocondylas dicit p. 436: ἔπειτα μὲν οὖν Ζάγανον τὸν ἑαυτοῦ κηδεστὴν ἐξήλασεν ἐκ τῆς τιμῆς, τὰ πάντα οὗτος (ὁ Μεχμούτης) ἐγένετο· ἐγεγόνει δὲ οἷος οὐδείς πω πρότερον ἐς τόνδε τῶν ἐπὶ ταῖς Ὀτουμανίδων θύραις ἡγεμόνων μεγάλων λεγομένων γενέσθαι. || — τοῦ γένους Ῥωμαίων πρός τε πατρὸς καὶ μητρὸς] Aliter Chalcocond. p. 436: Οὗτος δὲ ὁ Μεχμούτης, παῖς Μιχαήλου γενόμενος, Τριβαλλὸς μέν ἐστι τὰ μητρόθεν, Ἕλλην δὲ τὰ πατρόθεν· καὶ παῖδα ἔτι ὄντα, σὺν τῇ μητρὶ ἰόντα ἀπὸ Νεβοπρίδου ἐς Σμενδερόβην, οἱ ἱπποδρόμοι τοῦ βασιλέως καταλαβόντες ἐν τῇ ὁδῷ* ημουμένου, ἀπήγαγον πανοικὶ τούτους παρὰ βασιλέα. Λαβὼν δὲ τὸν παῖδα ἐς τὸν κοιτῶνα αὐτοῦ βασιλεὺς μέγαν τε ἀπέδειξεν ἐν ἀκαρεῖ, καὶ ἱπποκόμον ἐν βραχεῖ ποιησάμενος μετὰ ταῦτα ἡγεμόνα τῶν θυρῶν ἀπέδειξεν. Apud Osmansadem Machumutes genere Croata fuisse dicitur, monente Hammero 2, p. 13 not. || — ὀξὺν μὲν etc.] Eadem fere verba habes cap. 72, 1. || — § 3. δὴ καὶ ἓν] Hæc in margine adduntur. Ceterum haud recte Critobulus Mechemetem auctumno anni 6961 (1453) Constantinopolim reversum esse tradit. Hiemem rex Adrianopoli transegit, neque Constantinopolim venit nisi æstate anni 6962 (1454) post expeditionem contra Servios susceptam. V. not. ad lib. II.

ΚΡΙΤΟΒΟΥΛΟΥ

ΞΥΓΓΡΑΦΗΣ ἹΣΤΟΡΙΩΝ ΔΕΥΤΕΡΑ.

Περιέχει ἥδε τήν τε τῆς Αἴνου προσχώρησιν καὶ τὸν πόλεμον τῶν Τριβαλλῶν καὶ τὴν τελείαν τούτων καταστροφὴν καὶ δουλείαν, τήν τε τῶν νήσων Λήμνου καὶ Θάσου καὶ Σαμοθράκης ἅλωσιν παρὰ τῶν Ἰταλῶν. Χρόνου πλῆθος ἔτη τρία.

I. Βασιλεὺς δὲ καταλαβὼν τὴν Κωνσταντίνου πρῶτον μὲν πάνυ τοι προὔργου ποιεῖται τόν τε τῆς πόλεως ξυνοικισμὸν καὶ τὴν ἄλλην ταύτης ἐπιμέλειαν καὶ διόρθωσιν· καὶ πέμπει δὴ προστάγματα καὶ διατάξεις βασιλικὰς ἀνὰ πᾶσαν αὐτοῦ τὴν ἀρχὴν, μετοικίζων ἐς αὐτὴν πλείστους ὅσους οὐ μόνον Χριστιανῶν, ἀλλὰ καὶ τοῦ ἰδίου σφῶν γένους καὶ δὴ καὶ Ἑβραίων τοὺς πολλούς. (2) Ἔπειτα κελεύει τὰ καταρριφθέντα τοῦ τείχους παρὰ τῶν μηχανῶν τειχίζειν τε ἀσφαλῶς πάντα, καὶ ὅπῃ ἄλλῃ πεπονηκὸς ἦν τῷ χρόνῳ κατά τε γῆν καὶ θάλασσαν ἀνορθοῦν. Καταβάλλει δὲ καὶ θεμελίους τῶν βασιλείων, ἀπολεξάμενος ὅπερ ἔφην τὸν πλεῖστον καὶ κάλλιστον χῶρον τῆς πόλεως. (3) Ἔτι δὲ κε-

Quæ libro secundo continetur historia annorum quattuor (6962-6965), haud uno nomine laborat. Nam omittuntur quæ non erant omittenda, quæ vero narrantur, auctor partim male nosse, partim in regis gratiam præter verum tradidisse videtur; denique justum temporum ordinem etiam in hoc libro parum curavit. Præterea nescio an codex noster in nonnullis locis mancus sit. Videlicet quum per reliquum opus narratio ita sit distributa, ut singulorum annorum res gestæ distineantur, jure mireris in libro secundo non distingui inter res annorum 6962 et 6963, adeo ut trium solummodo annorum (6963. 64. 65) mentio fiat (c. 9. 19. 23). Hæc sic jam repperit is qui fronti libri præfixit argumentum, ut ex verbis χρόνου πλῆθος ἔτη τρία colligitur. Idem ille, ni fallor, cap. 9 regis annum *quartum* notavit, ubi *quintum* recte habet margo. Similiter cap. 19 et 23, ubi nunc *in rasura* recte legitur ἕκτον et ἕβδομον ἔτος, prima manu scriptum fuerit πέμπτον et ἕκτον. Fortassis igitur in fine capitis 2 mentio regis anni quarti et mundi anni 6962 excidit; certe quæ inde a cap. 3 leguntur, ad annum 6963 pertinent. Ceterum ut ratio libri nostri facilius perspiciatur, seriem rerum chronologicam, quatenus eam ex locupletioribus scriptoribus eruere licet, paucis hoc loco comprehendam. Vel novissimus harum rerum scriptor, Zinkeisenius in *Gesch. des osm. Reiches* vol. 2, parum eam curavit.

An. m. 6961 (Sept. 1452-1453) paucis diebus post captam urbem Gennadius patriarcha creatur. Phrantz. p. 304 (V. Critobul. c. 2) — Junii d. XVIII Mechemetes Constantinopoli Adrianopolim proficiscitur (Duc. p. 314). — Augusti mense Serviæ princeps Georgius tributum Adrianopolim mittit (Id. p. 314, 21).

An. m. 6962. (Sept. 1453-1454). Hiemem rex Adrianopoli transigit (Duc. p. 315. 6 : τοῦ ἔτους ἤδη τρέχοντος ͵ϛϡξϐ τὸν χειμῶνα οἴκοι διαβιβάσας). Bellum parat, veris tempore (1454) Georgio Serviæ principi inferendum. Primum legatum mittit qui Serviæ partem postulet; post 30 dies legato re infecta reverso, Adrianopoli cum exercitu movet Philippopolim. Ibi mandat ut muri Constantinopolis restaurentur (Ducas, p. 317, 20). Hinc per Sophiam profectus in Serviam irrumpit. Smedrobum (hod. *Smederovo*) seu Semendriam urbem incassum oppugnat, at potitur Ostrovitza castello; denique, Georgio despota 30,000 ducatorum tributum pollicito (Seadeddin. 2 p. 168), redit Adrianopolim (Ducas p. 317) [Critobulus hanc expeditionem non commemorat]. — Redux Machumuti munus Vesiri maximi committit (Seadedd. p. 167), mense Julii 1454, postquam per anni tempus inde a nece Chalilis locus ille vacaverat (V. not. ad 1, 76, 3). Adrianopoli rex Constantinopolim profectus muros urbis jam restauratos invenit. Palatii novi (*Eski-Serai*) jecit fundamenta (Ducas p. 317). Hinc Adrianopolim reversus est vel exitu hujus anni vel initio anni sequentis.

An. m. 6963 (Sept. 1454-1455). Adrianopolim venerunt Rhodiorum legati, qui pacta inirent de commercio libere exercendo in Cariæ et Lyciæ partibus. Mechemetes vero tributum pendi voluit, de eaque re legatum in Rhodum misit. Repulsam ferens vere anni 1455 classem instruxit, quæ Junii mense sub Chamza sive Chamuza, Callipolis præfecto et navarcho, in Ægæum mare contra Rhodios profecta est. Post menses duos Chamuzas re infecta Callipolim rediit (Ducas p. 319-327) [De hac quoque expeditione Critobulus tacet]. — Interea ipse Mechemetes alteram contra Servios expeditionem susceperat, in qua Novoberda urbs post septem dierum oppugnationem capta est (ineunte Junii mense; v. Hammer. 2, p. 13 not.). E Servia per Cassovam planitiem (ubi Murati I, qui an. 1389 ibi ceciderat, inferias egit) Thessalonicen, inde Constantinopolim sese contulit (Seadeddin p. 171 sqq. Chalcocond. p. 414. Ducas hanc expeditionem non commemorat, Critobulus narrat c. 6-9, sed perperam collocat post Jonuzæ expeditionem contra Chios). — Hinc ineunte mense Augusti an. 1455 vel paullo antea Adrianopolim reversus esse debet; nam Chamuzas Callipoli Adrianopolim profectus est, ut de expeditione sua maritima exponeret deque Chiis conquereretur. Rex ob rem male gestam iratus Chamuzam a navarchi munere remotum in Asiam amandavit, ut in Attalia Pamphyliæ urbe præfecturam gereret, Chiis autem bellum inferendum esse decrevit (Ducas p. 328) [Critobulus, c. 3 § 2, Chamuzam, cujus expeditionem infelicem silentio pressit, præter verum dicit τῆς ὅλης Ἀσίας ἔπαρχον creatum esse, ac deinceps bellum contra Chios narrat.] Ejusdem Augusti mensis die decimo Adrianopolim venit Ducas (p 328), qui mensis ejus die primo e Lesbo profectus erat ut ad regem tributum perferret nomine Dominici, Lesbiorum principis, qui nuper Dorino patri, Junii die tricesimo vita defuncto, successerat. Rex vero postulavit ut novus insulæ princeps ipse se sisteret. Igitur Ducas Mytilenen reversus Dominicum inde ad-

λεύει τειχίζειν καὶ φρούριον ἐρυμνὸν περί που τὴν Χρυσέαν, ᾗ ποτε τῶν βασιλέων τὸ φρούριον ἦν, καὶ γίνεσθαι ταῦτα πάντα κατὰ σπουδὴν, ἐργάζεσθαι δὲ τοὺς αἰχμαλώτους Ῥωμαίους λαμβάνοντας τῆς ἡμέρας μισθὸν ἀνὰ νομισμάτων ἓξ ἢ καὶ πλείω. (4) Ἦν δὲ τοῦτο τρόπον τινὰ πρόνοια παρὰ τοῦ βασιλέως τοῖς αἰχμαλώτοις τοῦ τε διατρέφεσθαι καὶ τοῦ τὴν ἰδίαν ὠνὴν εὐποροῦντας ἐκ τούτου ἔχειν κατατίθεσθαι τοῖς σφῶν κυρίοις, καὶ ἐλευθέρους γινομένους κατοικεῖν ἐν τῇ πόλει· οὐ μόνον δὲ, ἀλλὰ καὶ φιλανθρωπίᾳ πολλῇ καὶ εὐποιίᾳ, προσέτι γε μὴν καὶ μεγαλοψυχίᾳ βασιλικῇ καὶ περὶ πάντας μὲν τοὺς ἄλλους ἁπλῶς, οὐχ ἥκιστα δὲ περὶ τοὺς αἰχμαλώτους τούτους ἐχρῆτο, ἐλεῶν τε αὐτοὺς καὶ καθ' ἡμέραν φιλοτίμως εὐεργετῶν. (5) Ἐξερχόμενος γὰρ τῶν βασιλείων πολλάκις καὶ κατὰ θέαν τὴν πόλιν περιιὼν ἢ ἄλλως γέ πως, εἴ πού τισιν ἐνετύγχανε τούτων, εὐθὺς ἀνέχων τὸν ἵππον διεδίδου πᾶσι δαψιλῶς αὐτοχειρὶ καὶ ἀργυρίου νομίσματα καὶ χρυσίου πολλάκις· τοσοῦτος ἔλεος εἶχεν αὐτὸν τῶν ἀνδρῶν.

II. Ἐν δὲ ταῖς αὐταῖς ἡμέραις μετακαλεῖται καὶ τὸν Γεννάδιον, ἄνδρα σοφὸν πάνυ καὶ θαυμαστόν· τούτου γὰρ τῆς τε σοφίας καὶ φρονήσεως καὶ ἀρετῆς καὶ πρόσθεν πολὺν ἔχων λόγον ὑπὸ τῆς φήμης, εὐθὺς μετὰ τὴν ἅλωσιν ἐζήτει τὸν ἄνδρα, ποθῶν ἰδεῖν τε αὐτὸν καὶ ἀκοῦσαι τῆς σοφίας αὐτοῦ· ἔνθεν τοι καὶ ξὺν πολλῷ πόνῳ ζητήσας αὐτὸν ἐν Ἀδριανουπόλει εὑρίσκει παρά τινι τῶν δυνατῶν ἐν κώμῃ τινὶ φυλαττόμενον, ἐν πολλῇ δὲ θεραπείᾳ τυγχάνοντα· ᾔδεῖτο γὰρ αὐτοῦ τὴν ἀρετὴν ὁ κατέχων, καὶ πολέμιος ὤν. (2) Ἰδὼν δὲ τοῦτον ὁ βασιλεὺς, καὶ πεῖραν ὡς ἐν ὀλίγῳ λαβὼν τῆς τε σοφίας καὶ ξυνέσεως καὶ ἀρετῆς τοῦ ἀνδρὸς, ἔτι δὲ καὶ τῆς τοῦ λόγου δυνάμεώς τε καὶ χάριτος, ἐθαύμασέ τε τοῦτον διαφερόντως καὶ ἐν πολλῇ ἦγε θεραπείᾳ τε καὶ τιμῇ, χώραν τε διδοὺς αὐτῷ τῆς εἰσόδου τῆς παρ' αὐτὸν καὶ ὁμιλίας ἀξιῶν ἐλευθέρας καὶ ἡδόμενος

duxit. Interea autem Mechemetes, relicta ob grassantem pestem Adrianopoli, Philippopolim indeque in Sophiæ regionem abierat. Eandem viam legentes Ducas et Dominicus regem invenerunt in Islati vico Bulgarico, a Sophia urbe ortum versus posito. (Pervenire eo non potuerunt ante medium ferme mensem Septembris an. 1455, p. C. sive ineunte anno m. 6964.)

An. m. 6964 (1 Sept. 1455-56). Lesbi princeps ad regem adductus Thaso insula ei cessit et pro ter mille aureis, quos pater ejus tributi annui nomine solverat, quattuor millia se soluturum promisit. Deinde cum Duca tredecim dierum itinere Mytilenen reversus est (Ducas p. 330). Duca Philippopoli versante rex imperaverat ut Jonuzes (*Junisbeg*) cum classe contra Chios eveheretur. Tempestate classis Mytilenen delata est, mense Octobri 1455. Inde profectus Jonuzes Phocæam novam, Chiis subditam, occupavit mensis Nov. die primo (Duc. p. 333, 18). Quindecim diebus post Phocæa Callipolim rediit, indeque Constantinopolim, ubi tunc Mechemetes degebat, se contulit. Eodem missus est Ducas, ut contra Jonuzam de Lesbiis conquerentem causam ageret. — Decembr. die decimo quarto Phocæa vetus a Turcis occupata est. Januarii die vicesimo quarto an. 1456 Mechemetes Constantinopoli contra Ænum profectus est, eaque urbe potitus Adrianopolim rediit (Ducas p. 335). Veris tempore Chii missis legatis et soluto tributo impediverunt, ne denuo bellum ipsis inferretur. Deinde Lemnii Nicolaum, quem Dominicus frater, Lesbi princeps, insulæ præfecerat, graviter ferentes, a Mechemete præfectum sibi petunt. Regis jussu Lemnus insula Chamuzæ traditur ab Ismaele navarcho, qui quadraginta Lesbios Nicolai partes amplexos cepit et Maii die decimo quarto Callipolim misit (Ducas p. 336, 21). — Sequitur expeditio in Serviam. An. 1456, Junii mens. die decimo tertio Mechemetes ad Belgradum accedit; Julii d. vicesimo primo urbem vi expugnaturus cladem patitur, quam dissimulare studet Critobulus c. 19. Redit rex Adrianopolim, quo Lesbiorum tributum, mense Augusti, attulit Ducas (p. 337).

An. m. 6965 (1 Sept. 1456-1457). Callixtus III pontifex vere anni 1457 classem triremium undecim in mare Ægæum misit, ut insulæ Turcis tributariæ vel ab iis occupatæ in libertatem vindicarentur. Lemnus et Thasus et Samothrace (nec non Imbrus, sec. Chalcocondylam) Turcis ereptæ sunt (Ducas p. 338. Chalcoc. p. 469). At paullo post Imbrum et Lemnum recuperavit Ismael; Itali milites ab eo capti ad regemque transmissi trucidantur. Deinde Zaganus Samothracen et Thasum ad obedientiam reduxit, et incolarum partem majorem Byzantium transportavit (Chalcoc. p. 469 sq.). — Augusti mense Ismael contra Lesbum expeditionem suscepit, ex qua mox rediit re infecta. [De hac Critobulus narrat lib. 3, c. 10 sub anno 6966. Fieri potest ut expeditio exeunte anno 6965 suscepta etiam sequentis anni partem aliquam absumserit].

An. 6966 (1 Sept. 1457-1458). Ad hunc annum res Serviæ pertinent, quæ post mortem Georgii ejusque filii Lazari contigerunt, siquidem Georgius despota obiit Decembr. d. XIV, an. 1457, Lazarus vero Januarii d. XXXI, an. 1458. [Apud Critobulum hæc narrantur sub. an 6965].

Ad hanc igitur rerum seriem ut Critobuli narratio accommodaretur, singula capita hunc in modum se excipere deberent: II, c. 2 (Gennadius); c. 1 (palatii fundamenta); c. 6-9 (in Triballos expeditio); c. 3 (Chamuzæ in Asia præfectura); c. 11-19 (exp. contra Ænum et Belgradum); c. 22 (Lemnus et Thasus ab Italis occupatæ); lib. III, c. 10 (Ismaelis expeditio in Lesbum). II, c. 21-22 (Res Serviæ post mortem Georgii).

I. § 1. Ἰδίου] add. margo. || — § 2. ἔπειτα κελεύει etc.] Muros restaurari jussit Philippopoli, vere anni 1454 in Serviam iter faciens, teste Duca p. 317, 10. || — καταβάλλει θεμελίους etc.] Hoc fecit e Servia redux, Augusti mense an. 1454, ut e Duca liquet. V. supra. || — § 3. φρούριον π. τ. Χρυσέαν] Castellum ad portam Auream non hoc anno 6962, sed hieme demum anni 6966 (1457) ædificare cœpit, sec. Ducam p. 339, 20. V. Hammer *Constantinopel u. d. Bosporus* tom. I, p. 619 sq.

II. § 1. Ἐν ταῖς αὐταῖς ἡμέραις etc.] Sec. Phrantzem p. 304 Gennadius paucis diebus post urbem captam patriarcha constitutus est, quo quidem tempore Constantinopoli adesse debebat. Scilicet Phrantzes, postquam dixerat Mechemetem tertio post urbis expugnationem die triumphum egisse et profugos in urbem revocasse, pergit hunc in modum: ὁμοίως δὲ καὶ προσέταξεν ἵνα ποιήσωσι καὶ πατριάρχην, ὡς εὔηθες ἦν κατὰ τὴν τάξιν αὐτῶν· ἦν γὰρ προαπο-

τοῖς τε λόγοις αὐτοῦ καὶ ταῖς ἄλλαις ξυντυχίαις καὶ ἀποκρίσεσι· τιμᾷ δὲ καὶ δώροις αὐτὸν φιλοτίμοις τε καὶ ἐντίμοις, καὶ τέλος πατριάρχην καθίστησι καὶ ἀρχιερέα Χριστιανοῖς, πολλαῖς ἀξιώσεσι καὶ ἀνάγκαις χαρισάμενος αὐτῷ ξὺν πολλοῖς ἄλλοις καὶ τὸ τῆς ἐκκλησίας κράτος καὶ τὴν ἄλλην δύναμιν καὶ ἀρχήν, οὐδὲν ἧττον ἧς εἶχε πρόσθεν παρὰ τῶν βασιλέων. (3) Καὶ διαλέξεις δὲ πολλὰς καὶ καλὰς περὶ τῆς τῶν Χριστιανῶν πίστεως καὶ θεολογίας ἐνδίδωσιν αὐτῷ ἐνώπιον αὐτοῦ ἀδεῶς καὶ ἐλευθέρως ποιεῖσθαι, αὐτὸς φοιτῶν παρ' αὐτὸν ἄγων τε μεθ' αὐτοῦ καὶ τοὺς παρ' αὐτῷ ἐντίμους τε καὶ σοφούς, τιμῶν κἀν τούτοις αὐτόν· καὶ πολλοῖς δὲ ἄλλοις ἀγάλλει τὸν ἄνδρα· οὕτως οἶδεν αἰδεῖσθαι ἀνδρὸς ἀρετὴν οὐ πολέμιος μόνον, ἀλλὰ καὶ τάξις πᾶσα, βασιλέως, φημί, καὶ δυναστῶν. Καὶ οὕτω δὴ καὶ τὴν ἐκκλησίαν Χριστιανοῖς θεοῦ θελήματι μετὰ πολλοῦ τοῦ περιόντος ὁ βασιλεὺς ἀποδίδωσι.

III. Οὕτω δὲ διαθεὶς τὰ κατὰ τὴν πόλιν ὁ βασιλεὺς ἐς τὴν Ἀσίαν διαβαίνει, καὶ καταλαβὼν τὴν Προυσίου σπένδει τε τῷ πατρὶ καὶ ἁγιστείας ἐπὶ τῷ τοῦδε τάφῳ καὶ μνημόσυνα τελεῖ μεγαλοπρεπῶς, κοσμεῖ δὲ τοῦτον ἀναθήμασι πολυτελέσι καὶ δώροις βασιλικοῖς. (2) Ἔπειτα τὰ ἐν Ἀσίᾳ καθίστησιν, εἴ τί που νεωτερίζον ἦν ἢ νεοχμοῦν ὅλως παρά τε τῶν ἐκεῖσε ἡγεμόνων τε καὶ γενῶν, ἢ ἄλλως γέ πως ἔχον, ἅπαντα καθιστάμενος, ἔτι τε σατραπείας ἀπολεγόμενος καὶ ἀρχάς, καὶ ἄρχοντας καὶ σατράπας ταύταις ἐγκαθιστάς τά τε ἄλλα ἐν αὐτῇ πάντα καλῶς διορθωσάμενός τε καὶ πρὸς τὸ δοκοῦν διαθεὶς ἐν πέντε καὶ τριάκοντα ταῖς πάσαις ἡμέραις, ἔπαρχόν τε τῆς ὅλης Ἀσίας ἀποδείξας τὸν Χαμουζᾶν, ἐπάνεισιν αὖθις ἐς τὸ Βυζάντιον. (3) Μικρὸν δὲ διατρίψας αὐτοῦ καὶ ὅσον θεάσασθαι τὰς ταύτῃ γεγενημένας οἰκοδομὰς καὶ ἐπιτάξας ἃ δεῖ ποιεῖν ἐν αὐταῖς τε καὶ τοῖς ἄλλοις ἅπασι καὶ ὅτι τάχιστα ἀνύτειν τὰ ἔργα, ὥρμησεν ἐς τὴν Ἀδριανοῦ χειμῶνος. (4) Κἀκεῖσε γενόμενος εὐθὺς μεταπέμπει Ἰονούζην τὸν σατράπην Καλλιουπόλεως καὶ ἡγεμόνα τοῦ στόλου, καὶ κελεύει πάσῃ σπουδῇ τὸν στόλον ἐξαρτύσαντα ἐπιπλεῖν τῇ τε Νάξῳ καὶ ταῖς περὶ Ῥόδον νήσοις, Πάρῳ τε καὶ Ῥηνείᾳ καὶ Κῷ καὶ ταῖς ἄλλαις ταῖς ταύτῃ. (5) Ῥόδιοι γάρ, τῶν ἄλλων ἁπάντων νησιωτῶν ἐνσπόνδων ὄντων τε καὶ γενομένων τῷ βασιλεῖ, μόνοι τὰς πρὸς αὐτὸν διαλλαγάς τε καὶ σπονδὰς οὐκ ἐδέξαντο, ἀλλ' ἔμειναν ἔξω σπονδῶν, δεχόμενοι δὲ τὰς τῶν δυτικῶν Ἰβήρων καὶ

θανὼν ὁ πατριάρχης· καὶ ἐκλέξαντες οἱ ἐντυχόντες ἀρχιερεῖς καὶ οἱ ὀλίγοι πάνυ ἕτεροι ἱερωμένοι καὶ λαϊκοὶ τὸν σοφώτατον κὺρ Γεώργιον τὸν σχολάριον λαϊκὸν ἔτι ὄντα εἰς πατριάρχην ἐχειροτόνησαν, ὃν καὶ Γεννάδιον ἐπωνόμασαν. Sequitur deinceps ampla narratio de cæremoniis, quibus patriarchæ electio locum dederit. Cf. Zinkeisen l. l. tom 2, p. 8 sqq.

III. § 2. Ἐγκαθιστάς] sic margo, ἀποκληρῶν text. || — διορθωσάμενός] sic m. 2, διορθώσας m. 1. Ceterum quod Critobulus narrat Mechemetem in Asiam transgressum Prusæ inferias egisse et res Asiaticas constituisse, alius nemo prodidit. (Prusæ Mechemetes fuerat an. 1451, quando contra Caramanum in Asia res gesserat. Duc. p. 234, 8.) Quod Chamuzam attinet, e Duca constat hunc Callipolis præfectum æstate anni 6963 (1455) expeditionem contra Rhodios suscepisse, quam Ducas p. 320-328 uberrima narratione prosequitur, Critobulus autem ne verbo quidem tetigit. Hac expeditione quum nihil profecisset Chamuzas a rege ob rem male gestam irascente ἐξεβλήθη τῆς Καλλιουπόλεως καὶ ἐστάλθη ἐν Ἀτταλίᾳ τῆς Παμφυλίας τοῦ ἡγεμονεύειν ἐκεῖ (Duc. p. 328, 6). Hoc ipsum nec aliud quippiam subest verbis Critobuli: ἔπαρχον τῆς ὅλης Ἀσίας ἀποδείξας τὸν Χαμουζᾶν. Accidit hoc mense Augusti ann. 1455, paucis diebus postquam Mechemetes a secunda in Servios expeditione (quam Critobulus c. 6-9 demum narrat) Adrianopolim redierat. Rediens autem rex in Cossovæ planitie inferias egerat Murati I abavo, ut intelligitur e Seadeddino 2, p. 173: *Il rè sen' ando alla campagna di Cossovo, che è il luogo del martirio del suo grand avo, dove furono fatte l'orationi publiche e cibati tutti generalmente e fatte gratie a' soldati poveri.* Nescio igitur an hinc originem duxerint quæ de inferiis Prusæ Murati II actis Critobulus commentus esse mihi videtur. Ceterum quum hæc pertineant ad an. 6963, mentionem hujus anni post caput II excidisse suspicor, ut supra monui. || — χειμῶνος] Ex expeditione in Serviam initio mensis Augusti an. 1455 vel etiam paullo antea redierat. Hieme (1455-56) Constantinopoli erat. || — § 4. Κἀκεῖσε γενόμενος] Quo tempore expeditionem istam suscipi jussit (mense Sept.), in Sophiæ regione erat, quo se contulerat ut pestem in Adrianopolitana regione grassantem devitaret. V. Ducas p. 331. || — § 4. Ἰονούζην] Ἰων. h. l. et c. 14, sed in sqq. Ἰονούζης, ut apud Chalcocondyl. p. 519: Ἰονούζης καταστὰς ὑπὸ (ἐπὶ?) τῶν θυρῶν. Ducas p. 331, 6 dicit Γενούζην νεανίαν εὐειδῆ, ὃν καὶ προεχειρίσατο ἔπαρχον Καλλιουπόλεως καὶ μέγαν κοντοσταῦλον τοῦ στόλου. Turcice *Junis-beg*. || — Νάξῳ] Naxi princeps Jacobus Crispo statim post captam Constantinopolim pacis et amicitiæ pacta cum Mechemete inierat. V. Zinkeisen 2, p. 224 et ibi laudatos auctores. || — § 5. Ῥόδιοι γὰρ etc.] Longe aliter de his exponit Ducas p. 319 sqq. Anno 6963, inquit, Adrianopolim venerunt καὶ ἀπὸ Ῥόδου φρέριοι προσκυνήσοντες τῷ τυράννῳ σὺν δώροις ὅτι πλείστοις, καὶ συνθήκας ἐνόρκους αἰτήσοντες τοῦ ἐμπορεύεσθαι εἰς τὰ τῆς Καρίας καὶ Λυκίας μέρη οἱ γείτονες... Ὁ δὲ τύραννος φόρους ἠτήσατο· οἱ δὲ πρέσβεις ἀπελογίσαντο ὡς περὶ τούτου οὐκ ἔστιν ἀπόκρισιν δοῦναι. Deinde Mechemetes de hac re legatum ad magnum Rhodiorum magistrum misit, qui et ipse re infecta reversus est. Itaque θυμοῦ μεστὸς γεγονὼς ἐκήρυξεν μάχην καρτερὰν, καὶ τῷ βουλομένῳ ἐχαρίσατο τοῦ ἀπελθεῖν καὶ αἰχμαλωτίσαι καὶ φθεῖραι ὅσον δύναιτο· τότε οἱ τῆς ἐπαρχίας τῆς Καρίας οἰκοῦντες Τοῦρκοι ἐμβάντες ἐν διήρεσι καὶ ἄλλοις ἀκατίοις ἕως τριάκοντα τὸν ἀριθμὸν, καὶ τὴν περαίαν διαβάντες καὶ εἰς ἓν μέρος τῆς νήσου λῃστρικῶς ἐπιβάντες ᾐχμαλώτευσαν ψυχὰς μ', καὶ ἐν νήσῳ τῇ Κῷ ὁμοίως. Ἔαρος δὲ ἐπελθόντος στόλον ἀπαρτίζει μέγαν, τριήρεις κέ, διήρεις ν' καὶ μονήρεις ἑκατὸν καὶ πλέον, ὡς εἶναι τὰς πάσας ἀριθμουμένας μέχρι τῶν ρπ'. Καὶ τῷ Ἰουνίῳ μηνὶ ἐξελθόντες ἀπὸ τῆς Καλλιουπόλεως ἦλθασιν ἐν Μιτυλήνῃ ἔχοντες ἀμιραλῆν Χαμζᾶν, πιγκέρνην τοῦ πατρὸς αὐτοῦ, ὃν αὐτὸς ἔπαρχον πάσης Χερσονήσου κατέστησε καὶ καπιτάνεον στόλου. E Lesbo insula, ubi Ducas principis nomine Hamzan salutaverat et multis honoraverat donis, in Chium classis profecta est. Ibi Hamza regis jussu postulavit ut Chii 40,000 ducatos Draperio Galatino mercatori debitos solverent; recusantibus Chiis, agros urbi proximos vastavit, ipsam vero urbem oppugnare non ausus est. Hinc Rhodum navigavit, sed urbem optime munitam et custo-

Ἀλανῶν λῃστρικὰς ναῦς καταιρούσας αὐτοῦ, καὶ αὐτοὶ ἑτέρας ἀντιπληροῦντες ἐκάκουν πᾶσαν τὴν παραλίαν τοῦ βασιλέως. Ὡς δὲ καὶ οἱ Νάξιοι, δεχόμενοι καὶ αὐτοὶ τὰς κατάρσεις τῶν πειρατῶν καὶ παρέχοντες τούτοις σιτήσεις τε καὶ τὰ ἄλλα τὰ πρὸς τὴν χρείαν, ἔβλαπτον καὶ αὐτοὶ οὐκ ὀλίγα τὴν βασιλέως. Ἐπὶ τούτοις οὖν τὸν στόλον ἐξέπεμψεν.

IV. Ἰονούζης δὲ πληρώσας ὀγδοήκοντα ναῦς στρατιώτιδας καὶ ὁπλίσας καλῶς, καὶ ἑτέρας σκευαγωγοὺς οὐκ ὀλίγας καὶ φερούσας τὰς μηχανάς, ἀναχθεὶς ἀπὸ Καλλιουπόλεως ἔπλει διὰ τοῦ Ἑλλησποντικοῦ πορθμοῦ εὐθὺ τῶν Αἰγοσποταμῶν, καὶ παραμείψας Σηστόν τε καὶ Ἄβυδον καὶ τὰς καλουμένας Κυνὸς κεφαλάς, γίνεται κατὰ τὴν Δαρδανίαν πρὸς τῷ στόματι τοῦ πορθμοῦ· παραπλεύσας δὲ τό τε Ῥοῖον τὸ Τρωικὸν καὶ τὸ Ἀχιλλέως σῆμα κατήχθη ἐς Τένεδον· (2) ἐπιμείνας δὲ ταύτῃ δύο ἡμέρας καὶ ὑδρευσάμενος τάς τε ναῦς ἁπάσας ξυναγαγὼν (ὑστέριζον γὰρ ἔτι τούτων ἔνιαι, κατὰ τὴν ταύτῃ παραλίαν ἐρέτας ξυλλέγουσαι), νυκτὸς ἄρας, ἵνα μὴ ἔκπυστος γένηται θεαθεὶς (ἐβούλετο γὰρ λανθάνειν ὡς τὰ πολλά), ἔπλει τὸ Αἰγαῖον, ἐν δεξιᾷ μὲν ἔχων τὰς Κυανίδας νήσους κατὰ πρύμναν, ἐν ἀριστερᾷ δὲ τὴν Λέσβον κατὰ πρῴραν. (3) Αἴφνης δὲ σφοδροῦ καταρραγέντος χειμῶνος καὶ κλύδωνος μετὰ λάβρων ὑετῶν καὶ ἀστραπῶν καὶ βροντῶν καὶ πνευμάτων ἐξαισίων καὶ σκότους, τῆς τε θαλάσσης ἀγριουμένης καὶ τρικυμίας ἐγειρούσης μεγάλας, ὥσπερ ξύνηθες τῷ Αἰγαίῳ, τὰ μὲν πρῶτα ἔπλεον αἱ νῆες πᾶσαι περί που τὸν φρυκτὸν τῆς στρατηγίδος νεώς, ἑπόμεναι ταύτῃ, ἅτε δὲ ἐν νυκτὶ καὶ σκότῳ βαθεῖ καὶ τρικυμίᾳ μεγίστῃ καὶ καταιγίδι καὶ πνευμάτων ἀντιπνοίαις ἀτάκτως φερόμεναι ξυνέπιπτον ἀλλήλαις καὶ προσηράσσοντο, καὶ κατεδύοντο αἱ πλείους αὐτοῦ, ὥστε καὶ τὴν στρατηγίδα ναῦν μικροῦ κατέδυσαν ἂν ἐπεισπεσοῦσαι ἀθρόαι, εἰ μὴ ὁ κυβερνήτης τοῦτο αἰσθόμενος εὐθὺς ἀφανίζει τὸν φρυκτόν. Καὶ οὕτω δὴ σκεδασθεῖσαι ἄλλῃ καὶ ἄλλῃ τοῦ πελάγους ἐφέροντο παννύχιοι χειμαζόμεναι, ἕως ἡμέρα τε ἐγένετο καὶ κατήχθησαν μόγις που ἄλλῃ καὶ ἄλλῃ τῆς ταύτῃ ἠπείρου, ὡς ἔτυχον ἑκάστη περισωθεῖσα τοῦ κλύδωνος. (4) Ἔνιαι δὲ καὶ καταχθεῖσαι μικρὸν ἀπωτέρω τῆς γῆς κατέδυσαν, ὑφάλοις τε καὶ σπιλάσιν ἐγκύρσασαι, αἱ δὲ τὰς μηχανὰς φέρουσαι νῆες ὑπό τε τῆς βίας τοῦ ῥοῦ καὶ τῆς τρικυμίας ἀτάκτως φερόμεναι, αἱ μὲν αὐτῶν σκοπέλοις τε καὶ ἀκταῖς προσαρράξασαι ξυνετρίβησαν, καὶ αἱ ἐν αὐταῖς μηχαναὶ αὐτοῦ που κατέδυσαν, αἱ δ' ὀψὲ καὶ μόλις περιεσώθησαν.

V. Ἰονούζης δὲ μετὰ νεῶν ἓξ ἀπολειφθεὶς καὶ πανήμερος ἐν τῷ πελάγει χειμαζόμενός τε καὶ κλυδωνιζόμενος μόλις που καὶ αὐτὸς πρὸς ἑσπέραν ἐς τὸν ἐν τῇ Χίῳ κατήχθη λιμένα, διάβροχος καὶ πάντα τὰ ἐπὶ τῶν καταστρωμάτων ἀποβαλών· παρὰ τοσοῦτον ἦλθε κίνδυνον· (2) ἡμέρας δὲ τρεῖς ἐπιμείνας ἐν Χίῳ καὶ τὸν περιλειφθέντα στόλον πάντα ξυναγαγὼν καὶ ἐπισκευάσας ἐκ τῶν ἐνόντων, ἀναχθεὶς ἐκεῖθεν καταίρει ἐς Κῶν τὴν νῆσον, καὶ ἀποβὰς ἔκειρέ τε τὴν γῆν τῶν Κῴων, καὶ προσβαλὼν τῷ ἄστει, ἐπολιόρκει ἐπὶ τρισὶν ἡμέραις· ὡς δ' οὐδὲν ἤνυεν, ἐμπρήσας τὰς πρὸ τοῦ ἄστεος οἰκίας, καὶ πᾶσαν τὴν ἄλλην νῆσον καταδραμὼν καὶ κώμας διαρπάσας καὶ λείαν πλείστην ἐλάσας καὶ ταῖς ναυσὶν ἐνθέμενος ἐπανήει. (3) Γενόμενος δὲ κατὰ Φώκαιαν τὴν νέαν λεγομένην, Χίων οὖσαν, καὶ ἀπόβασιν ποιησάμενος παρεστήσατο ταύτην ὁμολογίᾳ. Τοῦτο δ' ἐποίησεν ἐνσπόνδοις ὀργὴν ἔχων τοῖς Χίοις, ὅτι γε οὐκ ἐδέξαντο τοῦτον καλῶς ἐκεῖ καταχθέντα, οὐδὲ τοῖς προσήκουσι δώροις ἐτίμησαν. (4) Διαθεὶς δὲ τὰ κατὰ τὴν Φώκαιαν ὡς ἦν αὐτῷ κατὰ νοῦν, καὶ φυλακὴν ἐγκαταστήσας αὐτῇ καὶ παῖδας λαβὼν ἀπέπλευσεν ἐπὶ οἴκου ἐς Καλλιούπολιν καὶ διέλυσε τὸν στόλον. (5) Ἀπέβαλε δὲ τῶν νεῶν ἐν τῷ

---

ditam videns, retro cursum agens in Con insulam appulit, in eaque per dies 22 Rachiam castellum obsedit frustra. Deinde in Chium reversus, orto inter Chios et Turcos tumultu, navem una cum viris perdidit. Denique Mytilenen, hinc Callipolim, quam duobus mensibus ante reliquerat, rediit. Callipoli Adrianopolim ad regem se contulit, qui Hamzan a navarchi munere removit et Chiis bellum inferendum decrevit, quod Octobri mense intulit Ionuza. Critobulus Hamzæ et Jonuzæ expeditiones in unam eandemque male conflare videtur.

IV. § 1. Ὀγδοήκοντα] Secundum Ducam p. 331 Jonuza viginti tantum naves eduxit, quarum septem (viginti quinque sec. Critob. 5, 5) perdidit: πέντε ἐκ τῶν κ' (π' sec. Critobul.) κατεποντίσθησαν, καὶ δύο ἐν ταῖς ἀκταῖς συνετρίβησαν. || — τό τε Ῥοῖον] τὸ Ῥοίτειον oræ Trojanæ intelligas. || — τὰς Κυανίδας νήσους] A Tenedo naviganti ad dextram et a puppi erat Lemnus insula, adeo ut hanc insulam Vulcani igne adustam (Αἰθάλειαν Polybius dixit) et adjacentes scopulos Κυανίδας dicere videatur. Ne de Calydnis cogitemus, situs harum insularum obstare videtur. || — § 3. ὁ κυβερνήτης] ἦν Λατῖνος Ἱσπανὸς τῷ γένει, ut Ducas ait p. 331, 17. || — § 4. ἐγκύρσασαι] sic mgo, ἐγχρίψασαι text. || — προσαράξασαι] sic mgo, ἐποκείλασαι text.

V. § 2. Ἐν Χίῳ] sic mgo; αὐτοῦ text. || — ἐκ τῶν ἐνόντων] ἀπὸ τῶν ὄντων text.; illud mgo. — Ceterum Ionuza neque ad Chium classem recollegit, neque Con insulam vastavit, quum aliter rem exponat Ducas, cujus major in his auctoritas. Navis qua ipse Jonuza vehebatur, per totum diem sæviente tempestate, versus Cyclades insulas aberravit, deinde vero post noctem serenam primo mane in Chium versus ortum defertur. Interea reliquæ naves, quæ tempestatem effugerant, in Mytilenes portum devenerant. Ibi de ducis sorte anxii Turci vespera navem e Chii regione venientem conspiciunt, et pone hanc mox alteram, quæ erat illa Jonuzæ. In terram egressus et a Nicolao, principis Lesbiorum fratre, comiter exceptus Jonuza navem illam, quæ ante ipsum in portum venerat, tanquam prædam suam sibi tradi jussit. Recusantibus Lesbiis, quod navis esset Mytilenæa et mulier Chia in ea advecta esset socrus principis Lesbiorum, ille fidem dictis non adhibens ex insula solvit in Phocæam novam, quæ primo Novembris die Turcis se dedidit. || — § 4. διαθεὶς δὲ τὰ κατὰ τὴν Φώκαιαν] Ducas p. 334, 3: καὶ τοὺς μὲν

χειμῶνι πέντε καὶ εἴκοσι μετά γε τῶν σκευαγωγῶν τὰς πάσας. Ἐφ' ᾧ δὴ καὶ μᾶλλον, ὥς φασιν, ἔκτοτε ὠργίζετο αὐτῷ ὁ βασιλεὺς, καὶ δι' αὐτό γε τοῦτο καὶ ἄλλας αἰτίας μικρὸν ὕστερον ἀνεῖλεν αὐτόν. Καὶ ταῦτα μὲν ταύτῃ.

VI. Βασιλεὺς δ' ἐν Ἀδριανουπόλει διάγων χειμῶνος στρατιὰν μεγάλην παρεσκεύαζεν ἐπὶ Τριβαλλούς· καὶ γὰρ ἦν προπυνθανόμενος τὰ ἐκεῖ νεοχμοῦντα· τὸν γὰρ τῶν Τριβαλλῶν ἡγεμόνα νεωτέρων ἐπιθυμοῦντα κοινολογεῖσθαί τε καὶ λόγους προσφέρειν κρύφα τῷ βασιλεῖ Παιόνων, καὶ ξυνθήκας ποιεῖσθαι μετ' αὐτοῦ, ὅπως καλῶς τε παρασκευασάμενος καὶ τὸν Ἴστρον διαβὰς ἐς τὴν τοῦ βασιλέως χώραν ἐμβάλλῃ ξυνεμβάλλοντι καὶ αὐτῷ· (2) οὐ μόνον δὲ, ἀλλὰ καὶ τὸν ξυνήθη δασμὸν βραδέως τε πάνυ παρεῖχε καὶ πλημμελῶς, πλαττόμενος ἀεὶ προφάσεις τε καὶ ἀναβολὰς οὐ καλάς· ἐφ' ᾧ δὴ καὶ μᾶλλον ὠργίζετο ὁ βασιλεὺς τεκμαιρόμενος ἐκ τούτου νεωτέρων αὐτὸν ἐπιθυμεῖν· (3) οὐ ταῦτα δὲ μόνον ἐνῆγεν αὐτὸν, ἀλλὰ καὶ ἡ τῆς χώρας φύσις, αὐτάρκη θέσιν παρεχομένη ἔς τε τὸν κατὰ Παιόνων τε καὶ Δακῶν πόλεμον ἐκπεπολεμωμένων αὐτῷ, ὥστε ῥᾳδίας ἀπ' αὐτῆς ἐς τὴν ἐκείνων ἔχειν ποιεῖσθαι τὰς ἐσβολάς.

VII. Ἡ γὰρ τῶν Τριβαλλῶν κεῖται μὲν ἐν ἐπικαίρῳ τῆς ἄνω Θράκης, ἀρχομένη μὲν ἀπὸ τῆς ἄνω Μυσίας καὶ τοῦ Αἵμονος ὄρους, παρήκουσα δὲ μέχρι τοῦ Ἴστρου, καὶ ὁμοροῦσα δι' αὐτοῦ τῇ Δακῶν καὶ Παιόνων ἀρχῇ· ὁ γὰρ Ἴστρος, μέγιστος ὢν ποταμῶν τῶν κατὰ τὴν Εὐρώπην, ἄρχεται μὲν ἀπὸ τῶν Κελτικῶν ὀρῶν, ῥέων δὲ δι' αὐτῶν, ἀλλὰ δὴ καὶ τῆς τῶν Παιόνων τε καὶ Δακῶν καὶ ἑτέρων οὐκ ὀλίγων γενῶν, καὶ πολλὴν διερχόμενος γῆν καὶ κρείττων αὐτὸς ἑαυτοῦ γινόμενος ἀεὶ ταῖς προσθήκαις τῶν ἐς αὐτὸν ἐσβαλλόντων ποταμῶν, τελευτᾷ μὲν ἐς τὴν Γετικήν τε καὶ Σκυθικὴν, καὶ δι' αὐτῶν ἐκδίδωσιν ἐς τὸν Εὔξεινον πόντον. (2) Περικλείει δὲ ἐντὸς ἑαυτοῦ ἄλλα τε ἔθνη πολλὰ μαχιμώτατα, καὶ δὴ καὶ τὰ Παιόνων τε καὶ Δακῶν, οἷς ἐστιν ὅμορος, ὡς ἔφην, ἡ Τριβαλλῶν παρακειμένη τε τούτοις μέχρι πολλοῦ καὶ πόλεις ἔχουσα πολλὰς καὶ καλὰς ἐν τῇ μεσογείᾳ καὶ φρούρια ἐρυμνὰ περί που τὰς ὄχθας τοῦ ποταμοῦ· δι' ἃ δὴ καὶ μάλιστα ἀναγκαῖον ἐδόκει τῷ βασιλεῖ χειρώσασθαί τε αὐτὴν καὶ τὰ παρὰ τὰς ὄχθας τοῦ ποταμοῦ φρούρια κατασχεῖν, ὅπως εἴη τῆς τούτου διαβάσεως κύριος, καὶ ὅταν αὐτός γε ἐθέλῃ, ῥᾳδίως ἔχῃ διαβαίνειν ἐς τὴν ἐκείνων κἀκείνους (τε) ἀπείργῃ τῆς ἐς τὴν αὐτοῦ διαβάσεως· οὐ μόνον δὲ, ἀλλὰ καὶ ἡ τῆς χώρας ἀρετὴ οὐδὲν ἧττον ἐπῆγεν αὐτὸν, θαυμαστή τις οὖσα καὶ πᾶσιν εὐθηνουμένη τοῖς ἀγαθοῖς· ἥ τε γὰρ γῆ πάμφορός τέ ἐστιν αὐτῇ, ἐρρωμένη πρὸς ἁπάσας γονὰς καὶ πάντα μετὰ δαψιλείας παρεχομένη ὅσα φέρουσιν ὧραι σπερμάτων τε καὶ φυτῶν, ἀλλὰ δὴ καὶ ὅσα νέμονται γῆν, αἰπόλιά τε φημὶ καὶ ποίμνια καὶ συφόρβια καὶ βουκόλια καὶ ἵππων ἀγαθῶν οὐκ ὀλίγην φορὰν καὶ πολλῶν ἄλλων ἐδωδίμων τε καὶ χρησίμων ζώων ἡμέρων τε καὶ ἀγρίων γένη διάφορα ἅπαντα τρέφει μετὰ πολλῆς περιουσίας· (3) τὸ δὲ μέγιστον καὶ ᾧ πάσας τὰς ἄλλας νικᾷ μεθ' ὑπερβολῆς, ὅτι χρυσὸν καὶ ἄργυρον ὥσπερ ἀπὸ πηγῶν ἀναδίδωσι, καὶ πανταχοῦ ταύτης ὀρύσσοντι ψήγματα παρέχει χρυσοῦ καὶ ἀργύρου πλεῖστα καὶ κάλλιστα καὶ κρείσσονα τῆς Ἰνδικῆς· (4) δι' ἃ δὴ καὶ τὸ ἐξ ἀρχῆς ἡ τῶν Τριβαλλῶν ἀρχὴ εὐδαίμων τε ἦν καὶ ἐπὶ πλούτῳ καὶ δυναστείᾳ μέγα ἐφρόνει, καὶ βασίλειον ἦν καὶ πόλεις εἶχε πολλὰς καὶ μεγάλας ὑφ' ἑαυτῇ, ἀλλὰ δὴ καὶ εὐδαίμονας, καὶ φρούρια ἐρυμνὰ καὶ δυσάλωτα, καὶ καταλόγων στρατιωτικῶν τε στρατευμάτων ἐπλούτει, καὶ ὅπλων πολλῶν καὶ καλῶν,

---

ἐμπόρους τῶν Γενουϊτῶν τοὺς εὑρεθέντας ἐκεῖ τὰς πραγματείας ἀφεῖλον, αὐτοὺς δὲ ἐν ταῖς τριήρεσιν ἔβαλον· τοὺς δὲ πολίτας ἅπαντας καταγράψας καὶ τοὺς παῖδας καὶ παιδίσκας ἐγγύς που ἑκατὸν ἀφελὼν, καὶ φύλακα τῷ πολιχνίῳ ἕνα τῶν Τούρκων ἐγκαταστήσας, καὶ πεντεκαίδεκα ἡμέρας τελέσας ἐκεῖ, ἐξήλθασιν αἱ τριήρεις τῇ ιέ τοῦ Νοεβρίου μηνὸς ,ϛϡξδ' ἔτους. Quæ deinde subsecuta sint, apud ipsum Ducam legas. || — § 5. ὠργίζετο αὐτῷ] Ducas p. 335, 22 : ἦν γὰρ ὁ Γενούζης ἐκβεβληκὼς καὶ τὴν ἐπαρχίαν Καρίας ἐπιστατῶν· ὁ δὲ Ἰσμαὴλ ἀντεισήχθη κοντοσταῦλος καὶ ἔπαρχος ἐν Χερρονήσῳ. Ceterum Januarii mense anni 1456 (6964) Jonuza adhuc classis præfectus erat in expeditione contra Ænum (v. cap. 11).

VI. § 1. Τριβαλλούς] Sic Servios vocat more eruditulorum Byzantinorum. || — νεοχμοῦντα] νεωχμ. cod. || — Τριβαλλῶν ἡγεμόνα] sc. Georgium, Mariæ seu Maræ filium, Lazari e filia nepotem, qui Stephano avunculo in Serviæ principatu successerat. Miro errore Critobulus pro Georgio ubique Lazarum dicit. || — § 2. τὸν δασμὸν βραδέως... παρεῖχε] Imo promptissime tributum Augusti mense an. 1453 Adrianopolim attulerat. V. Ducas p. 314. Mechemetes Serviæ potiundæ cupidus causam belli inferendi eo invenit quod ob cognationem cum Serviæ despotarum familia sibi intercedentem, regionem illam ad se ipsum potius quam ad Georgium pertinere prætexebat. V. Ducas p. 317. Seadeddin. 2, p. 171. Mechemetes in Serviam irrupit primum æstate anni 1454, deinde iterum æstate anni 1455, ut supra jam monui. Critobulus nonnisi secundum expeditionem commemorat eamque perperam ponit ante Jonuzæ expeditionem contra Chios. De secunda expeditione, quam Ducas non commemorat, paucis agit Chalcocondylas p. 414, fusius Seaddinus 2, p. 170-173. Cf. Hammer l. l. p. 13, Zinkeisen 2, p. 77.

VII. § 1. Ἄνω Θράκης] sic mgo; Εὐρώπης text. || — § 2. παρακειμένη] sic mgo, παρήκουσα text. || — § 3. χρυσὸν] De Serviæ metallis cf. Chalcocondylas p. 415, 8, Bullialdus ad Ducam p. 541, Hammer. 2, p. 13 not. || — § 4. αὐτῆς, ἀλλὰ δὴ καὶ] Inde ab his verbis incipit codicis pagina 135. Paginæ 135-142, quæ mediam partem quaternionis noni (qui pro suetis sedecim paginis paginas viginti habet) constituunt, majoribus literis scriptæ sunt quam ceteræ, ultima autem harum paginarum (p. 142) majorem sui partem habet vacuam. Scriba in hoc quaternione aliquid omisisse videtur, quod ut suppleretur, quattuor paginis mediis alias substituit paginas octo; quas ut impleret,

καὶ οἰκήτορας εἶχεν ἀρίστους, καὶ νεότητα ἔτρεφε πολλήν τε καὶ εὐανδροῦσαν, καὶ ζηλωτὸς ἦν ἐν πᾶσί τε καὶ περίβλεπτος, ἀλλὰ δὴ καὶ ἐπίφθονος, καὶ πολλοὺς εἶχε τοὺς οὐ μόνον ἐρῶντας αὐτῆς, ἀλλὰ δὴ καὶ ἐπιβουλεύοντας. (5) Ἐστράτευσε μὲν οὖν ἐπὶ ταύτην καὶ πρόσθεν Μωράτης, ὁ τοῦ βασιλέως πατὴρ, χειρὶ πολλῇ καὶ δυνάμει ἐσβαλὼν, καὶ πᾶσαν αὐτὴν παρεστήσατο, καὶ πόλεις καὶ φρούρια εἷλε, τά τε ἐν τῇ μεσογείᾳ τά τε παρὰ τὰς ὄχθας τοῦ Ἴστρου κείμενα, τὰ μὲν ἐξ ἐπιδρομῆς βίᾳ τοῖς ὅπλοις, τὰ δὲ καὶ ἀμαχὶ προσχωροῦντα, καὶ πάσης ἁπλῶς ἐκράτησε, τὸν ταύτης ἡγεμόνα Λάζαρον ἐξελάσας ἐς Παίονας· (6) ὅν γε δὴ, χρόνον ἤδη συχνὸν περιιόντα τε καὶ ἀλώμενον ἐν αὐτοῖς, ᾤκτειρε τῆς ἄλης ὁ βασιλεὺς, καὶ τὰ μὲν οἴκοθεν, τὰ δὲ ὑπὸ τῶν φίλων παρακληθεὶς (καὶ γὰρ ἦν, εἴ τις ἄλλος, τήν τε γνώμην καὶ τὸν τρόπον χρηστός), ἔτι δὲ καὶ ξύμμαχόν τε καὶ ξύνεργον ἔχειν βουλόμενος, φίλον τε ἤδη γεγονότα καὶ εὖ πεπονθότα τὰ μέγιστα, ἐς (τε) τὸν κατὰ Παιόνων τε καὶ Δακῶν πόλεμον, πολὺν δὴ χρόνον ὁμοροῦντά τε τούτοις καὶ τὴν ἐκείνων χώραν καὶ ἤθη καλῶς ἐξεπιστάμενον καὶ δὴ καὶ γενναῖον ὄντα καὶ στρατηγικὸν, πάλιν ἀποδίδωσιν αὐτῷ τήν τε χώραν καὶ τὴν ἀρχὴν, μήτε τινὸς στερήσας ὧν ἔλαβε, μᾶλλον δὲ καὶ προσεπιδοὺς πολλὰ τῶν ἰδίων, μήτε μὴν ὅμηρόν τι λαβὼν παρ' αὐτοῦ, φόρους δὲ μόνους τοὺς εἰθισμένους καταβάλλειν κελεύσας καὶ ὅρκοις καταδήσας καὶ πιστεύσας αὐτῷ τὴν ἀρχήν.

VIII. Λάζαρος δὲ τὴν ἰδίαν ἀρχὴν αὖθις ἀναλαβὼν κατὰ μικρόν τε κρατυνάμενος καὶ ἄρξας αὐτῆς ἐγκρατῶς, ἣν ὑποταττόμενος τῷ τε πατρὶ τοῦ βασιλέως καὶ αὐτῷ δὴ τῷ βασιλεῖ, μέχρι τινὸς καὶ τὸν φόρον ἀποδιδούς· μετὰ ταῦτά γε μὴν, ᾗπερ ἔφην, ἀβουλίᾳ γνώμης χρησάμενος καὶ νεωτέρων ἐπιθυμήσας, οὔτε τὸν φόρον ἀπεδίδου ῥᾳδίως, καὶ μετὰ τῶν Παιόνων τε καὶ Δακῶν ἔπραττε, παραβαίνων τὰς μετὰ βασιλέως σπονδάς. (2) Ὃ δὴ καταφωράσας ὁ βασιλεὺς αὐτὸν ποιοῦντα καὶ ληφθεὶς ὀργῇ, τὴν ἐκστρατείαν κατ' αὐτοῦ ἐποιεῖτο. Παρασκευασάμενος οὖν χειμῶνος καλῶς, ἐπειδὴ ἔαρ ὑπέφαινεν ἤδη, ἄρας ἐκ τῆς Ἀδριανοῦ παντὶ τῷ στρατῷ ἱππικῷ τε καὶ πεζικῷ ἐχώρει διὰ τῆς μεσογείας Θρᾴκης τε καὶ Μακεδονίας, ξυνεπαγόμενος ἅμα οἱ καὶ μηχανὰς οὐκ ὀλίγας καὶ ὅπλα πάμπολλα. (3) Ἦν δὲ ὁ στρατὸς αὐτῷ, ὡς ἐλέγετο, ἵππος μὲν πεντακισμύρια, πεζὸς δὲ οὐκ ὀλίγῳ πλείων τούτων. Καταλαβὼν δὲ τήν τε Μυσίαν καὶ τὸ Αἵμονος ὄρος, ἔνθα ἡ πάροδος, ἑβδομαῖος διαβαίνει τε ταύτην ἀσφαλῶς παντὶ τῷ στρατῷ, κἀκεῖθεν ὁρμηθεὶς τριταῖος ἐσβάλλει ἐς τὴν Τριβαλλῶν· καὶ κατατρέχει μὲν αὐτῆς τὰ πολλὰ καὶ λῄζεται, χειροῦται δὲ καὶ φρούρια οὐκ ὀλίγα, τὰ μὲν ἐξ ἐπιδρομῆς βίᾳ, τὰ δὲ καὶ πολιορκίᾳ ἑλών. (4) Δράσας δὲ ταῦτα ἐν πέντε καὶ εἴκοσι ταῖς ὅλαις ἡμέραις μετὰ τὴν ἐσβολὴν, ἀφικνεῖται ἐς πόλιν ἐχυρὰν καὶ εὐδαίμονα Νοβόπροδον οὕτω καλουμένην τῇ Τριβαλλῶν φωνῇ, οὗ δὴ καὶ πλεῖστος ἄργυρος καὶ χρυσὸς γεωργεῖται ἀνορυττόμενος, καὶ στρατόπεδον τίθησιν ἐπ' αὐτήν. (5) Καὶ πρῶτα μὲν λόγους προσφέρει τοῖς ἐν αὐτῇ περί τε ἐνδόσεως καὶ ξυνθηκῶν, εἰ βούλοιντο παραδόντες αὐτῷ τὴν πόλιν καὶ ἑαυτοὺς μετὰ ξυμβάσεων καὶ ὁμολογίας καὶ πίστεως καθῆσθαι ξὺν γυναιξὶ καὶ τέκνοις καὶ τοῖς ὑπάρχουσι πᾶσι σῶς καὶ κακῶν ἀπαθεῖς ἐπὶ τοῖς αὐτοῖς καὶ ὁμοίοις, ἐφ' οἷσπερ καὶ πρότερον, καὶ φόρους ἀποφέρειν οὓς καὶ τῷ σφῶν βασιλεῖ, τοῖς ἄλλοις ἅπασιν εἰρηνεύοντες. (6) Ὡς δ' οὐ προυχώρει κατὰ νοῦν αὐτῷ ἡ πεῖρα, τῶν ἔνδον καθάπαξ οὐ βουλομένων, ἔκειρέ τε τὴν γῆν εὐθὺς, καὶ περισταυρώσας τὸ ἄστυ καὶ κύκλῳ περιλαβὼν τῷ στρατῷ καὶ μηχανὰς ἐπιστήσας ἐπολιόρκει.

IX. Λάζαρος δὲ ὁ τῶν Τριβαλλῶν ἡγεμὼν τὴν ἀθρόαν ἔφοδον τοῦ βασιλέως μαθὼν τήν τε τῶν φρουρίων ἅλωσιν καὶ τὴν πολιορκίαν τοῦ Νοβοπρόδου, ἐξεπλάγη τε τῷ γινομένῳ καὶ ὅλος ἦν ἐν ἀμηχανίᾳ καὶ ἀπορίᾳ, μὴ ἔχων ὅτι καὶ δράσειεν· ὅμως γε μὴν ἐκ τῶν δυνατῶν τά τε λοιπὰ τῶν φρουρίων ἐπεσκεύαζε τούς τε ἄνδρας καὶ γυναῖκας καὶ παῖδας ἀπὸ τῶν κάτω χωρῶν τοὺς μὲν ἐς τὰ φρούρια, τοὺς δὲ ἐς τὰ μετεωρότερα τῆς χώρας μετῴκιζε, τά τε βοσκήματα ἀνεκόμιζε καὶ τὴν ἄλλην πᾶσαν περιουσίαν αὐτῶν καὶ ἀποσκευὴν, τήν τε λοιπὴν ἠσφαλίζετο χώραν. (2) Αὐτὸς δὲ φρουράν τε ἱκανὴν καὶ φρούραρχον ἕνα τῶν αὐτῷ πιστοτάτων ἐγκαταστήσας τῇ Σαμανδρίᾳ, τά τε ἐπιτήδεια ἄφθονα ἐσκομίσας αὐτῇ, καὶ ὅσα γε ἐς μακρὰν πολιορκίαν ἀρκέσειν ἐνόμιζε, διαβαίνει τὸν Ἴστρον ξὺν γυναιξὶ καὶ τέκνοις καὶ τοῖς ὑπάρχουσι πᾶσι καί τισι τῶν περὶ αὐτὸν, καὶ ἀφικόμενος ἐς Δάκας καὶ Παίονας ἐκεῖ διέτριβεν. (3) Ὅμως γε μὴν μετὰ μικρὸν ἔδοξεν αὐτῷ βουλευσαμένῳ πρεσβείαν τε πέμπειν ὡς βασιλέα καὶ πειρᾶσθαι εἰ δύναιτο τρόπῳ παντὶ σπονδῶν τυχεῖν καὶ εἰρήνης. Ἀπολεξάμενος οὖν ἄνδρας

scripturam ampliorem adhibuit, quanquam vel sic accidit ut in fine relinqueretur spatium vacuum. || — § 5. ἐστράτευσε Μωράτης] De bello quod Morates II an. 1438 contra Georgium Serviæ despotam gessit, deque pactis, quibus anno 1444 urbes quæ captæ erant, redditæ filiique excæcati Georgio remissi sunt, v. Ducas, p. 209. 21. Chalcocondylas p. 245. 317, Seadeddin, 2, p. 74. 166, Hammer. l. l. 1, p. 447. 456. || — § 6. καὶ εὖ πεπονθότα τὰ μέγιστα] Hæc adduntur in margine.

VIII, § 2. Ὁ βασιλεὺς] add. mgo. — || § 4. πόλιν] πολίχνην, mgo. || — Νοβόπροδον] Nomen in rasura scriptum. Νοβοπύργον vocat Chalcocondylas p. 414, 13; Νοβόπριδον, μητέρα τῶν πόλεων, Ducas p. 209, 15; *Novobardo* Seadedd. p. 171. Est *Novobrdo* a Piristina urbe ortum versus sita. || — τῇ Τριβαλλῶν φωνῇ] add. mgo. || — πλεῖστος ἄργυρος] De metallis Novoberdæ cf. Chalcocond. p. 415, Bullialdus ad Ducam p. 541, Hammer 2, p. 13.

IX. § 2. Σαμανδρίᾳ] Σμεντόροβον vocat Phrantzes p. 386, 16 sqq; Σμέδροβον Ducas p. 206, 6, 209, 3, Σπενδερέβην

τοὺς πρώτους παρ' αὐτῷ, ξυνετούς τε καὶ τῶν ἄγαν πεπαιδευμένων, καὶ δῶρα δοὺς αὐτοῖς χρυσοῦ καὶ ἀργύρου πλεῖστά τε καὶ πολυτελῆ, ἀλλὰ δὴ καὶ τὸν ξυνήθη δασμὸν, ὃν ἔφαμεν, ἀποπέμπει. (4) Οἱ δὲ ἀφικόμενοι τά τε δῶρα κομίζουσι τῷ βασιλεῖ καὶ τὸν δασμὸν, ἀπαγγέλλοντες αὐτῷ καὶ τὰ παρὰ τοῦ σφῶν ἡγεμόνος. Καὶ ὁ βασιλεὺς δέχεται τούτους ἡμέρως καὶ χρηματίζει φιλανθρώπως, καὶ λαλήσας εἰρηνικὰ μετ' αὐτῶν σπονδὰς ποιεῖται, καὶ πίστεις δίδωσι καὶ λαμβάνει ἐφ' ᾧ κατέχειν τε αὐτὸς ἃ ἔλαβε φρούρια, καὶ χώραν ὅσην ἐπῆλθε μετὰ τῶν ὅπλων, τῶν δὲ λοιπῶν πάντων ἄρχειν τὸν ἡγεμόνα σφῶν, ἀποδιδόντα φόρον ἐτήσιον ὀλίγῳ ἐλάσσονα τοῦ προτέρου καὶ στρατιώτας ῥητοὺς ἐν ταῖς ἐκστρατείαις τοῦ βασιλέως. (5) Ἤδη γὰρ καὶ τὸ πολιορκούμενον ἄστυ τοῦ Νοβοπρόδου, μὴ δυνάμενον ἀντέχειν ἔτι τῇ πολιορκίᾳ μέχρι πολλοῦ παρατεινομένῃ (τεσσαράκοντα γάρ που παρεῖλκον ἡμέραι πολιορκουμένῳ), ἀλλὰ δὴ καὶ τῶν τειχῶν αὐτῷ κατερριμμένων ταῖς μηχαναῖς, προσεχώρησεν ὁμολογίᾳ τῷ βασιλεῖ, ἐφ' ᾧ μηδέν τι κακὸν παθεῖν πάντας τοὺς ἐν αὐτῷ, ἀλλὰ μένειν ὡς εἶχον ξὺν γυναιξὶ καὶ τέκνοις καὶ τοῖς ὑπάρχουσι πᾶσι, κατοικοῦντάς τε τὸ ἄστυ καὶ νεμομένους τὴν χώραν. (6) Σπεισάμενος οὖν καὶ πίστεις δούς τε καὶ λαβὼν, καὶ δώροις φιλοτίμοις τε καὶ ξενίοις τιμήσας τοὺς πρέσβεις καὶ λόγοις ἡμέροις καὶ φιλανθρώποις δεξιωσάμενος ἀποπέμπει. Οἱ δὲ παραγενόμενοι ἀπαγγέλλουσι τῷ σφῶν ἡγεμόνι Λαζάρῳ ἃ ἔπραξαν· ὁ δὲ παρ' ἐλπίδα τυχὼν τῶν σπονδῶν, ὅπερ οὐκ ἄν ποτε προσεδόκησεν, οὐδὲ γὰρ ἐνόμιζεν ἔτι δυνατὸν εἶναι σπείσασθαί οἱ τὸν βασιλέα τοσαύτην ἀγείραντα στρατιὰν καὶ παρασκευὴν τοσήνδε καὶ δαπάνην ἐς τὸν πόλεμον πεποιημένον, ὅμως γε μὴν ἥσθη τε τῷ γενομένῳ διαφερόντως καὶ (τῶν) ὧν ἀπέβαλεν οὐδένα πεποίηται λόγον, ἀγαπήσας τοῖς καταλειφθεῖσι· πάντων γὰρ ἀθρόων ἐνόμιζεν ἐκπεσεῖσθαι. (7) Ἀναλαβὼν οὖν αὖθις τήν τε γυναῖκα καὶ τοὺς παῖδας καὶ τὴν ἄλλην πᾶσαν ἀποσκευὴν, καὶ τὸν Ἴστρον διαβὰς ἧκεν ἐς τὴν ἰδίαν ἀρχήν. (8) Βασιλεὺς δὲ τά τε φρούρια καλῶς ἀσφαλισάμενος πάντα ἃ ἔλαβε, καὶ φυλακὴν ἱκανὴν ἐγκαταστήσας τῇ χώρᾳ, σατράπην τε ἐγκαταλιπὼν αὐτῇ τὸν Ἀλῆν, ἄνδρα στρατηγικὸν καὶ γενναῖον, καὶ λείαν ἐλάσας ὅτι πολλὴν αὐτός τε καὶ τῇ στρατιᾷ διαδοὺς, ἐπάνεισιν ἐς τὴν Ἀδριανοῦ· ἤδη γὰρ καὶ τὸ θέρος ἐτελεύτα· βραχὺν δὲ χρόνον ἐνδιατρίψας αὐτοῦ καί τινα τῶν αὐτόθι καταστησάμενος, μεσοῦντος ἤδη φθινοπώρου, ἀφικνεῖται ἐς τὸ Βυζάντιον, παραχειμάσων αὐτοῦ· καὶ τρία καὶ ἑξήκοντα ἔτη πρὸς τοῖς ἐνναχοσίοις τε καὶ ἑξακισχιλίοις τοῖς ὅλοις ἠνύετο, πέμπτον δὲ τῆς ἀρχῆς τῷ βασιλεῖ.

X. Καταλαβὼν δὲ τὴν πόλιν εὗρε τά τε βασίλεια τετελεσμένα λαμπρῶς, καὶ τὸ ἐν Χρυσέαις φρούριον τά τε τείχη τῆς πόλεως πάντα καλῶς ᾠκοδομημένα. Ἀρεσθεὶς οὖν τοῖς γενομένοις καὶ τοὺς τῶν ἔργων ἐπιστάτας δωρησάμενος χρήμασί τε καὶ ἱματίοις καὶ πολλοῖς ἄλλοις, κελεύει πάλιν ὅτι τάχιστα ἀνορθοῦν τὰς γεφύρας τὰς ἐν τοῖς κόλποις Ἀθύρα τε καὶ Ῥηγίου, τῷ χρόνῳ πεπονηκυίας τε καὶ πεσούσας, ἔτι δὲ καὶ τὰς ἄλλας ὁδοὺς τὰς πρὸς τὴν πόλιν φερούσας, ὅπῃ τελματώδεις τε ἦσαν καὶ δυσδιεξίτητοι, καταλεαίνοντας καὶ ἐξομαλίζοντας πλαξὶ καὶ λίθοις καταστρωννύντες, ὥστε ῥᾳδίαν εἶναι καὶ ἀσφαλῆ τὴν τούτων διάβασιν· (2) οὐ μόνον δὲ, ἀλλὰ καὶ πανδοχεῖα καὶ καταγώγια οἰκοδομεῖν ἐν αὐταῖς ἐς κατάλυσίν τε καὶ ἀνάπαυλαν τῶν ὁδοιπορούντων τε καὶ κατὰ γῆν ἐς τὴν πόλιν ἀφικνουμένων, καὶ ἀγορὰν δὲ μεγίστην τε καὶ καλλίστην ἐν μέσῃ τῇ πόλει ἐγγύς που τῶν βασιλείων κελεύει γίνεσθαι τείχεσί τε ἠσφαλισμένην ἰσχυροτάτοις τὰ ἔξω, καὶ στοαῖς καλλίσταις τε καὶ μεγίσταις διειλημμένην τὰ ἔνδον, τόν τε ὄροφον ἔχουσαν ἐξ ὀπτῆς πλίνθου καὶ διαφανῶν λίθων ἐξειργασμένον, ἔτι δὲ λουτρὰ κατασκευάζειν λαμπρὰ καὶ πολυτελῆ, καὶ ὑδάτων ἀφθονίαν ἔξωθεν ἐπαγαγεῖν τῇ πόλει δι' ὀχετῶν, ἄλλα τε πολλὰ τοιαῦτα προσέταξε γίνεσθαι ἔς τε κατασκευὴν καὶ κόσμον τῆς πόλεως καὶ ὠφέλειαν καὶ χρείαν τῶν ἐνοικούντων καὶ ἄλλην παραμυθίαν. (3) Πρὸ πάντων δὲ τοῦ τε ξυνοικισμοῦ τῆς πόλεως ἐπεμέλετο καὶ τοῦ πᾶσαν αὐτὴν οἰκητόρων πληρῶσαι, καθὰ δὴ καὶ τὸ πρὶν ἦν, πανταχόθεν τε τῆς αὐτοῦ πάντας ξυλλέγων, ἔκ τε Ἀσίας καὶ Εὐρώπης, καὶ μετοικίζων ἐς αὐτὴν μεθ' ὅτι πλείστης ἐπιμελείας τε καὶ σπουδῆς ἐκ παντὸς μὲν καὶ ἄλλου γένους, καὶ μάλιστα δὲ τοῦ Χριστιανῶν· οὕτω δεινὸς ἔρως ἐνέπεσεν αὐτοῦ τῇ ψυχῇ τῆς τε πόλεως καὶ τοῦ ταύτης ξυνοικισμοῦ τοῦ τε ἐς τὴν ἀρχαίαν εὐδαιμονίαν ἀποκαταστῆσαι πάλιν αὐτήν.

XI. Ἐν τούτοις δ' ὄντος αὐτοῦ, μεσοῦντος ἤδη χειμῶνος, ἀγγέλλεται τὸν ἡγεμόνα τῆς Αἴνου Δωριέα καὶ τῶν νήσων Ἴμβρου καὶ Σαμοθράκης νεοχμοῦν τε βούλεσθαι καὶ νεωτέρων ἐπιθυμεῖν· ὁ γάρτοι

(Σμενδ.?) Chalcoc. p. 415, 14. Serviis est *Smederewo.* || — ξὺν γυναικὶ] σ. γυναιξὶ cod. || — § 5. τεσσαράκοντα] Seadeddinus 2, p. 172 post septem dierum oppugnationem Novoberdam se dedidisse tradit. Deinde *Trepsia* et *Buhur* urbibus Turci potiti sunt, ut idem narrat Seadeddinus. || —§ 8. ὅτι πολλὴν] modo sic, modo ὅτι πλείστην Critobulus dicit. Cf. ὅτι πολλὴν, 3, 16, 3. 4, 10, 4 et 10. 4, 16, 9; ὅτι πολλῶν, 3, 20, 3. 4, 6, 2; ὅτι πολλούς, 4, 16, 4. || — καὶ τρία καὶ ἑξήκοντα] Vox τρία addita manu secunda. Legitur codicis pag. 142 versu quarto. Reliqua paginæ pars vacua. || — πέμπτον] sic recte margo, τέτταρα text. || — ἐπάνεισιν ἐς τὴν Ἀδριανοῦ] Secundum Seadeddin. p. 173 Mechemetes e Servia per Cossovæ planitiem Thessalonicam, inde vero Constantinopolim sese contulit.

X. § 1. Καὶ ἱματίοις] add. margo. || — τὰς ἐν τοῖς κόλποις Ἀθύρα τε καὶ Ῥηγίου] Per eas transiisse regem Thessalonica Constantinopolim redeuntem consentaneum est. || — 2. προσέταξε] add. mgo.

XI. Expeditionem contra Ænum Phrantzes omnino non commemorat, Ducas vero p. 335, 7 et Chalcocondylas

πατὴρ αὐτοῦ Παλαμήδης, πρὸ μικροῦ τελευτῶν, κατέλιπεν ἐν ταῖς αὐτοῦ διαθήκαις αὐτόν τε Δωριέα καὶ τὴν τοῦ πρεσβυτέρου ἀδελφοῦ γυναῖκα καὶ τοὺς παῖδας κληρονόμους τε τῶν αὐτοῦ πάντων ἐξ ἴσης, καὶ τῆς ἀρχῆς διαδόχους, μᾶλλον δὲ καὶ τὸ πλέον ἐν ταῖς διαθήκαις ἔνεμε ταύτῃ τε καὶ τοῖς ταύτης παισίν, ὡς τῆς ἀρχῆς ἐς τὸν πρεσβύτερον υἱέα αὐτοῦ περιισταμένης δικαίως, ἐπεὶ καὶ ἔτι περιόντι ὁ πατὴρ ἐκείνῳ πᾶσαν ἔδωκε τὴν ἀρχήν, τῶν ἐν τῇ Μιτυλήνῃ κτημάτων μόνων κύριον ἀποδείξας τὸν Δωριέα. (2) Ὁ δὲ βραχὺ φροντίσας τοῦ τε δικαίου καὶ τῶν διαθηκῶν τοῦ πατρός, ἀλλὰ δὴ καὶ τῆς ἰδίας ἀσφαλείας· ἀσφαλέστερος γὰρ ἔμελλεν εἶναι τηρήσας τὰ πρὸς τοὺς παῖδας τοῦ ἀδελφοῦ δίκαια καὶ τὴν τούτων μητέρα· ὁ δὲ παρωσάμενος τήν τε γυναῖκα καὶ τοὺς παῖδας, ἀδίκως ἐγκρατὴς γίνεται τοῦ τε κατ' οἶκον βίου παντὸς καὶ τῆς ὅλης ἀρχῆς, μηδενὸς τούτων παραχωρήσας τοῖς τε παισὶ καὶ τῇ γυναικί. (3) Ἡ δὲ τὸ πρᾶγμα ἐν δεινῷ τιθεμένη καὶ τὴν καταδυναστείαν μὴ φέρουσα, τὰ μὲν πρῶτα λόγοις ἐπειρᾶτο τοῦτον τῆς πλεονεξίας ἀπάγειν, τὰ μὲν δι' αὐτῆς, τὰ δὲ καὶ διὰ ξυνετῶν καὶ φρονίμων ἀνδρῶν τῶν ταύτῃ, προσέτι δὲ καὶ οἰκείων αὐτοῖς, καὶ οἷς οὐχ ἥκιστα ἔμελλεν ἀκινδύνως ἔχειν τὰ τῆς ἀρχῆς. (4) Οἳ καὶ προσελθόντες εὐνοϊκῶς ξυνεβούλευον αὐτῷ μηδὲν ὅλως περὶ τὰς τοῦ πατρὸς διαθήκας καινοτομεῖν, μηδὲ καταδυναστεύειν ἐθέλειν τήν τε γυναῖκα καὶ τοὺς παῖδας τοῦ ἀδελφοῦ, τήν τε θείαν νέμεσιν δεδιότα, ἣ πανταχοῦ περιερχομένη τὰ τῶν ἀνθρώπων δικάζει καὶ τοὺς ἀδικουμένους καὶ ἀδικοῦντας ὁρᾷ, τήν τε τοῦ κρατοῦντος πρὸς τὰ τοιαῦτα ῥοπὴν καὶ τὸ σφόδρα τε ἀπαραίτητον καὶ ἀδιάλλακτον. (5) Οὐδὲ γὰρ ἀνεκτὸν ἔλεγον ἔσεσθαι τοῖς ἀδικουμένοις σιγῇ καθῆσθαι, ἀλλὰ ζητήτουσι ἐξ ἅπαντος τρόπου τὸ ἑαυτῶν δίκαιον, καὶ καταβοήσονταί σου πρὸς τὸν βασιλέα ῥητὰ καὶ ἄρρητα ἐξειπόντες· καὶ ὅρα πῇ τελευτήσει τὸ πρᾶγμα· ἀλλ' εἴ τι κήδῃ σαυτοῦ τε καὶ ἡμῶν καὶ τῆς ὅλης ἀρχῆς, πρόσθητι τὰ βέλτιστα ξυμβουλευομένοις ἡμῖν, καὶ κοινώνει τῶν τε πραγμάτων καὶ τῆς ἀρχῆς τοῖς τε παισὶ τοῦ ἀδελφοῦ καὶ τῇ γυναικί, παραχωρῶν τῷ δικαίῳ· καὶ οὕτω χρηστά τε καὶ ἄριστα καὶ βουλεύσῃ καὶ δράσεις σαυτῷ καὶ ἡμῖν πᾶσιν ἐπωφελῆ, εἰρηνικήν τε ἕξεις τοῦ λοιποῦ καὶ ἀκίνδυνον τὴν λαχοῦσαν ἀρχήν. (6) Ταῦτά τε καὶ τοιαῦτα πολλὰ πολλάκις πρὸς αὐτὸν λέγοντες οὐκ ἔπειθον ὅμως. Ἡ δὲ γυνὴ τούτων ἀπογνοῦσα καθάπαξ, καταφεύγει πρὸς τὸν κρατοῦντα, καὶ πέμπει δὴ πρέσβυν τε καὶ ἱκέτην τὸν πρὸς μητρὸς θεῖον αὐτῇ. Ὁ δὲ ἀφικόμενος λύπην τε ἔχων καὶ δικαίαν ὀργὴν καὶ ἅμα βουλόμενος ἀμύνασθαι τὸν ἀδικοῦντα, εἰ δέοι καὶ κοινῶς ξυνεκπεσεῖν τῆς ἀρχῆς, ὃ δή που καὶ γέγονε, πολλὰ κατεφόρει πρὸς τὸν βασιλέα τοῦ Δωριέως, ὡς δύσνους τε εἴη λέγων αὐτῷ, καὶ νεωτέρων ἐπιθυμεῖ καὶ κοινολογεῖται τοῖς Ἰταλοῖς καὶ ὅπλα ξυλλέγει καὶ φρουροὺς μισθοῦται καὶ φύλακας ἐγκαθιστάνειν βούλεται Αἴνῳ τε καὶ ταῖς νήσοις καὶ ὅλως ἐς ἀποστασίαν ὁρᾷ· καὶ εἰ μὴ θᾶττον, ἔλεγε, προληφθείη, κἂν ἐς ἔργον ἄξει τὸ σπουδαζόμενον.

XII. Ταῦτά τε καὶ πολλὰ τοιαῦτα εἰπὼν ἐς ὀργήν τε καὶ θυμὸν τὸν βασιλέα κινεῖ. Ὁ δὲ οὐκέτι καθεκτὸς ἦν, οὐδέ γε τοῦ λοιποῦ μέλλειν ᾤετο δεῖν· οὐδὲ γὰρ παροπτέα οἱ τὰ τῆς Αἴνου εἶναι ἐδόκει, οὐδέ γε ὅλως ἀμελητέα πόλεως λόγου ἀξίας πολλῶν ἕνεκα, καὶ προσόδων μεγάλων καὶ θέσεως ἐπικαίρου καὶ ἀρετῆς γῆς καὶ πολλῶν ἄλλων. (2) Αἶνος γὰρ ἦν μὲν τὸ παλαιὸν πόλις μεγίστη τῶν Αἰολίδων, ἐπί τε δόξῃ καὶ πλούτῳ καὶ δυναστείᾳ μέγα φρονοῦσα, ξυμπάσης τε τῆς καθ' αὑτὴν παραλίας κρατοῦσα, ἀλλὰ δὴ καὶ τῶν νήσων ἐνίων. Κεῖται γὰρ ἐν καλλίστῳ τῆς παραλίας Θρᾴκης τε καὶ Μακεδονίας, ἐκ μεσημβρίας μὲν ἔχουσα τόν τε Αἰγαῖον καὶ τὰς νήσους παρακειμένας Ἴμβρον καὶ Λῆμνον καὶ τὰς λοιπάς, καὶ τὴν ἀπὸ τούτων ἐμπορίαν δαψιλῶς καρπουμένη· ἀπὸ δὲ ἄρκτου Εὖρον ποταμόν, ὃς ἔκ τε τῆς ἄνω Μυσίας καὶ τοῦ Αἵμονος ὄρους τὰς πηγὰς ἔχων ῥεῖ διὰ τῆς μεσογείας Θρᾴκης τε καὶ Μακεδονίας, κατὰ μεσημβρίαν ἀεὶ πορευόμενος, προϊὼν δὲ κατὰ μικρὸν καὶ τὴν Ἀδριανοῦ παραρρέων μέγας τε γίνεται καὶ ναυσὶ περατός, δεχόμενος καὶ ἑτέρους ποταμοὺς ἐσβάλλοντας ἐς αὐτόν, τόν τε Κοντάεσδον καὶ Ἀγριάνην καὶ Τέαρον· (3) ὃς δὴ Τέαρος ἔκ τε τοῦ παρακειμένου ὄρους μεταξὺ Ἡραίου τε καὶ Ἀπολλωνίας τῆς πρὸς Εὐξείνῳ πόντῳ τὰς πηγὰς ἔχων ἐκ πέτρας ῥεούσας, καὶ κάλλιστόν τε καὶ ποτιμώτατον, ἀλλὰ δὴ καὶ ὠφελιμώτατον ἐν πολλοῖς ὕδωρ ἁπάντων ἔχειν μαρτυρεῖται παρά τε τῶν ταύτῃ προσχώρων, ἀλλὰ δὴ καὶ δι' ὅσων ῥεῖ. (4) Ὁ δ' οὖν Εὖρος κατιών τε καὶ πρὸς τῷ Δορίσκῳ γινόμενος καὶ παραρρέων αὐτὸν ἔξεισι πρὸ τοῦ λιμένος

p. 469, 9 verbo tetigisse satis habent; paullo fusius de ea exponit Seadeddinus 2, p. 168. Alios auctores turcicos laudat Hammerus 2, p. 22, nihil tamen narrat præter ea quæ in Seadeddino leguntur. Causam expeditionis Seadeddinus fuisse dicit quod incolæ Cypselorum et *Feredchik* oppidi conquererentur de Æniis servos fugitivos Turcorum retinentibus deque principe urbis salinas regias fraudulenter administrante. Longe plurima eorum quæ c. 11-16 Critobulus narrat, aliunde non nota sunt. || — § 1. υἱέα] sic mgo, υἱὸν text. || — § 3. προσέτι] μᾶλλον supra scriptum || — § 4. ῥοπήν] an ὀργήν? || — § 5 τὸ ἑαυτῶν δίκαιον] τὸ ἴδιον δ. supra script. || — πῇ τελευτήσει τὸ πρᾶγμα] πῇ τελευτήσει τὸ δεινόν mgo. || — § 6. τούτων ἀπογνοῦσα] τοῦ πείθειν ἀ. mgo.

XII. § 2. Πόλις τῶν Αἰολίδων]. Cf. Herodoti 7, 57; Thuc. 7, 58; Ephori fr. 73 (Fr. Hist. 1, p. 256); Scymnus 696; Strabo lib. 7 fr. 50; Stephan. Byz. v. Αἶνος; Mela 2, 2; Virgil. Æn. 3, 18. || — Εὖρον] similiter § 4. Εὖρος pro Ἕβρος. || — Κοντάεσδον] Reponendum esse videtur Κοντάδεσδον ex nostris codicibus Herodoti (4, 90), quem Critobulus ob oculos habuit. Ὁ δὲ Τέαρος (Her. inquit) λέγεται ὑπὸ τῶν περιοίκων εἶναι ποταμῶν ἄριστος, τά τε ἄλλα ἐς

Αἴνου ἐς τὴν ταύτῃ θάλασσαν τοῦ Αἰγαίου. (5) Τρέφει δὲ γένη τε παντοδαπῶν ἰχθύων πολλά, μειζόνων τε καὶ μειόνων, ἀλλὰ δὴ καὶ πιόνων· παρέχει δὲ καὶ τοῖς ἐν τῇ πόλει δι' αὐτοῦ πλοίοις φορτηγοῖς τὰς ἐμπορίας ποιεῖσθαι ἔς τε τὴν μεσόγειαν καί τινας τῶν ἐν αὐτῇ πόλεων πλησιοχώρους αὐτῷ. (6) Εἰσὶ δὲ καὶ πρὸ τῆς πόλεως λίμναι καὶ ἕτεραι πέριξ αὐτῆς, αἳ δὴ καὶ χερρόνησον ταύτην [ποιοῦσιν], ἀλλὰ δὴ καὶ ἑτέρα τις λίμνη μεγάλη ἐμβάλλουσα ἐς αὐτὰς ὄπισθεν τοῦ πρὸ τῆς πόλεως ὄρους, κειμένη πρὸς βορρᾶν ἄνεμον, Στεντορὶς καλουμένη τὸ παλαιόν, τρέφουσαι καὶ αὗται ἰχθύων τε γένη πολλὰ καὶ κύκνων ἀγέλας καὶ πτηνῶν ἄλλων ἐδωδίμων, λίμναις ἐνδιαιτωμένων καὶ ποταμοῖς· ἐξ ὧν ἁπάντων ἀφθονίαν εἶχε τὸ παλαιὸν ἡ πόλις αὕτη, καὶ νῦν ἔχει πάντων καλῶν. (7) Τὸ δὲ δὴ μεῖζον καὶ ᾧ πάσας σχεδὸν τὰς γειτονούσας νικᾷ μεθ' ὑπερβολῆς τῇ τε τῶν χρημάτων καὶ προσόδων φορᾷ, οἱ ἐν αὐτῇ γινόμενοι ἅλες πλεῖστοι καὶ κάλλιστοι τῶν ἁπανταχοῦ, οὓς ἀνὰ πᾶσαν Θρᾴκην τε καὶ Μακεδονίαν διαδιδοῦσά τε καὶ διατιθεμένη ὅτι πλεῖστον ξυλλέγει χρυσὸν καὶ ἄργυρον· καὶ ὡς ἀπὸ πηγῶν οὕτως ἡ πόλις αὕτη τὸ ἐξ ἀρχῆς εὐδαίμων τε ἦν καὶ πλοῦτον ἄφθονον εἶχε καὶ δύναμιν πλείστην καὶ δόξαν περιεβέβλητο, καὶ πολλοῖς ἄλλοις ἐκόμα καλοῖς. (8) Τῷ χρόνῳ δὲ καὶ αὕτη μετὰ τῶν ἄλλων Ἑλληνίδων πόλεων πεσοῦσά τε καὶ διαφθαρεῖσα ἔμεινεν ἀοίκητος μέχρι πολλοῦ, χρόνῳ δὲ ὕστερον δι' ἀρετὴν τῆς χώρας ἐπολίσθη μέρος τι ταύτης πρὸς τῶν βασιλέων Ῥωμαίων, τὸ πρὸς τῷ λιμένι, καὶ κατῳκίσθη, ὃ ἦν τὸ παλαιὸν ἀκρόπολις, καὶ κατὰ βραχὺ προϊοῦσα γέγονε πόλις αὖθις τῶν ὀνομαστῶν καὶ πλουσίων, οἰκήτορσί τε ἀρίστοις κεχρημένη καὶ εὐθηνουμένη πᾶσι καλοῖς.

XIII. Εἶχε δὲ αὐτῆς τὴν ἀρχὴν πρὸ χρόνων μάλιστά που πεντήκοντα καὶ ἑκατὸν τῶν τις ἀνὴρ Ἰταλῶν, εὐγενής τε καὶ τῶν ἄγαν δυνατῶν, Γατελιοῦζος τοὔνομα, δόντος αὐτῷ τοῦ βασιλέως Ῥωμαίων τήν τε ἀδελφὴν ἐς γυναῖκα καὶ φερνὴν Αἶνόν τε καὶ Μιτυλήνην· ὃς δὴ καὶ ἐπὶ τὸ βέλτιον ταύτην προήγαγε τοῦ χρόνου προϊόντος καὶ κρείττω τοῖς ὅλοις ἀπέφηνε. (2) Καὶ ἧκεν ἡ ἐξ ἐκείνου τοῦ γένους διαδοχὴ ἐς τετάρτην δὴ ταύτην γενεὰν μέχρι Παλαμήδους τε καὶ τοῦ υἱοῦ Δωριέως, παρ' ὧν ἀφείλετο τὴν πόλιν ταύτην τελείως ὁ βασιλεύς· καὶ γὰρ οὗτοί τε καὶ οἱ πρὸ αὐτῶν ἀπέφερον πάντες τοῖς τε προγόνοις τοῦ βασιλέως καὶ δὴ καὶ αὐτῷ, ἐξ ὅτου δὴ τὸ πρῶτον ἐκεῖνοι διαβάντες ἐς τὴν Εὐρώπην, Θρᾴκην ἅπασαν καὶ Μακεδονίαν κατέσχον, δασμὸν ἐτήσιον τάς τε δύο μοίρας τῶν γινομένων ἁλῶν καὶ τῶν ἄλλων ἐπετείων φόρων, αὐτοὶ καρπούμενοι τὰ λοιπὰ ἐνδόσει τῶν βασιλέων, καὶ τῆς πόλεως ἄρχοντες· καὶ γὰρ ἦν ἐπ' αὐτοῖς, ὅταν ἐθέλωσι, ταύτην λαβεῖν, ὥσπερ δῆτα καὶ ἔλαβον νῦν. Καὶ ταῦτα μὲν ταύτῃ.

XIV. Ἰωνούζης δὲ, κελεύσαντος βασιλέως, ὅτι τάχιστα πληρώσας δέκα τριήρεις καὶ ἀναχθεὶς ἀπὸ Καλλιουπόλεως τῇ προτεραίᾳ κατήχθη ἐς Ἐλαιοῦντα καὶ περιπλεύσας Χερρόνησον περαιοῦται νυκτὸς τὸν Μέλανα κόλπον καὶ καταίρει ἐς ἄκραν Παχεῖαν ἀκτὴν λεγομένην μικρὸν ἀπωτέρω τῆς Αἴνου, οὗ δὴ λέγεται Ξέρξην, ὅτε κατὰ τῶν Ἑλλήνων ἐστράτευσε, τὰς νέας ἀνελκύσαντα τὰς αὐτοῦ διαβρόχους οὔσας θεραπεῦσαι τήν τε στρατιὰν ἑαυτοῦ πᾶσαν ἐν Δορίσκῳ ἀναμετρῆσαι· τῇ δ' ὑστεραίᾳ ἅμα ἡμέρᾳ Ἰωνούζης ἐπιπλεῖ τῷ λιμένι τῆς Αἴνου. (2) Βασιλεὺς δὲ Μεχέμετις ἀναλαβὼν τήν τε βασιλικὴν ἴλην πᾶσαν καὶ δύο τάξεις ἱππέων ἐχώρει διὰ τῆς μεσογείας σφοδροτάτου χειμῶνος· ἦν γὰρ ἐν ἀκμῇ τῆς ὥρας τὰ γινόμενα· τοσοῦτον γὰρ ἐπίεσεν αὐτοὺς καθ' ὁδὸν ὅ τε νιφετὸς καὶ ὁ κρυμὸς καὶ αἱ τοῦ βορέου δριμεῖαι πνοαὶ ὥστε πολλοὺς μὲν τοῦ πεζοῦ τῇ χιόνι καταχωσθέντας ἀπο–

ἄκεσιν φέροντα καὶ δὴ καὶ ἀνδράσι καὶ ἵπποισι ψώρην ἀκέσασθαι· εἰσὶ δὲ αὐτοῦ αἱ πηγαὶ δυῶν δέουσαι τεσσεράκοντα, ἐκ πέτρης τῆς αὐτῆς ῥέουσαι· καὶ αἱ μὲν αὐτέων εἰσὶ ψυχραί, αἱ δὲ θερμαί· ὁδὸς δ' ἐπ' αὐτάς ἐστι ἴση ἐξ Ἡραίου τε πόλιος τῆς παρὰ Περίνθῳ καὶ ἐξ Ἀπολλωνίης τῆς ἐν τῷ Εὐξείνῳ πόντῳ, δυῶν ἡμερέων ἑκατέρη· ἐκδιδοῖ δὲ ὁ Τέαρος οὗτος ἐς τὸν Κοντάδεσδον ποταμόν, ὁ δὲ Κοντάδεσδος ἐς τὸν Ἀγριάνην, ὁ δὲ Ἀγριάνης ἐς τὸν Ἕβρον. — Tearum præter Plinium 4, 45 et Libanium or. tom. I, p. 696 ed. Reisk. (ubi Ταίναρος) etiam Chalcocondylas p. 12, 10 (ubi Ταίαρος) memorat. Fontes ejus prope *Vene* et *Bunarhissar* (*Jena* et *Binarhissar* in Kieperti tab. regn. Truc.) quærendos esse probabiliter censet Jochmus (*Journal of the roy. geogr. soc.* tom. 24, p. 45). De Contadesdo aliunde non constat. Fuerit aut *Remasou*, qui a *Karichtiram* urbe ab ortu versus occasum labitur, aut *Peke deressi*, qui a borea versus meridiem fluens et *Eski-Baba* oppidum præterlabens in Agrianem (*Erkeneh*) incidit. || — Ἡραιου] Heræum 16 mill. pass. a Perintho occasum versus distat secundum Tab. Peuting. et Itin. Hierosol. p. 570. || — § 6. ποιοῦσι] addidi vocem.

XIII. § 1. De re v. Ducas p. 46 et Chalcocondylas p. 520.

XIV. § 1. Δέκα τριήρεις] Sic etiam Seadeddin. 2, p. 168. || — Ἐλαιοῦντα] Ἐλεοῦντα cod. || — Παχεῖαν ἄκραν] hodie *Cap Paxi*, olim Sarpedon promontorium. || — Δορίσκῳ] Δωρ. codex. || — § 2. ἐχώρει] Constantinopoli profectus est Januarii die vicesimo quarto an. 6964. 1456, teste Duca, qui expeditionis hujus paucis meminit p. 335, 7: Ἀπάρας δὲ ἀπὸ Κωνσταντινούπολιν τῇ κδ' τοῦ Ἰανουαρίου κατῆλθεν εἰς Αἶνον, καὶ ταύτην παρέλαβεν καὶ παῖδας καὶ παιδίσκας λαβὼν ἐστράφη εἰς Ἀδριανούπολιν. Ὁ δὲ ἡγεμὼν τῆς Αἴνου ἦν διάγων τῷ τότε καιρῷ ἐν Σαμοθρᾴκῃ τῇ νήσῳ. Chalcocondylas p. 469, 9: Ἀποθανόντος τοῦ Παλαμήδου, καὶ τοῦ παιδὸς αὐτοῦ Ντορίου τὴν πόλιν παραλαβόντος, ἐπελάσας ὁ βασιλεὺς εἷλέ τε τὴν Αἶνον, προσχωρησάντων αὐτῷ τῶν ἐν τῇ πόλει αὐτίκα, ἔπεμπέ τε Ἰονούζην τὸν τῆς Καλλιουπόλεως ἔπαρχον παραληψόμενον τὰς νήσους· ἡ μὲν Ἴμβρος αὐτίκα προσεχώρησε καὶ ἡ Λῆμνος, καὶ φρουρὰ βασιλέως ἀφίκετο ἐς τὰς νήσους. || — ἦν γὰρ … τὰ γινόμενα] add. mgo. || — Κύψελα] Κύψελλα cod. h. l. et infra c. 15, 1. || — σταδίους ἑκατὸν] Hod. *Ipsala* ab Æno secundum tabulas nostras linea recta distat 230 fere stadia. Simili errore apud Strabon. lib. 7, fr. 47 (p. 282, 35 ed. Did.) legitur: Ἕβρος ἀνάπλουν ἔχων ἐς Κύψελα σταδίων ρχ.

θανεῖν εὐθὺς ἐν προαστείοις τῆς πόλεως, ἀλλὰ δὴ καὶ κατὰ τὴν ἄλλην ὁδὸν, οὐκ ὀλίγους δὲ καὶ τὰ τοῦ σώματος ἄκρα λελωβημένους τῷ ψύχει ἀποβαλεῖν τάς τε ῥῖνας καὶ ὦτα καὶ τἆλλα τῶν καιρίων τοῦ σώματος μορίων ἠκρωτηριασμένους. (3) Ὅμως γε μὴν μετὰ τοσούτου χειμῶνος καὶ ψύχους καὶ νιφετοῦ ὁρμηθεὶς ἀπὸ τῆς πόλεως τεταρταῖος ἀφικνεῖται ἐς Κύψελα, κώμην μεγάλην νῦν, πόλιν οὖσαν τὸ παλαιὸν τῶν ὀνομαστῶν, ἀπέχουσαν τῆς Αἴνου κατὰ γῆν σταδίους ἑκατόν που μάλιστα.

XV. Οἱ δὲ ἐν τῇ πόλει Αἴνῳ ἰδόντες τε κατὰ θάλασσαν ἐφορμοῦντα τῷ λιμένι τὸν στόλον, τήν τε τοῦ βασιλέως ἀθρόαν ἔφοδον ἐν Κυψέλοις μαθόντες, ἐξεπλάγησάν τε τῷ γινομένῳ, καὶ τὴν αἰτίαν μηδαμοῦ ξυνιδεῖν ἔχοντες ἐς ἀπόγνωσιν ὅτι πλείστην καὶ ἀπορίαν δεινὴν καὶ φόβον ἐνέπεσον, μὴ ἔχοντες ὅτι καὶ δράσειαν. (2) Ἐνόμισαν γὰρ ἀναρπάστους ἂν αὐτοὺς εὐθὺς γενήσεσθαι ξὺν γυναιξὶ καὶ τέκνοις αὐτοῖς κατά τε γῆν καὶ θάλασσαν προσβάλλοντος τοῦ βασιλέως. (3) Δωριεὺς γὰρ ὁ τούτων ἡγεμὼν οὐκ ἦν ἐκεῖσε τότε παρὼν, ἀλλ' ἔτυχε πρὸ μικροῦ ἐς Σαμοθρᾴκην νῆσον ἀπάρας, παραχειμάσων ἐκεῖ. Πλήν γε δὴ ἐκ τῶν ἐνόντων ἄνδρας ἀπολεξάμενοι τοὺς πρώτους τῶν παρ' αὐτοῖς πέμπουσιν ὡς βασιλέα, ἐνδιδόντες ἑαυτούς τε καὶ τὴν πόλιν αὐτῷ ἐπὶ τῷ μηδέν τι κακὸν παθεῖν· (4) Βασιλεὺς δὲ ἥκοντας δέχεται τούτους ἡμέρως, καὶ λαλήσας εἰρηνικὰ μετ' αὐτῶν, καί τινα ὧν ᾔτουν δοὺς ἀποπέμπει ὀπίσω· ξυμπέμπει δὲ αὐτοῖς καὶ Μαχουμούτεα τὸν πασίαν, τὴν πόλιν παραληψόμενον. Τῇ δ' ὑστεραίᾳ καὶ αὐτὸς ἐς αὐτὴν ἀφικνεῖται καὶ ἐσελθὼν ἐς τὰ βασίλεια Δωριέως ἀφαιρεῖται πάντα τὸν πλοῦτον, ὃν εὗρεν ἐν αὐτοῖς χρυσοῦ καὶ ἀργύρου καὶ τῶν ἄλλων, ὡς δὲ καὶ τὰς οἰκίας διαρπάζει τῶν δυνατῶν τῶν μετὰ Δωριέως ἀπόντων. (5) Ἐπιμείνας δὲ ἡμέρας τρεῖς ἐν τῇ πόλει καὶ διαθέμενος τὰ κατ' αὐτὴν ὡς ἐδόκει οἱ, ἀπολεξάμενός τε παῖδας πεντήκοντα καὶ ἑκατὸν τοὺς ἀρίστους, καὶ ἄρχοντα ἐπιστήσας αὐτῇ ἄνδρα ξυνετόν τε καὶ τοὺς τρόπους χρηστὸν Μωράτην οὕτω καλούμενον, ἐπάνεισιν ἐς τὴν Ἀδριανοῦ.

XVI Ἰωνούζης δὲ πεντηκόντορον ἀποστείλας ἐς Σαμοθρᾴκην, ἀναληψομένην τὸν Δωριέα, αὐτὸς ἀπέπλευσεν ἐπ' Ἴμβρου, καταστησόμενός τε τἀκεῖ καὶ τοὺς Δωριέως ἁρμοστὰς ἐκβαλών. (2) Χειμῶνι δὲ χρησάμενος οὐκ ἠδυνήθη κατᾶραι ἐς τὸν λιμένα, ἀλλὰ προσέσχε τῷ Κεφάλῳ, ἄκρᾳ τῆς Ἴμβρου πρὸς μεσημβρίαν ἀκλύστῳ τε οὔσῃ καὶ εὐδιεινῇ. Καὶ πέμψας ἄγγελον μετακαλεῖται Κριτόβουλον καὶ παραδίδωσιν αὐτῷ τήν τε νῆσον πᾶσαν καὶ τὰ ἐν αὐτῇ φρούρια ἄρχειν τε καὶ φυλάττειν· αὐτὸς δὲ ἀναλαβὼν τοὺς Δωριέως ἁρμοστὰς ἀπέπλευσεν ἐπὶ οἴκου ἐς Καλλιούπολιν. (3) Δωριεὺς δὲ ἐκ Σαμοθρᾴκης ἐς μὲν τὴν πεντηκόντορον οὐκ ἐσῆλθεν οὐδὲ ἀφῖκτο πρὸς Ἰωνούζην, δείσας αὐτὸν, ὡς οἶμαι, ἐμβὰς δὲ ἐς πάραλον τὴν αὐτοῦ, ἀπέπλευσεν ἐπὶ Αἴνου κἀκεῖθεν ἀφίκετο ἐς τὴν Ἀδριανοῦ· καὶ ἐς ὄψιν ἐλθὼν τῷ βασιλεῖ δέχεταί τε παρ' αὐτοῦ ἡμέρως, καὶ φιλανθρωπίας καὶ προνοίας τυχὼν λαμβάνει πάλιν τὰς νήσους ἐς ἰδίαν ἀρχὴν, Ἴμβρον καὶ Λῆμνον καὶ Σαμοθρᾴκην. Ἰωνούζης δὲ ὀργὴν ἔχων τῷ Δωριεῖ, ὅτι γε οὐκ ἀφῖκτο παρ' αὐτὸν, ὡς ἂν δι' αὐτοῦ προσαχθείη τῷ βασιλεῖ, ἀλλ' ὑπεροψίαν ἑαυτοῦ νομίσας τὸ πρᾶγμα, καὶ ἀμύνασθαι βουλόμενος τοῦτον, πέμπει κρύφα τῷ βασιλεῖ, ἔτι ὄντος Δωριέως ἐν τῇ Ἀδριανοῦ, μὴ δεῖν λέγων ἐκδοῦναι τὰς νήσους τῷ Δωριεῖ, τῶν τε νησιωτῶν οὐ παραδεχομένων αὐτὸν, καὶ δύσνῳ ὄντι ἀνδρὶ, ἵνα μὴ κατὰ πολλὴν ἄδειαν τὴν ἐν ταῖς νήσοις νεοχμώσῃ, ἀλλ' ἐν τῇ μεσογείᾳ δοῦναι χώραν αὐτῷ ἐς διατροφήν. (4) Βασιλεὺς δὲ πείθεται τούτοις, καὶ τὰς μὲν νήσους παρακατέχει, δίδωσι δὲ αὐτῷ τὰ περὶ Ζῆχνα χωρία καρποῦσθαι. (5) Δωριεὺς δὲ ἀπελθὼν ἐκεῖσε καὶ βραχὺν χρόνον αὐτοῦ διαγαγὼν, μικρὸν ὕστερον φυγὰς ᾤχετο ἐς Μιτυλήνην, κἀκεῖθεν ἐς Νάξον διαβὰς καὶ γήμας ἐν τῇ νήσῳ ἑνὸς τῶν δυνατῶν θυγατέρα, ἔμεινε παρ' αὐτῇ.

XVII. Βασιλεὺς δὲ διάγων ἐν Ἀδριανουπόλει τοῦ αὐτοῦ χειμῶνος, στρατιὰν μεγάλην ἤθροιζε, καὶ μηχανὰς κατεσκεύαζε πρὸς ταῖς οὔσαις πλείους τε καὶ ἰσχυροτάτας καὶ ὅπλα ξυνέλεγε καὶ πᾶσαν ἄλλην πολεμικὴν χρείαν ἐξήρτυεν· οὐ μέντοι γε κατάδηλον

XV. § 1. Τῷ λιμένι] add. mgo. || — § 3. οὐκ ἦν ἐκεῖσε ... ἀλλ'] add. mgo. || — ἐς Σαμοθρᾴκην] Cf. Seadd. et Duc. l. l.

XVI. § 2. Κεφάλῳ] Etiamnum *cap Cephalo*. Sec. Seadeddin. Junisbeg ab Æno solvens Thasum insulam occupavit. At sec. Ducam p. 333, hanc insulam jam Septembris mense an. 1455 Mechemeti dederat Dominicus Lesbi princeps. || — § 3. εἰς ὄψιν ἐλθὼν τῷ βασιλεῖ etc.] Rem ita narrat Seadeddinus: *Essendo venuto humiliato e mortificato alla real corte, domandò la gratia, e presentò al rè una bellissima figliuola con altri presenti e regali; perloche le sue colpe furono perdonate et a lui concessa la comenda di Sachna* (Ζῆχνα Critob.), *e per condurlo colà fù accompagnato da molti officiali della real corte, e nell' andare havendo trovato l'occasione, e quelli che l'accompagnarono trascurati e negligenti, sfodrò la spada hostile, e secondo la sua antica perfidia li fece martiri tutti, et egli fuggendo in Italia si salvò.* || — καὶ Λῆμνον] Lemnii paullo post a Mechemete præfectum turcicum petierunt et obtinuerunt, ut e Duca p. 336 novimus.

XVII. Expeditionis contra Belgradum æstate an. 1456 susceptæ descriptionem accuratiorem legas apud Zinkeisenium 2, p. 79 sqq, consarcinatam e fontibus græcis, italicis, ungaricis et turcicis, quorum recensum instituit Hammerus 2, p. 545 et Zink. p. 85 not. E Byzantinis scriptoribus Ducas p. 337 paucissimis rem absolvit, fusius vero tradit Chalcocondylas p. 416-424. Critobuli narratio pretio et auctoritate caret, quum et manca sit et partium studio cladem Mechemetis celare studeat, adeo ut Critobulo Græco sincerior sit Turcus Seadeddinus, 2, p. 179, qui cladem et ruinam exercitus libere fatetur (*esercito restò disfatto e rovinato*), infortunium vero

ἐποίει τὴν αὑτοῦ γνώμην οὐδὲ ᾔδει τις ὅποι τὴν ὁρμὴν ποιήσοιτο. (2) Παρασκευασάμενος δὲ καλῶς καὶ ὡς ἦν αὐτῷ κατὰ νοῦν, ἅμα ἦρι ὁρμηθεὶς ἐκ τῆς Ἀδριανοῦ, ἐπορεύετο διὰ τῆς μεσογείας Θρᾴκης τε καὶ Μακεδονίας ἐπὶ τὴν ἄνω Μυσίαν (ἣν δὴ Σοφίαν καλοῦσι οἱ νῦν) καὶ τὴν τοῦ Αἵμονος πάρορον, καὶ διαβὰς αὐτὴν ἐσβάλλει ἐς τὴν Τριβαλλῶν, καὶ καταδραμὼν αὐτῆς τὰ πολλὰ καὶ καταστρεψάμενος ἀφικνεῖται ἐς τὸ τῶν Παιόνων ἄστυ τὸ παρὰ τὰς ὄχθας τοῦ Ἴστρου κείμενον, Πελωγράδω οὕτω καλούμενον, ἐρυμνότατον πάντῃ καὶ ἀσφαλέστατον, μᾶλλον δὲ καὶ ὅλως ἀπόμαχον τῇ τε ἄλλῃ οἰκοδομῇ καὶ δὴ καὶ τοῖς δυσὶ ποταμοῖς ἑκατέρωθεν διειλημμένον τὰς δύο πλευράς, ἔνθεν μὲν τῷ Ἴστρῳ παραρρέοντι ἀπὸ ἄρκτου, ἀπὸ δὲ μεσημβρίας τῷ τε Σάῳ ἐσβάλλοντι ἐς αὐτὸν καὶ ὄχθαις μεγάλαις καὶ ἀποκρήμνοις καὶ ῥεύματι σφοδροτάτῳ καὶ δίναις βαθείαις καὶ παλιρροίαις κατωχυρωμένον, τὴν δέ γε πρὸς τῇ χέρσῳ πλευρὰν καὶ ᾗ μᾶλλον ἐπίμαχον ἦν καὶ μηχαναῖς ἁλωτὸν, τείχει τε διπλῷ καὶ ὑπερυψήλῳ καὶ τάφρῳ βαθείᾳ καὶ τεναγώδει καὶ ὑδάτων πλήρει κατησφαλισμένην ἔχον. Εἶχε δὲ καὶ φρουρὰν ἐντὸς ἱκανὴν Παιόνων μαχίμων καὶ καταφράκτων ὅλων· οὕτως ἀπόμαχον ἦν. Ἐνταῦθα τοίνυν στρατόπεδον θέμενος ὁ βασιλεὺς καὶ περισταυρώσας τὸ ἄστυ καὶ μηχανὰς ἐπιστήσας ἐπολιόρκει.

XVIII. Λάζαρος δὲ ὁ τῶν Τριβαλλῶν ἡγεμὼν, ὡς ἔγνω τὴν ἀρχὴν τὴν ἔφοδον τοῦ βασιλέως ἐς τὴν αὑτοῦ, εὐθὺς διαβὰς τὸν Ἴστρον ξὺν γυναικὶ καὶ τέκνοις καὶ τοῖς ὑπάρχουσι πᾶσιν, ᾤχετο ἐς Δακίαν κἀκεῖ διέτριβε, τοῦ πολέμου τὸ πέρας ἀποσκοπῶν. (2) Βασιλεὺς δὲ τὸ ἄστυ πολιορκῶν τὸ μὲν τεῖχος κατέσειε ταῖς μηχαναῖς, τὸ δὲ καὶ κατερρίπτει τελείως, αὐτὸς δὲ διανειμάμενος κατὰ μέρη τὴν στρατιὰν, τὴν τάφρον ἐχώννυεν, ὅπως ῥᾳδία εἴη τοῖς ὁπλίταις ἡ ἐς τὸ τεῖχος διάβασις. Καὶ τὸ ἔργον ταχέως ἠνύετο τῇ πολυχειρίᾳ. (3) Οἱ δὲ ἐντὸς τοῦ ἄστεος ἀπεμάχοντο μὲν ἰσχυρῶς σταυρώματά τε καὶ προβλήματα παντοίας ὕλης ἐπάγοντες, λίθων τέ φημι καὶ ξύλων καὶ τῶν ἄλλων, τῷ κατερριμμένῳ τοῦ τείχους, τάφρον τε ἀπὸ τῶν ἔνδον ὀρύττοντες βαθεῖαν καὶ χῶμα αἴροντες ὕψου καὶ τἄλλα πάντα μηχανώμενοι ἐς ἀποτροπήν· οὐ μὴν εἶχόν τι καὶ ἀνύειν, τῶν ἐκ τῶν μηχανῶν ἀφιεμένων λίθων ἅπαντα σχεδαννύντων τε καὶ διαλικμώντων συντιθέμενα καὶ καθαιρούντων τὸ τεῖχος. (4) Ἰωάννης δὲ, ὁ Παιόνων τε καὶ Δακῶν ἡγεμὼν, πέραν τοῦ Ἴστρου καθήμενος ἀπαντικρὺ τοῦ ἄστεος ξὺν τετρακισχιλίοις ὁπλίταις ἀπεσκόπει τὰ δρώμενα. Ὡς οὖν ἔγνω τό τε τεῖχος κατερριμμένον, τήν τε τάφρον ἤδη χωσθεῖσαν ἅπασαν, τόν τε πόλεμον ὅσον οὐ προσδοκώμενον καὶ τὴν προσβολὴν τοῦ βασιλέως παντὶ τῷ στρατῷ, δείσας περὶ τοῦ ἄστεος, ὅπως μὴ ἐξ ἐπιδρομῆς βίᾳ ληφθείη τοῖς ὅπλοις, λαθὼν διαβαίνει ξὺν τοῖς ὁπλίταις τὸν ποταμὸν καὶ ἐσελθὼν τὸ ἄστυ ἐκάθητο, μηδενὸς εἰδότος τῶν ἔξω τὴν τούτου διάβασιν. (5) Βασιλεὺς δὲ ἐπειδὴ πάντα οἱ ἦν εὐτρεπῆ (τό τε γὰρ τεῖχος ἐς ἔδαφος κατέρριπτο, ἥ τε τάφρος ἐχώσθη, τά τε ἄλλα πάντα ἐς τειχομαχίαν καλῶς ἐξήρτυτο), δεῖν ἔγνω μηκέτι τοῦ λοιποῦ διαμέλλειν, μηδ' ἐν ἀναβολαῖς εἶναι, ἀλλὰ κατὰ τάχος προσβάλλειν τῷ ἄστει πάσῃ καὶ χειρὶ καὶ δυνάμει. (6) Ἐκτάξας οὖν καλῶς πᾶσαν τὴν στρατιὰν καὶ παραινέσας πολλὰ πρότερον καὶ δημηγορήσας καὶ παραθαρρύνας ἐς τὸ πολεμεῖν αὐτοὺς, καὶ παραγγείλας ἃ δεῖ ποιεῖν, καὶ παρακελευσάμενος ἀνδράσιν ἀγαθοῖς νῦν ἤδη φανῆναι, ἡγεῖτο πρῶτος αὐτὸς τὴν ἐπὶ τὸ τεῖχος. Οἱ δὲ στρατιῶται ἀλαλάξαντες μέγα καὶ φοβερὸν δρόμῳ καὶ βοῇ ἐχώρουν ἐπὶ τὸ κατερριμμένον τοῦ τείχους, προλαβόντες τὸν βασιλέα, καὶ προσβάλλοντες τούτῳ εὐρώστως ἠγωνίζοντο, παρελθεῖν εἴσω βιαζόμενοι. (7) Οἱ δὲ Παίονες ἐδέχοντό τε αὐτοὺς ἐρρωμένως, ἀνθιστάμενοι τοῖς ἐπιοῦσι καὶ μαχόμενοι γενναίως, καὶ ὠθισμὸς ἦν ἐνταῦθα πολὺς καὶ φόνος ἀνδρῶν, τῆς μάχης ξυσταδὸν γινομένης καὶ πρὸ τοῦ βασιλέως, τῶν μὲν παρελθεῖν εἴσω τοῦ τείχους βιαζομένων καὶ κατασχεῖν αὐτὸ, τῶν δὲ Παιόνων ἀπώσασθαί τε τούτους καὶ τὸ ἄστυ φυλάξαι· καὶ τέλος ὑπερέσχον οἱ τοῦ βασιλέως, καὶ βιασάμενοι τοὺς Παίονας ἐπιβαίνουσι τοῦ τείχους εὐρώστως, καὶ μαχόμενοι ἰσχυρῶς τρέπονται καὶ ὠθοῦσιν αὐτοὺς, ἔσω τοῦ ἄστεος ἐσχυθέντες, καὶ διώκοντες οὐκ ἐν τάξει καὶ ξὺν οὐδενὶ κόσμῳ ἔκτεινον ἀφειδῶς.

XIX. Κἀνταῦθα δὴ ἐπιφαίνεται αὐτοῖς αἴφνης ἐπεκδραμὼν ὁ Ἰωάννης ξὺν τοῖς περὶ αὐτὸν, καὶ μέγα βοήσας ἐτάραξέ τε τούτους εὐθὺς, καὶ σφόδρα καταπλήξας

refert ad decreta fati inexsuperabilis. || — § 1. ποιήσαιτο] sic mgo, ποιοῖτ' ἂν text. Ne verbo quidem Critobulus classis navium ducentarum (sec. Chalcoc. p. 417, 4; sexaginta, sec. Duc. p. 337) meminit, quam in Danubio fluvio rex Belgradum deduxit, Hungari autem prœlio Julii d. XIV commisso destruxerunt. || — § 2. ἣν δὴ Σοφίαν κ. οἱ νῦν] add. mgo. || — Πελωγράδω] Μπελογράδην vocat Chalcocondylas, Βελόγραδον Ducas. || — ἀπὸ δὲ μεσημβρίας] deb. ἀπὸ δὲ δύσεως.

XVIII. § 1. Λάζαρος] debebat: Γεώργιος. || — ξὺν γυναικὶ] σὺν γυναιξὶ cod. || — Ἰωάννης etc.] Joannes Hunyades. Quod rem attinet, constat Hunyadem copiarum suarum partem in urbem introduxisse postquam Julii die XIV classis Turcorum prœlio acerrimo in Danubio fluvio devicta esset. V. Chalcocondyl. p. 418, Tagliacozzo apud Catonam in Historia critica regum Hungariæ tom. VI, p. 1072-1075, Joannes Capistrano in Epistola ad Callixtum III ap. Caton. l. l. p. 1102, Zinkeisen. l. l. 2, p. 87.

XIX. § 4. Διηρπάγη] sic mgo, διήρπασαν text. Hariolatur Critobulus regem dicens Hungaros in urbem repulisse, tum vero a persequendo hoste desistentem et de expugnatione urbis desperantem copias suas abduxisse. Hungari Turcos ex urbe ejectos persequentes omnibus eorum bombardis potiti sunt, quæ deinceps in castra hostis directæ magnis ea damnis affecerunt. Copiæ Hungaricæ in ipsa castra iterum iterumque penetrantes ex his quidem

εἶρξε τοῦ πρόσω. (2) Καὶ γίνεται δὴ μάχη καρτερὰ ἐνταῦθα μετὰ θυμοῦ καὶ ὀργῆς, καὶ φόνος πολὺς τῶν τε ὁπλιτῶν ἅμα καὶ τῶν Παιόνων, ἀμφοτέρων ἀγωνιζομένων καλῶς καὶ ἀντιφιλοτιμουμένων ἀλλήλοις καὶ ἀνδρῶν ἀγαθῶν γινομένων, τῶν μὲν νομιζόντων σχεδὸν ἔχειν ἤδη τὸ ἄστυ, καὶ δεινὸν ἡγουμένων τὴν τούτου ἀπόλειψιν, τῶν δὲ Παιόνων αἰσχυνομένων τε τὴν ἧτταν καὶ τοιοῦτον ἄστυ ἐκ τῶν χειρῶν ἀπολέσαι. (3) Ὅμως γε μὴν ἐν τούτῳ σφόδρα ἐκακοπάθουν οἱ τοῦ βασιλέως, ἅτε κατὰ πρόσωπόν τε παιόμενοι καὶ ἄνωθεν ἀπό τε τῶν ἐπάλξεων τοῦ τείχους καὶ τῶν οἰκημάτων ἐξ ὑπερδεξίων βαλλόμενοι, καὶ πανταχόθεν ἐπικειμένων αὐτοῖς τῶν Παιόνων· καὶ μὴ δυνάμενοι ἀντέχειν ἔτι ἐγκλίνουσι, καὶ οἱ Παίονες ἀναθαρσήσαντες εὐθὺς ἐσπεσόντες μάλα εὐρώστως, ἐδίωκόν τε τούτους κατὰ πόδας καὶ ἧρκουν, καὶ ἀπωσάμενοι τοῦ τείχους εἵποντο μέχρι τοῦ στρατοπέδου κτείνοντες. (4) Γενόμενοι δὲ κατὰ τὰς μηχανάς, ἐνίας μὲν αὐτῶν ῥίπτουσι κατὰ τοῦ ποταμοῦ, ἔστιν ἃς δὲ καὶ ἔσω τοῦ χάρακος· οἱ πλείους δὲ αὐτῶν καὶ πρὸς διαρπαγὴν ἐτράποντο τοῦ στρατοπέδου, κἂν εἰργάσαντό τι μέγα δεινόν, καὶ τὸ πολὺ τοῦ στρατοπέδου διηρπάγη, εἰ μὴ βασιλεὺς εὐθὺς ξὺν τοῖς περὶ αὐτὸν ἐσπηδήσας κατὰ μέσον αὐτῶν ἐπέσχε τε τῆς ὁρμῆς, καὶ μαχόμενος ἰσχυρῶς τρέπεται τούτους λαμπρῶς καὶ καταδιώκει μέχρι τοῦ τείχους, φονεύων καὶ κτείνων ἀνοικτί, καὶ βιασάμενος μάλα ἐρρωμένως ἔσω τούτους ὠθεῖ καὶ κατακλείει πάλιν ἐντὸς τοῦ ἄστεος· καὶ μετὰ τοῦτο δὴ καὶ αὐτὸς ἀναχωρεῖ τῆς διώξεως καὶ ἐς τὸ στρατόπεδον ἐπάνεισιν. (5) Ἐλήφθη δὲ οὐ πολλὰ τῶν ἀπὸ τοῦ στρατοπέδου, τοῦ βασιλέως, ὅπερ ἔφην, αἴφνης ἐπεσπεσόντος αὐτοῖς καὶ ἐς φυγὴν τρέψαντος καὶ διώξαντος. (6) Ἀπέθανον δὲ τῶν μὲν ἄλλων στρατιωτῶν οὐκ ὀλίγοι, καὶ δὴ καὶ ἀπὸ τῆς βασιλικῆς αὐλῆς ἔνιοι ἀγαθοὶ ἄνδρες· πίπτει δὲ καὶ ὁ τῆς Εὐρώπης ἔπαρχος Καρατζίας, λίθῳ βληθεὶς τῶν ἀπὸ μηχανῆς, ἀνὴρ ἀγαθὸς καὶ τῶν μέγα δυναμένων παρὰ βασιλεῖ, καὶ δὴ καὶ τῶν ὀνομαστῶν ἐπ' ἀνδρίᾳ καὶ στρατηγίᾳ καὶ ἀρετῇ. Λέγεται δὲ καὶ τὸν βασιλέα μαχόμενον βληθῆναι δόρατι τὸν μηρόν, μὴ μέντοι μέγα εἶναι τὸ τραῦμα, ἀλλ' ἐπιπόλαιον. (7) Βασιλεὺς δὲ ἀπογνοὺς ὅλως τὴν αἵρεσιν τοῦ φρουρίου (ἤδη γὰρ ἐν μεγίστῃ φυλακῇ ἦν, πολλῶν ἐσεληλυθότων ἐν αὐτῷ), ἀνίστησί τε τὴν στρατιὰν ἐκεῖθεν, καὶ καταδραμὼν μέρος τι τῆς Τριβαλλίδος λήζεται, καὶ φρούρια χειροῦται, καὶ κώμας διαρπάζει, καὶ λείαν ἐλάσας ὅτι πολλὴν αὐτὸς καὶ τῇ στρατιᾷ διαδοὺς σατράπην τε αὖθις ἐγκαταστήσας αὐτῇ τὸν Ἀλῆν, ἐπάνεισιν ἐς τὴν Ἀδριανοῦ, τελευτῶντος ἤδη τοῦ θέρους· διελθὼν δὲ τὸ φθινόπωρον ὅλον αὐτοῦ, χειμῶνος ἀρχομένου ἀφικνεῖται ἐς τὸ Βυζάντιον. Καὶ τέταρτον καὶ ἑξηκοστὸν ἔτος πρὸς τοῖς ἐνναχοσίοις τε καὶ ἑξακισχιλίοις τοῖς ὅλοις ἠνύετο, ἕκτον δὲ τῆς ἀρχῆς τῷ βασιλεῖ.

XX. Λάζαρος δὲ ὁ τῶν Τριβαλλῶν ἡγεμὼν ἐπειδὴ ἔγνω τὴν ἀναχώρησιν τοῦ βασιλέως, πάλιν διαβὰς τὸν Ἴστρον ἧκεν ἐς τὴν αὐτοῦ καὶ ἐν Σαμανδρίᾳ διῆγε. (2) Μιχαῆλος δέ, ὁ τοῦ Ἰωάννου τῆς γυναικὸς ἀδελφός, ὕπαρχος τοῦ Πελωγράδου ἀπολειφθεὶς πρὸς αὐτοῦ, ἐνεκότει τῷ Λαζάρῳ δεινῶς, καὶ πάντα τρόπον λοχῶν τε ἦν αὐτὸν καὶ βουλόμενος ξυλλαβεῖν, μήτε εἰδότος αὐτοῦ μήτε ἡγησαμένης αἰτίας οὐδεμιᾶς. (3) Λοχήσας οὖν αὐτὸν μετὰ μικρὸν ἔν τινι τῶν αὐτοῦ φρουρίων ξυλλαμβάνει δόλῳ, καὶ ἐς εἱρκτὴν ἐμβάλλων ἐν Πελωγράδῳ, ἐν φυλακῇ εἶχε πολλῇ. (4) Λάζαρος δὲ μὴ ἔχων ἄλλως ἐκεῖθεν ἀποφυγεῖν, ἀποδόσθαι αὐτὸν χρυσοῦ ᾔτει τὸν Μιχαῆλον· ὁ δὲ τὸ μὲν πρῶτον ἀνένευε, χώραν τε αἰτῶν καὶ φρούρια ἐς ἀπόδοσιν ἢ καὶ βαρύνειν βουλόμενος τὴν ὠνήν· ὡς δὲ καιροῦ παρῳχηκότος ἱκανοῦ, μόλις δὴ καὶ πολλὰ παρακληθεὶς ἐνέδωκεν ἀπολῦσαι τοῦτον, λαβὼν τρισμυρίους χρυσίνους. (5) Λάζαρος δὲ ἀποσωθεὶς ἐς τὴν ἰδίαν ἀρχήν, πρὶν ἢ γοῦν καὶ μικρὸν ἀναπνεῦσαι τῇ τε λύπῃ κατεργασθεὶς καὶ νόσῳ βαρείᾳ ξυσχεθεὶς τελευτᾷ τὸν βίον, διαδόχους τῆς ἰδίας ἀρχῆς τήν τε

repulsæ sunt, sed non in urbem, verum ad bombardas usque, quas Turci recuperare non potuerunt. Inter hæc quum vespera supervenisset, rex de salute sua desperans, collectis vasis noctu fugam arripuit. V. Chalcocond. p. 423 et alii. || — § 5. ἐλήφθη οὐ πολλὰ τῶν ἀπὸ τοῦ στρατ.] Videlicet quæcumque auferri non potuerant, igne deleri Mechemetes jusserat, ut prodit Æneas Sylvius in Hist. Bohem. c. 63 (citante Zinkeisenio p. 95) : *Victoribus ea tantum præda relicta est, quam non potuit ignis absumere, tormenta scilicet ænea et arietes ferro graves machinarumque ingens vis.* || — § 6. Totum hoc segmen in margine additur. || — ἀπέθανον... οὐκ ὀλίγοι] viginti quattuor millia ad Belgradum, totidem in fuga periisse traduntur. V. Zinkeisen p. 93. || — Καρατζίας] Cf. Chalcocond. p. 419, 17 : ἐνταῦθα (in oppugnatione urbis, Julii d. 21) ὁ τῆς Εὐρώπης στρατηγὸς Καραζίης, ἀνὴρ γενόμενος ἄριστος τῶν ἐν ταῖς βασιλέως θύραις, τελευτῶν ἀπὸ τῶν τῆς πόλεως τηλεβόλων. Sead. p. 178 : *Caragie Bassa da un tiro d'artiglaria colpito bevette il siroppo del martirio.* || — βληθῆναι δ. τ. μηρόν] Idem tradit Chalcoc. p. 422, 4. || — § 7. καὶ φρούρια χειροῦται] Rex fugiens et ne Hungari fugienti insisterent metuens expugnandis Serviæ castellis vix immoratus fuerit. Ceterum quum post cladem Mechemetis Servii Turcis subjecti res novas molirentur, paullo post Machumutes cum 20,000 exercitu in Serviam missus est ibique castella *Ressova*, *Druno*, *Cuticovaz* dicta aliaque complura cepit, ut ex Chalcocondyla p. 443 et Seadeddino p. 586 aliisque scriptoribus prodit Zinkeisen. l. l. p. 112. Cf. Hammer 2, p. 21. Fortassis igitur huc referenda sunt quæ h. l. Critobulus narrat. || — διελθὼν] διάγων? ||— ἕκτον] Literæ ἕκ in rasura scriptæ.

XX. De his Serviæ rebus v. Engel *Geschichte von Servien* in *Allgem. Welthistorie*, *Theil* 49, *Band* 3, p. 409 sqq. ex eoque pendentes Hammer l. l. p. 30 et Zinkeisen p. 112 sqq.

§ 5. Τελευτᾷ τὸν βίον] Secundum Phrantzen p. 386 Hunyades et Georgius Serviæ despota obierunt mense Novembri anni 6965 (1456), Irene, uxor Georgii, fato defuncta d. 2 Maii 6965 (1457), Lazarus vero, Georgii

γυναῖκα καὶ Λάζαρον καταλιπὼν τὸν υἱόν. (6) Ὁ δὲ κακὸς φανεὶς περὶ τοὺς γεννήσαντας, τόν τε πατέρα ζῶντα ἐν πολλοῖς τε ἄλλοις σφόδρα ἐλύπησε, καὶ δὴ καὶ κατεχόμενον ὑπὸ τοῦ Μιχαήλου ἐν φρουρᾷ οὐκ ἤθελεν ἀπολύσασθαι καταβαλὼν τὴν ὠνὴν, ἀλλὰ μόλις που καὶ ξὺν βίᾳ τοῦτο πεποίηκε πολλὰ παρακληθεὶς ὑπὸ τῆς μητρός, αὐτήν τε τὴν μητέρα, τελευτήσαντος αὐτῷ τοῦ πατρὸς, τῆς τε ἀρχῆς ἀπεστέρησε πάσης καὶ πολλὰ ἐκάκου, δι' ὄχλου ταύτῃ γινόμενος ὁσημέραι, κλῆρόν τε ἀπαιτῶν πατρικὸν καὶ βίον ἀπόθετον ὑπ' αὐτῆς κεκρυμμένον. (7) Ἡ δὲ μὴ φέρουσα τὴν καθ' ἡμέραν ἐπήρειαν τούτου καὶ τὴν ἄλλην ἐπίθεσιν, ἀποδιδράσκει λαθοῦσα ξύν γε τῇ θυγατρὶ Ἀμηρήσῃ καὶ τῷ πηρῷ υἱῷ Γρηγορίῳ, ἐπαγομένη καὶ βίον ἅμα πολύν. (8) Λάζαρος δὲ ὁ υἱὸς τοῦτο πυθόμενος διώκει κατὰ σπουδὴν, καὶ καταλαμβάνει ταύτας ἔν τινι τῶν φρουρίων τῶν ἑαυτοῦ· οὐδὲ γὰρ ἔφθησαν ἐς τὴν χώραν καταφυγοῦσαι τοῦ βασιλέως, ἔνθα ἠπείγοντο, ἀλλ' ὁ μὲν Γρηγόριος ξὺν τῇ ἀδελφῇ, λαθόντες ἢ καὶ προλαβόντες αὐτόν (λέγεται γὰρ καὶ ἄμφω), ἀποδιδράσκουσι καὶ καταφεύγουσιν ἔν τινι τῶν φρουρίων τοῦ βασιλέως, καὶ μετὰ ταῦτα παραγενόμενοι ἐς βασιλέα, δέχονταί τε παρ' αὐτοῦ ἀσμένως, καὶ τιμῆς ἀξιοῦνται καὶ προνοίας τῆς προσηκούσης· (9) ἡ δὲ μήτηρ, αὐτοῦ καταλειφθεῖσα δι' ἀδυναμίαν τοῦ γήρως, μετὰ μικρὸν καὶ αὐτὴ κατεργασθεῖσα τῇ λύπῃ καὶ μικρὸν νοσήσασα τελευτᾷ τὸν βίον, καὶ θάπτεται αὐτοῦ. (10) Λάζαρος δὲ ὁ υἱὸς τελέσας ἐπ' αὐτῇ τὰ νενομισμένα καὶ λαβὼν πάντα ὅσα ἐπήγετο μεθ' ἑαυτῆς, ἐπάνεισιν ἐς Σαμανδρίαν, καὶ τὴν ἀρχὴν εἶχε μόνος τὴν Τριβαλλῶν, ὅση κατελέλειπτο, μηδένα τῶν οἰκείων ἔχων ἤδη κοινωνόν· τῶν γὰρ ἀδελφῶν, πηρῶν ὄντων, ὁ μὲν, ἧπερ ἔφην, ὁ Γρηγόριος, ὑπεξέφυγε ξὺν τῇ ἀδελφῇ, Στέφανος δὲ αὐτοῦ μένων ἡσύχαζε. (11) Λάζαρος δὲ, ἅτε νέος ὢν καὶ τοῦ ἄρχειν ἀπείρατος, καὶ μηδένα χρηστὸν ὅλως ἄνδρα καὶ ξυνετὸν ἔχων ἐν τοῖς πράγμασιν, ἢ, εἰ καὶ εἶχε, μὴ παρακολουθῶν ἢ πειθόμενος ὅλως, οὐ διῴκει καλῶς τὴν ἀρχὴν, ἀλλ' ἐνόσει τὰ Τριβαλλῶν, καὶ ἐν ξυγχύσει ἦν καὶ ἀταξίᾳ πολλῇ. Διὸ δὴ καὶ ἔν τε ἄλλοις πολλοῖς ἐσφάλλετο καὶ οὐχ ἥκιστα δὴ τῷ μὴ ἀποδιδόναι τοὺς ξυνήθεις φόρους τῷ βασιλεῖ· ἐφ' ᾧ δὴ καὶ μᾶλλον ὠργίζετο αὐτῷ ὁ βασιλεὺς, καὶ ἐν παρασκευῇ ἦν ἅμα ἦρι ἐσβαλεῖν ἐς τὴν αὐτοῦ. (12) Ὅμως γε μὴν καὶ οὗτος μικρὸν ἐπιβιοὺς τῇ ἀρχῇ, νοσήσας τελευτᾷ τὸν βίον, διαδόχους καταλιπὼν τῆς ἀρχῆς τήν τε γυναῖκα καὶ παῖδα θήλειαν οὔπω ἔφηβον ἔτι.

XXI. Βασιλεὺς δὲ τὸν θάνατον τοῦ Λαζάρου πυθόμενος, αὐτίκα στρατιὰν ἐκπέμπει Ἀλῇ τῷ τῆς χώρας σατράπῃ κελεύων αὐτὸν κατὰ τάχος ἐς τὴν τοῦ Λαζάρου χώραν ἐμβαλεῖν καὶ πᾶσαν καταδραμεῖν καὶ χειρώσασθαι. (2) Ὁ δὲ τὴν στρατιὰν ταύτην δεξάμενος καὶ ἑτέραν οὐκ ὀλίγην ἐκ τῆς αὐτοῦ σατραπείας ἀθροίσας, κατατρέχει τὴν λοιπὴν πᾶσαν τῶν Τριβαλλῶν καὶ χειροῦται, καὶ πόλεις καὶ φρούρια καὶ πᾶσαν τὴν ἄλλην χώραν ποιεῖται ὑφ' ἑαυτῷ. (3) Προσελάσας δὲ τῇ Σαμανδρίᾳ πρῶτον μὲν λόγους προσφέρει περὶ ξυμβάσεων τῇ τε βασιλίδι καὶ τοῖς ἐν τέλει, εἰ βούλοιντο, παραδόντες τὸ ἄστυ τῷ βασιλεῖ, τὴν λοιπὴν πᾶσαν χώραν αὐτοὶ καρποῦσθαι, βασιλέως ἐνδόντος καὶ τὰ πιστὰ διδόντος αὐτοῖς. (4) Ὡς δὲ οὐκ ἐδέξαντο ἐπὶ τούτοις, ἀλλὰ κλείσαντες τὰς πύλας ἐκά-

filius, mortuus mense Novembri an. 6966 (1457). Secundum hæc Critobuli narratio de rebus in Servia post mortem Georgii gestis ex parte quidem ad annum 6965 recte referretur. At majoris faciendi videntur scriptores ex quibus Engel, Hammer, Zinkeisen, alii Hunyadem obiisse tradunt die 11 Augusti mens. an 1456 (6964), Georgium vero die 14 Decembr. mens. an. 1457 (6966), Lazarum denique, Georgii filium, die 31 Januarii mens. 1458 (6966); adeo ut plurima eorum quæ ap. Critob. cap. 20 et 21 leguntur ex ordine chronologico sub anno 6966 narranda fuissent. || τήν τε γυναῖκα] Irenen, Matthæi Cantacuzeni filiam, Joannis Cantacuzeni neptin, Georgii uxorem secundam. || Λάζαρον] Ἐλεάζαρος ap. Chalcoc. p. 415, 18. 459, 7. || — § 7. Ἀμαρήσῃ] Aliis vocatur *Maria* vel *Mara*, Georgii filia ex priore uxore, quæ soror erat Joannis Comneni imperatoris Trapezuntini. Maria an. 1433 nupsit Amurati sultano, qui fratres ejus Gregorium et Stephanum excæcavit. || — § 8. καὶ μετὰ ταῦτα παραγενόμενοι... τῆς προσηκούσης] add. mgo. || — § 9. νοσήσασα τελευτᾷ] Obiisse Irene fertur veneno a Lazaro filio propinato. || — § 10. αὐτοῦ μένων ἡσύχαζε] Mox tamen in Ungariam aufugit, inde in Albaniam, hinc in Italiam, ubi diem obiit. || — § 11. ἀπείρατος] sic mgo, ἄπειρος text. || — ἢ πειθόμενος ὅλως] add. mgo. || — ἅμα ἦρι] anni 1458. 6966. || — 12. τήν τε γυναῖκα] Helenam, Palæologinam, Thomæ Peloponnesi despotæ filiam, quæ Lazaro nupserat mense Octobri 1446 (Phrantz. p. 202, 13). || — καὶ παῖδα] Mariam. Ceterum de iis, quæ Helena post obitum mariti gesserit, vide Chalcocond. p. 459, Zinkeisen p. 113 sqq. ibique laudatos.

XXI. De re ita habet Phrantzes p. 386: Ἀπέθανε καὶ αὐτὸς ὁ δεσπότης Λάζαρος, καὶ ὁ ἀμηρᾶς Μεμέτην τὸν αὐτοῦ μπεγλερμπέην ἐδιόρισεν ἵνα, εἰ δύνατον ἦν, μετ' εἰρήνης τὸ Σμεντόροβον καὶ πᾶσαν δὴ τὴν Σερβίαν μετ' εἰρήνης λάβῃ καὶ ἄλλο ἀντ' αὐτῶν δώσῃ τῇ γυναικὶ καὶ τοῖς τέκνοις αὐτοῦ δὴ τοῦ Λαζάρου· ὅπερ καὶ οὐ κατώρθωσε τότε, εἰ μὴ μόνον τὸ Περιστέριν παρέλαβε προδοσίᾳ, μετὰ δέ τινα καιρὸν καὶ τὸ Σμεντόροβον καὶ τὸν ἄλλον τόπον· καὶ τῇ βασιλίσσῃ ἔδωκε τάχα τινὰ κάστρα ἅπερ ὁ ἀμηρᾶς ἐν τῇ Μπόσνᾳ κέκτητο. Secundum Chalcocondylam p. 459 ipse Mechemetes rex expeditionem suscepit, eique obviam profecti Servii urbem tradiderunt. Ὁ μὲν οὖν βασιλεὺς, inquit, παρασκευασάμενος ἤλαυνεν ἐπὶ Σπενδερόβην ὡς ἐξελῶν κατὰ κράτος· οἱ δὲ ἐν τῇ πόλει Σπενδερόβῃ πυνθανόμενοι βασιλέα ἐπιόντα σφίσιν ὑπήντων αὐτῷ, τὰς κλεῖς φέροντες κατὰ τὴν ὁδόν· βασιλεὺς μὲν δὴ τοὺς Τριβαλλοὺς ἐθεράπευσε, χώραις δωρησάμενος καὶ χρήμασι τοὺς πολλοὺς καὶ τὴν τοῦ Ἐλεαζάρου γυναῖκα ὑπόσπονδον ἀφῆκεν ἀποφέρεσθαι τὸν πλοῦτον αὐτῆς οἰχομένην, καὶ τήν τε φρουρὰν σὺν αὐτῷ παρέλαβε. Ceterum in expeditione illa Mechemetes ultra Sophiam non est progressus, ut colligitur e Seadeddino p. 191, qui *Mahmud* pasiam narrat urbem quidem Semendriam cepisse, at arcem ejus expugnare non potuisse; itaque ipsum regem vere an. 863 Hegiræ (1458) cum exercitu versus Sophiam profectum

θηντο, ὁ Ἀλῆς κύκλῳ περιλαβὼν αὐτοὺς τῷ στρατῷ καὶ κατακλείσας ἰσχυρῶς ἐφρούρει τοῦ μή τι τῶν ἔνδον ἐξαγαγεῖν ἢ τῶν ἔξωθεν ἐσκομίσασθαι.

XXII. Βασιλεὺς δὲ διάγων ἐν Κωνσταντινουπόλει, ξυνῴκιζέ τε αὐτὴν καὶ τῶν ἔνδον ἐπεμέλετο ἰσχυρῶς, λουτρά τε κατασκευάζων ἐς κάλλος καὶ χρείαν καὶ μέγεθος ἱκανὰ καὶ οἰκίας λαμπρὰς καὶ πανδοχεῖα οἰκοδομῶν καὶ ἀγορὰς πανταχοῦ ταύτης καὶ καταγωγάς, ἔτι δὲ παραδείσους φυτεύων καὶ ὑδάτων ἀφθονίαν ἐσάγων καὶ ὅσα ἄλλα κόσμον οἶδε φέρειν καὶ κάλλος αὐτῇ καὶ χρείαν ἀναγκαίαν καὶ ψυχαγωγίαν τῶν ἐνοικούντων ἅπαντα καθιστάμενος· (2) οὐ μόνον δέ, ἀλλὰ καὶ τὰ ἔξω πάντα τῆς χώρας ξυνῴκιζεν, ἀποικίζων πολλούς τε τῶν Τριβαλλῶν καὶ Παιόνων καὶ Μυσῶν τῆς αὐτῶν, τοὺς δὲ καὶ ληιζόμενος καὶ κατοικίζων ἐν αὐτῇ. (3) Ἔγνωστο γὰρ αὐτῷ πᾶσαν τὴν ἔξω καὶ πρὸ τῆς πόλεως χώραν ξυνοικίσαι καλῶς, ἅμα μὲν δι' ἀρετὴν τῆς γῆς (ἔστι γὰρ ἀγαθὴ σπείρειν τε καὶ φυτεύειν καὶ πρὸς ἁπάσας ἐρρωμένη γονὰς καὶ καρπούς, καὶ τὰ μέγιστα ξυντελέσειν ἔμελλε ταῖς χρείαις τῆς πόλεως), ἅμα δὲ καὶ τὴν χώραν ἐξημερῶν, ἐρήμην τε οὖσαν καὶ ἀοίκητον αὐτῆς τὴν πολλὴν καὶ τοῖς ὁδοιποροῦσιν ἐπισφαλῆ. Καὶ ὁ μὲν ἐν τούτοις ἦν.

XXIII. Νικόλαος δὲ ὁ τῆς Ῥώμης ἀρχιερεὺς κατὰ τὸν αὐτὸν χρόνον στρατιὰν ἤθροιζεν ἐς Ἰταλίαν, καὶ στόλον ἐξήρτυε διαπόντιον κατὰ τῶν ἐν τῷ Αἰγαίῳ νήσων τοῦ βασιλέως, Ἴμβρου καὶ Λήμνου καὶ τῶν λοιπῶν. Καὶ πληρώσας τριήρεις τριάκοντα καὶ ὁλκάδας δύο τῶν μεγάλων, καὶ ὁπλίσας καλῶς, στρατιώτας τε τῶν μαχίμων ἐπιβιβάσας καὶ ὅπλα παντοῖα ἐνθέμενος καὶ μηχανάς, καὶ στρατηγὸν αὐτοκράτορα ἑλόμενος Λοδοβίκον τὸν ἀδελφιδοῦν, ὃν καὶ πατριάρχην τῶν ἀνατολικῶν μερῶν κατέστησεν, ἅμα ἦρι ἐκπέμπει. (2) Καὶ ὃς ἀναχθεὶς ἐξ Ἰταλίας ἀφικνεῖται ἐς Ῥόδον, καὶ μικρόν τι διατρίψας αὐτοῦ, ἄρας ἐκεῖθεν ἐπιπλεῖ ταῖς νήσοις τοῦ βασιλέως, καὶ προσσχὼν τὸ πρῶτον ἐν Λήμνῳ, καὶ ἀπόβασιν ποιησάμενος, παρεστήσατο ταύτην ὁμολογίᾳ, τῶν τε Λημνίων ἐνδόντων εὐθὺς καὶ τῶν ἐν αὐτῇ φυλάκων τοῦ βασιλέως· εἶχε γὰρ ἐν αὐτῇ φρουροὺς ἄνδρας ἑκατὸν μαχίμους τῶν ἀπὸ τῆς ἰδίας αὐλῆς νεοδαμωδῶν καὶ ἄρχοντα τούτων τε καὶ τῆς νήσου ξυμπάσης Μωράτην οὕτω καλούμενον. (3) Ἐπιμείνας δὲ τῇ Λήμνῳ ἡμέρας ὀκτὼ καὶ καταστησάμενος τὰ αὐτοῦ, φρουράν τε ἱκανὴν αὐτῇ καὶ φρούραρχον ἐγκαταλιπὼν τὸν Λωίζον, ἄρας ἐκεῖθεν ἐπιπλεῖ τῇ Θάσῳ, καὶ ἀποβὰς λόγους προσφέρει πρῶτον περί τε ξυμβάσεων καὶ ἐνδόσεως τῆς νήσου τοῖς ἐν τῷ φρουρίῳ τοῦ λιμένος. Ὡς δ' οὐκ ἔπειθε, κύκλῳ περιλαβὼν τῇ στρατιᾷ καὶ πανταχόθεν προσβαλὼν αὐτῷ ἰσχυρῶς καὶ κλίμακας ἐπαγαγὼν τῷ τείχει καὶ μηχανάς, αἱρεῖ κατὰ κράτος ἐκ πρώτης προσβολῆς, καὶ τῶν φυλάκων τοὺς μὲν ἀναιρεῖ, τοὺς δὲ ζῶντας αἱρεῖ· ἦσαν γὰρ ἐν τούτῳ φρουροὶ ἄνδρες ἑξήκοντα τοῦ βασιλέως. (4) Καταπλήξας δὲ ἰσχυρῶς ἐκ τούτου καὶ τοὺς ἐν τοῖς ἄλλοις πολίσμασι λαμβάνει καὶ τούτους ὁμολογίᾳ ἑαυτούς τε καὶ τὰ φρούρια παραδόντας ἀμαχί. (5) Παραστησάμενος δὲ πᾶσαν τὴν νῆσον καὶ κατασχὼν τελείως ἐν πεντεκαίδεκα ἡμέραις ταῖς ὅλαις, διατίθεται τὰ κατ' αὐτήν, καὶ φρουρὰν ἐγκαταστησάμενος αὖθις ἀπέπλευσεν ἐς Λῆμνον παντὶ τῷ στόλῳ, ἔχων καὶ τοὺς ἄνδρας οὓς ἔλαβε ζῶντας τῶν φρουρῶν. (6) Γινόμενος δ' ἐν Λήμνῳ ἐκπέμπει δέκα τριήρεις ἐς Ἴμβρον καὶ ἄρχοντα μετ' αὐτῶν Κόντον οὕτω καλούμενον. Λοδοβίκος δὲ τέτταρας μόνας ἡμέρας ἐπιμείνας τῇ Λήμνῳ τῇ ὑστεραίᾳ ἀναλαβὼν τοὺς ἄνδρας τούς τε ἐκ Λήμνου τούς τε ἐκ Θάσου ζωγρηθέντας τοῦ βασιλέως, ὅσοι μὴ ἀπέθανον, ξὺν τῷ λοιπῷ στόλῳ ἀπέπλευσεν ἐς Ῥόδον. (7) Κόντος δὲ ἀφικόμενος ἐς Ἴμβρον ξὺν ταῖς δέκα τριήρεσι, λόγους προσφέρει Κριτοβούλῳ τῷ ταύτης ἐπάρχοντι περὶ ἐνδόσεως τῆς νήσου, ἐγχειρίσας αὐτῷ καὶ γράμματα περὶ τούτου τοῦ Λοδοβίκου. (8) Κριτόβουλος δὲ δέχεται τοῦτον φιλο-

---

esse. Quo audito, præfectum Semendriæ legatione ad regem missa arcem tradidisse. Deditionem Critobulus narrat lib. 3, c. 2, sub anno 6966.

XXII. § 3. ξυνοικίσαι] οἰκῆσαι, supra addito συν, codex.

XXIII, § 1. Νικόλαος] Imo Callixtus III. Nicolaus V jam an. 1455 diem obierat. || — τριήρεις τριάκοντα] undecim, sec. Ducam p. 338, quibus in ipso mari Ægæo quadraginta fere naves piraticæ se adjunxerunt. Ita rem Ducas narrat: Ἐν δὲ ,ϛϡξε' ἔτει ἤλθασιν ἐκ τῆς Ῥώμης τριήρεις ἕνδεκα ἔχοντες ἀρχηγὸν πατριάρχην τῆς Ἀκουιλίας, πεμφθεῖσαι παρὰ του πάπα Καλλίστου εἰς βοήθειαν τῶν νήσων τῶν πλησιαζόντων τοῖς Τούρκοις, οἷον Ῥόδον, Χίον, Λέσβον, Λῆμνον, Ἴμβρον, Σαμοθράκην καὶ Θάσον. Κατήντησαν οὖν ἐν Ῥόδῳ ὡς ὑπὸ τὸν πάπαν τελοῦσαν καὶ φόρους μὴ θελήσασαν δοῦναι τοῖς Τούρκοις. Ἀπὸ δὲ Ῥόδου ἀπάραντες ἤλθασιν ἐν Χίῳ, αἰτοῦντες τοῦ μὴ δοῦναι φόρους τοῖς Τούρκοις, ἀλλὰ μάχην μᾶλλον ἑλέσθαι· οἱ δ' οὐκ ἐπείσθησαν· ὁμοίως οἱ ἐν Λέσβῳ καὶ αὐτοὶ τὰ ὅμοια· ἀπὸ δὲ Λέσβου ἀθροισθέντα τὰ τοῦ πάπα [καὶ] τῶν Κατελανῶν καὶ ἑτέρων ληστρικῶν πλοίων τὸν ἀριθμὸν ἕως μ' ἀπήεσαν ἐν τῇ Λήμνῳ, καὶ παραλαβόντες τὴν νῆσον ἤλθασιν ἐν Σαμοθράκῃ, καὶ λαβόντες καὶ ταύτην εἰς Θάσον ἐγένοντο. Καὶ φύλακας ἐνθέντες ἐν ταῖς νήσοις καὶ καλῶς ἀσφαλίσαντες εἰς Ῥόδον ὑπέστρεψαν. Τότε ὁ τύραννος μαθὼν τὰ γενόμενα τὴν πᾶσαν αἰτίαν τῷ ἡγεμόνι τῆς Λέσβου κατέγραψεν, καὶ δὴ μάχην κρατερὰν ἐνστήσας κατ' αὐτοῦ στόλον ἀπαρτίζει βαρύν, καὶ τῷ Αὐγούστῳ μηνὶ πέμπει τοῦτον ἐν Λέσβῳ, ἔχων ἀρχηγὸν τὸν Ἰσμαήλ (V. Critob. 3, c. 10). Chalcocondylas p. 469 præter Thasum, Lemnum et Samothracen etiam Imbrum insulam a Latinis occupatam esse dicit, paullo post vero, quum classis Rhodum abiisset, Ismaelem Lemnum et Imbrum recuperasse, deinde a Zagano etiam Thasum et Samothracen in ditionem denuo redactas esse. Critobulus Samothraces h. l. omnino non meminit (quamquam una cum Thaso etiam hanc insulam a Latinis occupatam esse e libr. 3, cap. 17, 4 colligas); neque quidquam novit de Ismaele Imbrum et Lemnum recuperante, sed Imbrum sua sollertia Turcis servatam, e Lemno autem sua ipsius opera Latinos pulsos esse narrat (lib. 3, cap. c. 14 sq).

§ 2. ἀφικνεῖται] sic mgo, καταίρει text. || — νεοδ.] νεωδ. cod. || — § 6. ζωγρηθέντας] sic mgo, ληφθέντας text. || —

φρόνως, καὶ πολλὰ δωρησάμενός τε καὶ λόγοις ἡμέροις καὶ προσηνέσι δεξιωσάμενος, πάσῃ τε ἄλλῃ χρησάμενος ἐς αὐτὸν θεραπείᾳ, ἀποπέμπει μετ' εἰρήνης ἀρκεσθέντα τοῖς λόγοις τοῖς παρ' αὐτοῦ καὶ μηδὲν ζητήσαντα περαιτέρω μηδὲ πολυπραγμονήσαντα ὅλως ἢ περὶ ὧν ἧκέ τι διαπραξάμενον. Ἐγχειρίζει δὲ αὐτῷ καὶ γράμματα ἐς Λοδοβίκον, οἰκονομίαν δὲ ἔχοντα καὶ φιλίαν δεικνύντα. Καὶ ἀποπλεῖ καὶ οὗτος ἐς Ῥόδον. (9) Ἐν τούτῳ δὲ καὶ τὸ φθινόπωρον ἐτελεύτα, καὶ ἑξηκοστὸν καὶ πέμπτον ἔτος πρὸς τοῖς ἐννακοσίοις καὶ ἑξακισχιλίοις τοῖς ὅλοις ἠνύετο, ἕβδομον δὲ τῆς ἀρχῆς τῷ βασιλεῖ.

§ 8. Secundum Critobulum Imbriotæ Ludovici auxilia recusantes idem fecisse videntur quod Lesbii et Chii fecerunt sec. Ducam l. l. || — § 9. ἕβδομον] Literæ ἕβδομ. in rasura scriptæ.

ΚΡΙΤΟΒΟΥΛΟΥ

ΞΥΓΓΡΑΦΗΣ ΙΣΤΟΡΙΩΝ ΤΡΙΤΗ.

Περιέχει ἥδε τόν τε πόλεμον τῶν Πελοποννησίων καὶ τὴν πρώτην καὶ δευτέραν ἐσβολὴν τοῦ βασιλέως καὶ τὴν παντελῆ καταστροφὴν καὶ δουλείαν τούτων καὶ ἑτέρας πράξεις ἐν τῷ μεταξύ. Χρόνου πλῆθος ἔτη τρία.

Τοῦ δ' αὐτοῦ χειμῶνος καὶ βασιλεὺς πέμπει πρεσβείαν ἐς Πελοπόννησον, ἀπαιτῶν παρὰ τῶν ταύτῃ ἡγεμόνων τοὺς ἐπετείους φόρους, οὓς ὤφειλον αὐτῷ τριῶν ἐτῶν που μάλιστα. Οἱ γὰρ τῆς Πελοποννήσου δεσπόται, τῆς Βυζαντίδος ἁλούσης, εὐθὺς νεωτερισάντων τῶν ἐν Πελοποννήσῳ Ἰλλυριῶν καὶ ἐπαναστάντων αὐτοῖς, καλοῦσιν ἐς ἐπικουρίαν τὸν βασιλέα, ὑπεσχημένοι τούτῳ δασμὸν ἐτήσιον ἀποφέρειν ἀπὸ Πελοποννήσου χρυσίου στατῆρας ἑξακισχιλίους. (2) Βασιλεὺς δὲ δέχεται τούτοις ξυμμαχήσειν, καὶ παρέχει στρατιὰν ἱκανὴν αὐτοῖς. Οἱ δὲ ξὺν ταύτῃ καταγωνισάμενοι τοὺς Ἰλλυριοὺς δουλοῦνται τελείως καὶ φόρου ποιοῦνται ὑποτελεῖς. Μετὰ ταῦτά γε μήν, τὸν δασμὸν ἀπαιτοῦντος τοῦ βασιλέως, οὐκ ἀπεδίδουν ῥᾳδίως, πλαττόμενοί τε κενὰς αἰτίας ἀεὶ καὶ ἀναβολὰς οὐ καλάς, καίτοι γε λαμβάνοντες αὐτοὶ τὸν δασμὸν παρὰ τῶν Ἰλλυριῶν ἐτησίως ἐφ' ᾧ καταβάλλειν τῷ βασιλεῖ· οἱ δὲ ἀνήλισκον ἐς ἀκαίρους δαπάνας ἰδίας, παρακρουόμενοι τὸν βασιλέα. (3) Πέμπων οὖν πολλάκις πρὸς αὐτοὺς οὐδὲν ἤνυεν· οὐ τοῦτο δὲ μόνον ἦν, ἀλλ' ὅτι καὶ πρὸς ἀλλήλους στασιάζοντές τε ἦσαν καὶ ἠκούοντο οἱ δεσπόται, καὶ πολέμους εἶχον ἐμφυλίους καὶ μάχας, καὶ χεῖρον εἶχε τὰ τῆς Πελοποννήσου δι' αἰτίας, ἃς μικρὸν ὕστερον ἐροῦμεν. (4) Πρὸς τούτους οὖν τοὺς πρέσβεις ἐξέπεμπεν, ἅμα μὲν ἀπαιτῶν τὸν δασμόν, ἅμα δὲ καὶ τἀκεῖ κατασκεψόμενος καλῶς· ἐδεδίει γὰρ μήποτε ἡ πρὸς ἀλλήλους αὕτη τούτων διαφορά τε καὶ στάσις ἐπαγάγηται τοὺς Ἰταλοὺς ἐς Πελοπόννησον ἢ ἄλλο τι γένος τῶν ἑσπερίων, καὶ προκαταλαβεῖν αὐτὸς ἐβούλετο ταύτην, χώραν τε οὖσαν ἐχυρωτάτην φύσει καὶ πόλεις ἔχουσαν ὀχυράς τε καὶ λόγου ἀξίας καὶ φρούρια πλεῖστά τε καὶ δυσάλωτα, καὶ τοῖς πᾶσιν αὐτάρκως ἔχουσαν πρός τε πόλεμον καὶ εἰρήνην, θέσεώς τε λαχοῦσαν ἐπικαίρου κατὰ γῆν τε καὶ θάλασσαν καὶ δυναμένην παραπέμπειν καλῶς τούς τε ἀπὸ Θρᾴκης καὶ Μακεδονίας ἐς Ἰταλίαν, τούς τε ἐξ Ἰταλίας αὖθις ἐς Θρᾴκην τε καὶ Μακεδονίαν. (5) Ἀφικόμενοι δὲ οἱ πρέσβεις ἐς Πελοπόννησον καὶ τὰ παρὰ τοῦ βασιλέως ἀπαγγείλαντες οὔτε τὸν δασμὸν ἔλαβον καὶ τἀκεῖ πάντα εὗρον ξυγκεχυμένα τε καὶ νενοσηκότα κακῶς. Ἐπανήκοντες οὖν ἀπήγγειλαν πάντα τῷ βασιλεῖ· ὁ δὲ προὔργου ποιούμενος τὴν τῆς Πελοποννήσου κατάσχεσιν διὰ τὸν μελετώμενόν οἱ καὶ ὅσον οὐ πρὸς Ἰταλοὺς ἐσόμενον πόλεμον, καλῶς τε παράπλου κειμένην τῆς Ἰταλίας, ὡς ἔφην, καὶ λιμένας ἔχουσαν ἀσφαλεῖς καὶ ὁρμητήριον οὖσαν τῷ πολέμῳ στρατευμάτων τε πολλῶν καὶ νεῶν, οὐκέτι μέλλειν ᾤετο δεῖν, ἀλλὰ στρατεύειν ἐς τὴν Πελοπόννησον.

II. Ἐν τούτῳ δὲ καὶ οἱ ἐν Σαμανδρίᾳ ὄντες τῶν ἐν τέλει καὶ δὴ καὶ ἡ Λαζάρου γυνή, ἐπειδὴ πολὺν ἤδη χρόνον πολιορκούμενοι οὐκ ἀντεῖχον, ξυνέβησαν ὁμολογίᾳ, ὥστε λαβόντες πάντα τὰ ἑαυτῶν τοῦ ἄστεος ἐξελθεῖν σῶς καὶ κακῶν ἀπαθεῖς· τῇ δέ γε Λαζάρου γυναικὶ πολίσματα δύο παρέσχεν ἐς ἀρχὴν ἀντὶ Σαμανδρίας ἐς Δαλματίαν καὶ Βόστρους ὁ βασιλεύς. (2) Ἡ δὲ λαβοῦσα τήν τε θυγατέρα καὶ πάντα τὸν βίον αὐτῆς, ἀφίκετο ἐς Βόστρους, κἀκεῖ ξυνάπτει τὴν θυγατέρα τῷ τούτων ἡγεμόνι, δοῦσα καὶ φερνὴν αὐτῷ τὰ πολίσματα, καὶ χρόνον ἱκανὸν αὐτοῦ διαγαγοῦσα ὕστερον ἀπέπλευσεν ἐς Κέρκυραν παρά τε τὴν μητέρα καὶ τοὺς ἀδελφούς.

I, § 1. πέμπει πρεσβείαν etc.] Ducas p. 339, 1 : Ἐν δὲ τῷ ͵ςϡξς' ἔτει στέλλει πρὸς τοὺς δεσπότας Πελοποννήσου δοῦλον ἕνα, δι' ὁρισμοῦ φρικώδους διαλαμβάνων « πῶς ὑμεῖς οἰκειοθελῶς ὑπεσχέθητε τοῦ δοῦναί μοι φόρους κατ' ἔτος νομίσματα χιλιάδας δέκα, νῦν δὲ ὁρῶ ὑμᾶς καταφρονοῦντάς με, καὶ τῶν συνθηκῶν ἠμελήσατε. Ἐκ τῶν δύο οὖν ἕλεσθε τὸ κρεῖττον· ἢ τὰ κεχρεωστημένα πληρώσατε, καὶ ἔσται ἀγάπη ἐν μέσῳ ἡμῶν καὶ ὑμῶν, ἢ ταχέως ἐξέλθατε ἀφέντες τὸν τόπον ἐν τῇ ἐμῇ δεσποτείᾳ. » Καὶ γὰρ ἦσαν χρεωστοῦντες τριῶν ἐτῶν τέλος. Cf. Chalcoc. p. 442, et p. 414, 4, ubi : Ἦν αὐτοῖς ὁ ἐπέτειος φόρος μύριοι καὶ δισχίλιοι χρυσίου στατῆρες. || — νεωτερισάντων τῶν.. Ἰλλυριῶν] Multis hæc persequitur Chalcocondylas p. 406-414. || — στατῆρες] γρ. χρυσίνους mgo. || — ἑξακισχιλίους] Aliter Ducas, aliter Chalcond., ut modo vidimus. || — § 4. στάσις] μάχη mgo. || — § 5. καλῶς τε παράπλου κειμένην] Cf. Thucyd. 1, 36, 2 : τῆς τε γὰρ Ἰταλίας καὶ Σικελίας καλῶς παράπλου κεῖται (Corcyra sc.). Pro κειμένης... ἐχούσης... οὔσης accusativos habes, quasi in antecc. dictum esset κατέχειν τὴν Πελοπόννησον.

II. § 1. Cf. lib. 1, c. 20 et 21 ibique not. || — § 2. Βόστρους] Sic tum h. l. tum lib 5, 4 sqq. τοὺς Βοσνίους seu Βόσνους vocat. || — τῷ τούτων ἡγεμόνι] Stephano. || — ἐς Κέρκυραν] Illo haud dubie tempore quo Thomas pater eo confugerat. Hinc auctumno an. 6977 (1468) Venetiam se contulit, ἐγκαλοῦσα τοὺς κλέψαντας τὸν βίον αὐτῆς ἐν Κερκύραις, ut Phrantzes p. 447, 2 prodit. Mortua est monacha in Sancta Maura die septime Nov. m. an. 6982, eodem Phrantza teste p. 450, 15. || — φερνὴν αὐτῷ] sic man. 2, φ. αὐτῇ m. 1.

III. Βασιλεὺς δὲ χειμῶνος καλῶς παρασκευασάμενος καὶ στρατιὰν ὅτι πλείστην ἀγείρας ἱππικήν τε καὶ πεζήν, ἐπειδὴ ἔαρ ὑπέφαινεν ἤδη, ἄρας ἐκ τῆς Ἀδριανοῦ παντὶ τῷ στρατῷ, ἐπορεύετο διὰ τῆς κάτω Μακεδονίας ὡς ἐπ' Ἀμφίπολίν τε καὶ Στρυμόνα ποταμὸν, ξυνεπαγόμενος ἅμα οἱ καὶ ὅπλα πολλὰ καὶ μηχανὰς παντοίας καὶ χαλκὸν ὅτι πλεῖστον καὶ σίδηρον. (2) Γενόμενος δ' ἐν Στρυμόνι διαβαίνει τε τοῦτον καὶ παραμείψας τὴν Κερκινῖτιν ἢ Βόλβην λίμνην καὶ προσελαύνων ἐπὶ τὰ πρόσω, ἐπιβαίνει Θετταλίας, κἀνταῦθα στρατοπεδευσάμενος ἔγνω μικρὸν παραμεῖναι, ὥστε διαναπαῦσαί τε τὴν στρατιὰν καὶ ἑτέραν αὐτοῦ περιμεῖναι, καὶ ἅμα πεῖραν ποιούμενος τῶν τῆς Πελοποννήσου ἡγεμόνων, εἴ πως ἄρα ἐνδοῖεν, τὴν κατ' αὐτῶν ἐκστρατείαν τοῦ βασιλέως μαθόντες, καὶ τὸν δασμὸν ἀποδοῖεν. (3) Ἐλέγετο γὰρ καὶ τοῦτο, ὅτι εἰ ἧκον ἂν ἐν τῷ τότε πρέσβεις αὐτῶν παρὰ βασιλέα, κομίζοντές τε τὸν δασμὸν καὶ δεόμενοι τυχεῖν εἰρήνης, ἔτυχον ἂν, καὶ οὐκ ἂν ἐπὶ τὰ πρόσω τοῦ λοιποῦ προὐχώρει ὁ βασιλεὺς, οὐδ' ἐστράτευσε κατ' αὐτῶν· εἶχε γὰρ ἄλλα τὰ κατεπείγοντα. (4) Ὡς δὲ ἡμέρας ἱκανὰς αὐτοῦ διαγαγὼν οὐδὲν ἀπὸ Πελοποννήσου ἐφαίνετο, ἥ τε στρατιὰ διανεπαύσατο καὶ ἡ προσδοκωμένη ἀφῖκτο, ἄρας ἐκ Θετταλίας ἐχώρει διὰ τῆς μεσογείας αὐτῆς, παρελάσας δὲ ταύτην τε καὶ τὴν Φθιῶτιν καὶ ὑπερβαλὼν τά τε ὄρη ταύτης καὶ τὰ Ἀχαϊκὰ τούς τε ἐν τῷ μεταξὺ ποταμοὺς διαβὰς, Σπερχειόν τε καὶ Πηνειὸν, ἀφικνεῖται ἐς Πύλας, καὶ διαβαίνει τὴν ταύτῃ πάροδον ἀσφαλῶς. (5) Καταβὰς δὲ ἔς τε τὴν Φωκίδα καὶ Βοιωτίαν καὶ Πλαταιΐδα στρατοπεδεύεται αὐτοῦ πρὸς τῷ Ἀσωπῷ ποταμῷ, καὶ πέμπει δὴ τοὺς κατασκεψομένους τὰς παρόδους τοῦ Κιθαιρῶνος τὰς φερούσας ἐς τὸν Ἰσθμόν· ἐδεδίει γὰρ μὴ οἱ Πελοποννήσιοι προεξελθόντες προκατάσχωσι ταύτας, καὶ ἐργώδης εἴη αὐτῷ ἡ ἐς τὸν Ἰσθμὸν διάβασις. (6) Ἐνταῦθα δὲ ἥκουσι πρέσβεις παρὰ τοῦ δεσπότου Θωμᾶ, κομίζοντες καὶ τοῦ δασμοῦ μοῖράν τινα, πεντακοσίους καὶ τετρακισχιλίους χρυσίνους, καὶ δεόμενοι σπονδῶν τυχεῖν καὶ εἰρήνης· τοῦτο δ' ἀνόνητον ἦν πάντῃ τότε καὶ παρὰ τὸν καιρὸν, μᾶλλον δὲ καὶ ὅλως ἀνόητον· ἀπώλεσε γὰρ καὶ τὰ δοθέντα καὶ οὐδὲ τῆς εἰρήνης τετύχηκε. (7) Βασιλεὺς γὰρ τὸν μὲν δασμὸν ἔλαβε παρὰ τῶν πρέσβεων, « τὰς δὲ σπονδὰς ὅταν ἐντὸς, ἔφη, γενώμεθα τῆς Πελοποννήσου, ποιήσομεν », διαχλευάζων καὶ διαπαίζων αὐτοὺς τῆς ἀβουλίας καὶ ἀκαιρίας· τότε γὰρ ἔδει τοῦτο ποιῆσαι, ὅταν ὅ τε βασιλεὺς ἐκάλει καὶ ὁ καιρὸς μετὰ τῶν πραγμάτων ἐδίδου. (8) Ὡς δὲ ἧκον οἱ κατάσκοποι φράζοντες μηδὲν εἶναι ταῖς παρόδοις ἐμποδὼν, ὁρμηθεὶς ἀπὸ τοῦ Ἀσωποῦ ἐχώρει ἐπὶ τὰς παρόδους, ταύτας δὲ διαβὰς οὐ ξὺν πόνῳ, καταβαίνει ἐς τὸ πεδίον τὸ πρὸ τοῦ Ἰσθμοῦ καὶ τοῦ τείχους, καὶ στρατοπεδεύεται αὐτοῦ μίαν ἡμέραν, τῇ δ' ὑστεραίᾳ ἀναλαβὼν τὸν στρατὸν ἅπαντα ξυντεταγμένον, ἐσβάλλει ἐς τὴν Κορινθίων, ἀκμάζοντος ἤδη τοῦ σίτου, καὶ στρατόπεδον τίθησι οὐ μακρὰν, ἀλλ' ὅσον ἀπὸ τεττάρων σταδίων ἀπέχον τῆς πόλεως. (9) Τῇ δ' ἐφεξῆς ἀναλαβὼν τῶν ἐν τέλει ἐνίους καὶ στρατηγῶν καὶ σατραπῶν τοὺς ἀρίστους, περιῄει τόν τε λόφον καὶ τὴν πόλιν αὐτὴν, κατασκοπῶν τά τε ὅλως ἀπόμαχα τοῦ χωρίου τά τε ἐπίμαχα ὁπωσοῦν. (10) Καὶ ἔδοξεν αὐτῷ ἡ πόλις ἐχυρωτάτη, ὥσπερ δῆτα καὶ ἦν· ὑπερύψηλόν τε γὰρ ἦν τὸ χωρίον καὶ ἀπότομον καὶ κρημνῶδες κύκλοθεν, καὶ μίαν μόνην πάροδον ἔχον τὴν ἐπὶ τὴν πόλιν, καὶ αὐτὴν ἀνάντη τε καὶ τριπλῷ τείχει τετειχισμένην καὶ πεφραγμένην· ἡ δέ γε Ἀκροκόρινθος καὶ πάντῃ ἀπόμαχος, ὑπερανῳκισμένη τε τῆς κορυφῆς τοῦ λόφου καὶ τείχεσιν ἰσχυροτάτοις ὠχυρωμένη. (11) Ἔγνω οὖν δεῖν λόγους πρῶτον προσφέρειν τοῖς ἐν τῇ πόλει περί τε ξυμβάσεων καὶ ἐνδόσεως αὐτῆς· καὶ πέμπει δὴ τοὺς ἐροῦντας. Ὡς δὲ οὐκ ἔπειθε, πρῶτον μὲν ἔκειρε πᾶσαν τὴν ἔξω χώραν αὐτῶν καὶ ἐδῄωσε, παραδείσους τέ φημι καὶ ἀγροὺς καὶ ἀμπέλους καὶ τἆλλα, κάλλιστά τε καὶ πολυφόρα πάντα, τόν τε σῖτον ἀκμάζοντα ἤδη διέφθειρεν. (12) Ἔπειτα κύκλῳ περισχὼν αὐτοὺς τῷ στρατῷ καὶ κατακλείσας ἐντὸς τοῦ ἄστεος ἀσφαλῶς καὶ μηχανὰς ἐπιστήσας ἐπολιόρκει. (13) Ὡς δὲ συχνὰς ἡμέρας περικαθήμενος τῇ πόλει καὶ πο-

III. De expeditione in Peloponnesum pauca habes apud Seadeddinum 2, p. 183-185, Phrantzem p. 387, 2-388, 15, Ducam p. 339, 2-340, 10; his et ipso Critobulo uberior est Chalcocondylas p. 442-452; nonnulla tamen Critobulus habet quæ apud Chalcocondylam non leguntur. Sic iter regis § 1-8 unus Noster descripsit. || — § 1. πεζήν] sic margo, πεζικὴν textus. Illud Thucydideum; plerumque tamen πεζικήν Critobulus dicit. || — καὶ χαλκὸν] Bombardas ad Corinthum fundere voluit, testante Chalcoc. p. 443, 22. || — § 2. τὴν Κερκινῖτιν ἢ Βόλβην λίμνην] Verba ἢ Βόλβην in margine addita sunt. Intelligit lacum qui hodie *Kutchuk et Bujuk* (*minor et major*) *Betchik-Gol* vocatur; juxta eum a Strymone et Amphipoli Thessalonicam iter erat. Hunc vero esse veterem Bolben e Scylace et Thucydide 1, 58 constat; perperam huc trahitur Carcinitidis nomen, quod pertinere ad hodiernum lacum *Tachino*, quem Strymon fluvius efficit, ex Ariani Exp. Alex. 1, 11 colligitur. V. Tafel. Thessalon. p. 262 sqq. || — προσελαύνων] ἐλαύνων, cui supra lineam additur πρὸς, codex. || — § 4. ἐχώρει] sic margo, ᾔει text. || — Φθιῶτιν] Φθιότιν cod. || — § 6. παρὰ τὸν καιρὸν] sic margo, ἔξωρον text. || — § 7. παρὰ τῶν πρέσβεων] Hæc in margine adduntur.

§ 8. ἐσβάλλει ἐς τὴν Κορινθίων] Phrantzes p. 387, 2 : Μαΐῳ δὲ ιε' τοῦ αὐτοῦ ἔτους ὁ ἀμηρᾶς παραγέγονεν εἰς τὴν Πελοπόννησον. Verba ἀκμάζοντος ἤδη τοῦ σίτου adduntur in margine. Thucydideam affectat temporis significandi rationem. || — § 9. περιῄει... κατασκοπῶν] Chalcocond. p. 443, 19 : Περιιὼν δὲ ἐσκόπει ὡς ἂν τὸ τεῖχος καθελὼν τηλεβόλοις ἐσπεσεῖται ἐς τὴν πόλιν ἅμα τῷ στρατῷ· καὶ τηλεβόλους μὲν αὐτοῦ ποιεῖσθαι κατέλιπε (i. e. et qui bombardas facerent ibi reliquit) καὶ τὸν ἑῷον στρατὸν περικαθήμενον τὴν πόλιν, ... αὐτὸς δὲ ἐντὸς τῆς Πελοποννήσου γενόμενος διὰ Φλιοῦντος ἐπορεύετο. || — § 11. τόν τε σῖτον ἀκμ. ἤ. διέφθειρεν] add. in margine. || — § 14. ἀλλὰ καὶ οὕτως] sic margo, ἀλλ' οὐδὲν ἧττον text. || — ἀπὸ τῶν ἄκρων] sic margo, ἀ. τ. λόφων text.

λιορκῶν οὐδὲν ἤνυεν, ἔγνω χρονίαν ἔσεσθαι τὴν πολιορκίαν αὐτῷ· αἵ τε γὰρ μηχαναὶ οὐκ ἐξικνοῦντο πρὸς τὸ τεῖχος καλῶς, οὐδὲ βλάπτειν ὅλως ἠδύναντο· ἀφαιρούμεναι γὰρ τὴν βίαν τῷ μήκει, ἐξεκαυλίζοντο καὶ ἀσθενέστερον τῷ τείχει προσέπιπτον. Οὐ γὰρ ἐνῆν αὐτὰς τῷ ἀποκρότῳ καὶ σκληρῷ τοῦ χωρίου ἐγγύς που τοῦ τείχους προσενεγκεῖν ὥστε καὶ παίειν αὐτὸ μετὰ βίας σφοδρᾶς καὶ ῥύμης καὶ καταρριπτεῖν· (14) εἰ δὲ καὶ ὅλως κατερριπτεῖτο τὸ τεῖχος, ἀλλὰ καὶ οὕτως ἡ ἐς τὸ ἄστυ καὶ τὴν πόλιν πάροδος ἀπόμαχος ἦν, ἑκατέρωθεν ἀποτόμοις κρημνοῖς καὶ σκοπέλοις διειλημμένη καὶ φόβον καὶ δειλίαν πλείστην παρεχομένη τοῖς κάτωθεν εἰσιοῦσι μεθ' ὅπλων, ἄνωθέν τε καὶ ὑπὲρ κεφαλῆς βαλλομένοις ἐξ ὑπερδεξίων ἀπὸ τῶν ἄκρων. Καὶ πολλάκις δὲ ταύτῃ προσβαλὼν ὁ βασιλεύς, ἰσχυρῶς ἀπεκρούσθη.

IV. Ἐπεὶ οὖν οὔτε ἐκ προσβολῆς βίᾳ τοῖς ὅπλοις, οὔτε μηχαναῖς οὔτε ἄλλῳ τῳ τρόπῳ τοιούτῳ ὁ βασιλεὺς αἱρήσειν τὴν πόλιν ἐνόμισεν, ἀλλ' ἢ μόνον λιμῷ καὶ πολιορκίᾳ μακρᾷ, οὐκέτι πρὸς τὰ λοιπὰ διαμέλλειν ἐγνώκει δεῖν οὐδ' εἰκῇ τὸν καιρὸν ἀναλίσκειν, ἀλλὰ τὸ μὲν ἥμισυ τῆς στρατιᾶς ξὺν Μαχουμούτει καταλιπὼν αὐτοῦ, ὥστε πολιορκεῖν καὶ φυλάσσειν τὴν πόλιν, τοῦ μή τι τῶν ἔνδον ἐξάγειν ἢ τῶν ἔξωθεν ἐσκομίζεσθαι, αὐτὸς τὴν λοιπὴν ἀναλαβὼν ἐχώρει πρὸς τὰ λοιπά. (2) Καὶ πρῶτον μὲν τὰ περὶ τὴν Κόρινθον φρούρια, τὰ μὲν βίᾳ τοῖς ὅπλοις, τὰ δὲ φόβῳ καὶ καταπλήξει, τὰ δὲ καὶ πειθοῖ ἑλὼν ἐν ὀλίγαις ἡμέραις ἐχειρώσατο πάντα. (3) Μετὰ δὲ τοῦτο ἐπὶ τὰ ἔνδον τῆς Πελοποννήσου προὐχώρει, καταστρεφόμενός τε καὶ ληιζόμενος πάντα τὰ ἐν ποσί, τά τε ἀνάντη καὶ δύσβατα καὶ σκληρὰ τῶν τε χωρίων καὶ τῶν παρόδων ἐξομαλίζων καὶ ἡμερῶν, καὶ τὰ ἐρυμνότατα τῶν φρουρίων ἐξαιρῶν τε καὶ κατασκάπτων καὶ πάντῃ χειρούμενος. (4) Προσελάσας δὲ τῇ Τεγέᾳ πόλει, ἣν οἱ νῦν Μοχλίον καλοῦσι, στρατόπεδον τίθησι, καὶ περισταυρώσας αὐτὴν καὶ κύκλῳ περιλαβὼν τῷ στρατῷ ἐπολιόρκει ἐπ' ὀλίγαις ἡμέραις. Καὶ μετὰ τοῦτο Δημήτριος Ἀσάνης, ὁ ταύτης ἔπαρχος, λόγους προσφέρει τῷ βασιλεῖ περί τε ξυμβάσεων καὶ ἐνδόσεως αὐτῆς. Καὶ ξυμβαίνουσι δή, καὶ λαμβάνει τὴν πόλιν ὁ βασιλεὺς ὁμολογίᾳ. Προσχωρεῖ δὲ αὐτῷ ἐπὶ ταύτῃ καὶ ἕτερα φρούρια οὐκ ὀλίγα τῶν πλησιοχώρων. (5) Οἱ δὲ τῆς Πελοποννήσου δεσπόται ἐν τῇ μεσογείᾳ ταύτης, ἐν Ἀμυκλαίῳ, καθήμενοι ξυντεταγμένοι, ἐπειδὴ ἔμαθον προσελαύνοντα τῇ Τεγέᾳ τὸν βασιλέα, διαλυθέντες εὐθὺς ᾤχοντο φεύγοντες, καὶ ἀναχωροῦσιν ὁ μὲν ἐς Μαντίνειαν (ὁ Θωμᾶς), οὗ δὴ καὶ ἡ γυνὴ αὐτοῦ καὶ οἱ παῖδες ἦσαν, ὁ δὲ ἐς Ἐπίδαυρον τὴν Λιμηρὰν (ὁ Δημήτριος) ἥτις νῦν Μονεμβασία καλεῖται, καὶ διέτριβον ἐν αὐταῖς τοῦ πολέμου τὸ πέρας ἀποσκοποῦντες.

V. Βασιλεὺς δὲ βραχείας ἡμέρας ἐν Τεγέᾳ διαγαγὼν καὶ καταστησάμενος τὰ αὐτοῦ, φρουράς τε ἐγκαταλιπὼν αὐτῇ τε καὶ τοῖς ἄλλοις φρουρίοις, ᾔει τὴν ἐπὶ Πάτρας τῆς Ἀχαΐας τραχεῖαν ὁδὸν καὶ πάντῃ ἀνάντη, δυσχωρίαις τε πολλαῖς καὶ τόποις ἀβάτοις καὶ ἀποκρήμνοις διειργομένην καὶ κλειομένην. Ὁ δὲ οὐδέν τι μεῖον σπουδῇ καὶ πόνῳ προὐχώρει, τὰ πρὸ τῶν ποδῶν ἅπαντα ληιζόμενός τε καὶ καταστρεφό-

---

IV. § 1 ἐνόμισεν] sic man. 2, ἐνόμιζεν m. 1. || — § 3. ἐπὶ τὰ ἔνδον τ. Πελ.] Phrantzes p. 387, 5 : αὐτὸς δὲ ἐλθὼν ἐν τῷ μέσῳ τοῦ τόπου καὶ πάντα τὰ ἐκεῖσε τὰ μὲν ᾐχμαλώτευσε, τὰ δὲ ἠφάνισε καὶ ἐνέπρησε, ἐξαιρέτως δὲ τὴν Ἄκωβαν, τὸν Ἀετὸν καὶ τὰ Πενταχύρια (Πενταχωρία?), κἀκεῖθεν ἐξελθὼν κατὰ τοῦ Μοχλίου ἐπέδραμεν. Sec. Chalcocondylam p. 444 sq. Mechemetes in Phliuntis regione cepit Tarsum, deinde alia duo castella, quorum nomina non apponuntur, tum Ἀκρίβην (Ἀκώβαν Phrantzæ) et Ῥουπέλην Φλιασίας. Hinc ἐλαύνων διὰ τῆς Μαντινείας χώρας ἀφίκετο ἐς Παζενίκην πόλιν. Hanc postquam incassum oppugnaverat, deinceps perrexit in Tegeaticam, ibique obsidione cinxit Μουχλὴν τῆς Τεγέας πόλιν ἐπὶ ὀχυροῦ τε ὄρους καὶ ἐρυμνοῦ ᾠκημένην. In Seadeddino (ed. Bratutti) Phlius vocatur *Fellch*, Tarsus vero *Tochmach* (nomine turcico, quo redditur vox græca ταρσός). Muchle denique a Bratuttio corruptum in *Mungella*. Παζενίκη ap. Neschri et Solakfade scriptores *Bedchene* vocari monet Hammerus p. 35. Tarsus vicus etiamnum exstat in valle Aroanii fluvii ad viam quæ a vetere Pallene Pheneum (*Phonia*) ducit. Acoba hodie dicitur veteris Arcadiæ regio a meridie Ladoni fluvio adjacens, in eaque Acobæ castelli ruinæ supersunt prope *Galata* vicum; olim ibi Teuthis urbs stetit. Horum vero locorum situs minime cadit in viam rectam qua Corintho per Phliuntis et Mantineæ regiones in Tegeaticam iter est. Verendum igitur ne Byzantini pro more suo priscis nominibus geographicis abusi sint. || — τε καὶ κατασκάπτων] add. mgo. || — § 4. τῇ Τεγέᾳ π. ἣν οἱ νῦν Μοχλίον καλοῦσι] Hæc inepta. Μουχλίον Phrantzes quoque vocat, Μουχλὴν Chalcocondylas. Hodie *Palæomuchli*, castelli ruinæ in Parthenio monte ad viam quæ a Tegea Argos ducit. Obsidionem oppidi uberius narrat Chalcocondylas p. 447. Cf. Seadeddin. p. 185 : *Quindi andò contra la città di Mungella, la quale dopo d'esser stata oppugnata tre giorni e tre notti fu presa con molta facilità e poi munita e guarnita bene.* || — Δημήτριος Ἀσάνης] Meminerunt ejus etiam Chalc. p. 447, 13 et Phrantzes p. 387, 6. || — ξυμβαίνουσι] sic man. 2, συμβαίνει man. 1. || — § 5. ἐς Μαντίνειαν] Cf. Chalcoc. p. 447, 8 : Ἐς ταύτην (sc. τὴν Ἐπίδαυρον) καταφυγὼν ὁ ἕτερος τῶν ἡγεμόνων, τοῦ ἑτέρου ἐς τὴν Μαντίνειαν τῆς Λακωνικῆς πρὸς τῇ θαλάσσῃ οὖσαν καταφυγόντος σὺν τῇ γυναικί. Sita hæc Mantinea ad sinum Messeniacum in *Maina* regione, quo loco pridem steterunt Abiæ. Monembasiam pro vetere Epidauro Limera Chalcocondylas quoque venditat. Seculo duodecimo Epidauri incolæ in vicinam Monembasiam (pristinam Minoam) commigraverant.

V. Quæ hoc capite et cap. 6 § 1 narrantur, alius nemo tradit. Phrantzes post narratam Mochlii expugnationem pergit p. 387, 10 : καὶ τῷ Ἰουλίῳ μηνὶ ἐκεῖθεν ἐπιστρέψας ὁ ἀμηρᾶς εἰς Κόρινθον ἔπεσεν, ἣν δὴ καὶ δεδώκασιν αὐτῷ. Similiter Chalc. p. 448, 1 : ἀπὸ τῆς πόλεως (τῆς Μουχλῆς sc.) ἤλαυνεν ἐπὶ Κόρινθον καὶ ἐπὶ τὸ Ἀσιανὸν στρατόπεδον. Post Corinthi demum deditionem Patras captas esse narrat Seadeddinus p. 185 : . *poi* (post Muchlen captam) *assediarono la città di Corfu* (i. e. Corinthum) *et in poco spatio di tempo presero anco quell' inespugnabil fortezza. Di qui incaminaronsi contro la città di Balli-badri* (i. e. Patras), *la qual era una delle principali città di Morea. in-*

μενος. (2) Οἱ δὲ ἐν ταῖς Πάτραις τὴν κατ' αὐτῶν ἔφοδον τοῦ βασιλέως μαθόντες, ἐκπλήξει καὶ φόβῳ ληφθέντες, εὐθὺς ἐκλιπόντες τήν τε πόλιν καὶ τὰ ἑαυτῶν, ᾤχοντο φεύγοντες ξὺν γυναιξὶ καὶ τέκνοις, οἱ μὲν ἐς τὰς ἐντὸς πόλεις Πελοποννήσου τῶν Ἐνετῶν, οἱ δὲ ἐς Ναύπακτον διαπεραιωθέντες, μόνην τὴν ἀκρόπολιν καταλιπόντες ἐν φυλακῇ. (3) Βασιλεὺς δὲ ἀφικόμενος ἐς Πάτρας καὶ τὴν πόλιν ἔρημον εὑρὼν καὶ κενὴν ἀνδρῶν ἀπολύει τὴν στρατιὰν ἐς διαρπαγὴν τῶν ἐν αὐτῇ, τὴν δὲ ἀκρόπολιν κύκλῳ περισχὼν τῷ στρατῷ καὶ περισταυρώσας πάντοθεν καὶ μηχανὰς ἐπιστήσας ἐπολιόρκει. (4) Οἱ δὲ ἐντὸς φρουροὶ δείσαντες τὸν ἀπὸ τῶν μηχανῶν κίνδυνον, μή, τοῦ τείχους καταρριφθέντος, ληφθῶσι βίᾳ τοῖς ὅπλοις, καὶ περὶ τὸ ζῆν κινδυνεύσωσι, προσχωροῦσιν ὁμολογίᾳ τῷ βασιλεῖ, ἐφ' ᾧ μηδέν τι κακὸν παθεῖν· καὶ μέντοι γε οὐδὲ πεπόνθασι. (5) Βασιλεὺς δὲ τὴν ἀκρόπολιν παραλαβὼν φυλακὴν ἐγκαθίστησι, καὶ Πατρέων διακηρυκεύεται τοῖς βουλομένοις αὖθις ἐς τὴν πόλιν ἰέναι καὶ κατοικεῖν ἐλευθερίαν καὶ ἀτέλειαν χρόνων ῥητῶν καὶ κτημάτων ἐπίδοσιν· (6) ἤρεσκε γὰρ αὐτῷ διαφερόντως ἥ τε πόλις καὶ ἡ χώρα, πάμφορός τε οὖσα καὶ θέσεως οἰκείας λαχοῦσα, ἐν καλῷ τε κειμένη τῆς Πελοποννήσου καὶ πρὸς τῷ στόματι τοῦ Κρισαίου κόλπου, τῇ τε ἀντιπέρας ἠπείρῳ διὰ τοῦ ἐκεῖσε Ῥίου συναπτομένη καὶ τὰ αὐτῆς καρπουμένη καλῶς, καὶ πᾶσιν ἄλλοις ἁπλῶς εὐθηνουμένη καλοῖς. Διά τοι τοῦτο καὶ περὶ πολλοῦ τὴν ταύτης ξυνοίκισίν τε καὶ φυλακὴν ἐποιεῖτο· καὶ μέντοι γε καὶ ξυνῴκισεν. (7) Ἡμέρας δὲ ἱκανὰς αὐτοῦ διατρίψας καὶ τὰ περὶ αὐτὴν φρούρια χειρωσάμενος πάντα καὶ φρουροὺς ἐγκαταστήσας αὐτῇ τε καὶ τοῖς ἄλλοις φρουρίοις, τῆς μὲν στρατιᾶς εὐθὺς ἐκπέμπει μέρος καταδραμεῖν τήν τε Ἠλείαν καὶ Μεσσηνίαν καὶ τὰ περὶ αὐτὰς ἅπαντα καὶ λῄσασθαι καρτερῶς καὶ τὴν λείαν πᾶσαν ὡς αὐτὸν ἀγαγεῖν.

VI. Αὐτὸς δὲ τὴν ἄλλην στρατιὰν ἀναλαβὼν ᾔει διὰ τῆς παραλίας τοῦ Κρισαίου κόλπου ὡς ἐπὶ Κόρινθον καὶ προσβάλλει δὴ πόλει τινὶ παραλίῳ τῶν ὀνομαστῶν Βόστιτζα καλουμένῃ τὸ νῦν· καὶ καταπλήξας τοὺς ἐντὸς ἰσχυρῶς ἐξ ἐφόδου καὶ μόνης λαμβάνει καὶ ταύτην ὁμολογίᾳ καὶ φυλακὴν ἐγκαθίστησιν. (2) Ἄρας δ' ἐκεῖθεν ἤλαυνεν ἐπὶ Κόρινθον, πάντα τὰ προστυχόντα χειμάρρου δίκην παρασύρων τε καὶ ὑφ' ἑαυτῷ ποιούμενος, τὰ δὲ καὶ ἐξανδραποδιζόμενός τε καὶ κατασκάπτων τελείως. (3) Ἀφικόμενος δ' ἐς Κόρινθον ὁ βασιλεὺς εὗρεν ἔτι πολιορκουμένην καὶ μηδαμοῦ ἐνδιδοῦσαν αὐτήν. Κοινολογησάμενος οὖν Μαχουμούτει καὶ τοῖς ἄλλοις σατράπαις καὶ στρατηγοῖς ἔδοξεν αὐτοῖς κοινῇ βουλευσαμένοις πάσῃ καὶ χειρὶ καὶ δυνάμει καὶ τοῖς ἄλλοις ὑπάρχουσι τῇ πόλει προσβαλεῖν καὶ πειράσασθαι τρόπῳ παντὶ εἴ γε δυνατὸν ἐξ ἐφόδου βίᾳ τοῖς ὅπλοις ταύτην ἑλεῖν (ἤδη γὰρ κατερρίφθη καὶ μέρος τι τοῦ περὶ τὴν πάροδον καὶ τὰς πύλας τείχους ταῖς μηχαναῖς) καὶ μὴ μάτην ἔτι κατατρίβεσθαι καὶ πονεῖν τοσοῦτον ἤδη χρόνον περικαθημένους αὐτῇ καὶ μηδὲν ἀνύοντας. (4) Ὅ τε γὰρ χρόνος τῆς πολιορκίας ἱκανὸς ἦν· τετράμηνος γάρ· ἥ τε στρατιὰ τῷ μήκει ταύτης κακοπαθοῦντες ἤχθοντο, τά τε ἀχθοφόρα τῶν ζῴων λιμῷ διεφθείρετο, τῆς γῆς δῃουμένης ἁπάσης, ἄλλα τε πολλὰ ἐπιγενόμενα ἐπίεσεν αὐτοὺς ἰσχυρῶς, καὶ διὰ τοῦτο ἢ οὕτως ἢ ἐκείνως ἀπαναστῆναι ταύτης ἐβούλοντο. (5) Παρασκευασάμενος οὖν ὁ βασιλεὺς καὶ πᾶσαν τὴν στρατιὰν ἐκτάξας τε καὶ ὁπλίσας καλῶς, τούς τε ἐν τέλει πάντας, σατράπας τέ φημι καὶ στρατηγοὺς καὶ ἡγεμόνας τῶν τάξεων καὶ δὴ καὶ στρατιώτας αὐτούς, παροξύνας τε καὶ παραθαρρύνας ἐς τὸ πολεμεῖν καὶ παρακελευσάμενος ἄνδρας ἀγαθοὺς φανῆναι, προσέβαλλε τῇ πόλει ἰσχυρῶς. (6) Καὶ ξυνίσταται δὴ μάχη καρτερὰ περί τε τὰς πύλας καὶ τὴν πάροδον· ἐνταῦθα γὰρ ἦν καὶ μόνον τὸ δοκοῦν ἐπίμαχον, ὡς τῆς γε ἄλλης ἁπάσης πόλεως ἀπομάχου παντάπασιν οὔσης· καὶ γίνεται ὠθισμὸς ἐνταῦθα πολὺς καὶ κραυγὴ παρ' ἀμφοτέρων καὶ φόνος καὶ τραύματα, τῆς μάχης σχεδὸν ἤδη ξυσταδὸν γινομένης. Βιασάμενοι οὖν τοὺς προμαχομένους εὐρώστως οἱ ὁπλῖται γίνονται ἐντὸς τῶν πυλῶν τοῦ κατερριμμένου πρώτου τείχους καὶ αὐτοῦ δὴ τοῦ τείχους ἐγκρατεῖς. (7) Βιαζόμενοι δὲ καὶ τοῦ δευτέρου τείχους ἔσω παρελθεῖν, ἐκακοπάθουν ἰσχυρῶς, κατὰ μέτωπόν τε αὐτοῖς προσβαλλόντων τῶν ἐναντίων δόρασι μακροῖς καὶ ξυστοῖς καὶ παλτοῖς, καὶ ἄνωθεν ἀπὸ τῶν ἄκρων ἑκατέρου μέρους ἐξ ὑπερ-

corporando anco quel delicioso luogo. Apud Chalcocondylam p. 452 Mechemetes ad Corinthum de pace facienda cum Asane et Lucano agens inter alias conditiones ponit τό τε Αἴγειον καὶ Πάτρας καὶ τὴν περίοικον παραδιδόναι ἡμῖν, deinde pace composita, Thomas urbes illas Omaro tradidisse dicitur; secundum Critobulum Turci tum retinuerunt quæ armorum vi jam possidebant. ||

§ 2. ταῖς ante Πάτραις manu 2 additum. || — ληφθέντες add. mgo. || — § 6. οἰκείας] οἰκαίας (sic) mgo, ἀρίστης text. Dein Κρησαίου et Ῥοίου cod. || — § 7. καὶ Μεσσηνίαν add. mgo; eadem manus deinceps περὶ αὐτὰς correxit pro περὶ αὐτὴν quod manu 1 scriptum.

VI. Βόστιτζα] olim Ægium, quo nomine Chalcocond. utitur. || — § 2. χειμάρου cod. || — § 4. τετράμηνος] Secund. Phrantzen l. l. Mechemetes in Peloponnesum venit Maii die decimo sexto, Corinthus vero sese dedidit Augusti die sexto. Cf. Chronicon ad calcem Ducæ p. 520 ed. Bonn. : Τῷ ,ϛϡξϛ' μηνὶ Μαΐῳ ἦλθον ὁ ἀμηρᾶς ὁ Μέχεμετ Τζαλάπης (*Tchelebi*)... ἐς τὸν Μωραΐαν καὶ παρέλαβεν τὴν Πάτραν, τὸ Μουχλιν, καὶ Αὐγούστου εἰς τὰς ϛ' παρέλαβεν τὴν Κόρινθον. Haud igitur τετράμηνος esse potuit obsidio. || — ἥ τε στρατιά] sic margo, οἵ τε στρατιῶται cod. || — § 5. προσέβαλε τῇ πόλει] Sec. Chalcoc. p. 448 Mechemetes antequam tormentis denuo urbem impeteret, de dedenda urbe legatum misit ad Asanem, qui copiis oppidanorum tum præerat. Apud Critobulum cap. 7, § 3 Asanes post dirutum jam murum exteriorem Corinthum venit. || — γινομένης man. 2; γεν. m. 1. || — § 7. ἐκακοπάθουν] Chalcoc. 450, 15 : ἐκράτουν

δεξίων λίθοις βαλλόμενοι κατὰ κεφαλῆς· ὃ δὴ καὶ μάλιστα τούτους ἐπίεσε· καὶ τέλος ἀποκρούονται παρὰ τῶν ἔνδοθεν ἰσχυρῶς, καὶ ἐξωθοῦνται τοῦ τείχους βιαίως· καὶ ἀπέθανον αὐτοῦ οὐκ ὀλίγοι τῶν ὁπλιτῶν, καὶ μάλιστα ὑπὸ τῶν ἄνωθεν καὶ ἀφ' ὑψηλοῦ καταφερομένων μεγίστων λίθων ἰσχυρῶς βαλλόμενοι, βιαζόμενοί τε τὴν εἴσοδον καὶ θρασύτερον ἐπεμβαίνοντες. (8) Ὅπερ ἰδὼν ὁ βασιλεὺς ἀναχωρεῖν εὐθὺς σημαίνει τούτοις, καὶ ἔξω βέλους γενομένοις ἀποστῆναι τοῦ πολεμεῖν, εἰπὼν μὴ μάτην πονεῖν καὶ κινδυνεύειν αὐτούς· οὐ γὰρ ὅπλα καὶ σώματα, ἀλλὰ λιμὸν εἶναι τὸν ταύτης τῆς πόλεως ἰσχυρὸν ἀνταγωνιστὴν, ὃς ἀκονιτὶ καὶ κινδύνων χωρὶς καταγωνιεῖται ταύτην ταχέως. Ἐγνώκει γὰρ ὁ βασιλεὺς μηδαμοῦ ταύτης ἀπαναστῆναι, ἀλλὰ περικαθῆσθαι αὐτὴν ἕως ἂν ἐκπολιορκήσῃ λιμῷ· ἐνόμιζε γὰρ ὡς ταύτην ἑλὼν πᾶσαν ἤδη τὴν Πελοπόννησον ἕξει ἀμαχεί, ὥσπερ δῆτα καὶ γέγονεν.

VII. Ἐν τούτῳ δὲ καὶ οἱ στρατιῶται ἧκον οἱ σταλέντες ἐς προνομὴν, λείαν ὅτι πλείστην ἐλάσαντες ἀπό τε τῆς Ἠλείας καὶ τῆς ἄλλου προσχώρου· ἐλέγοντο δὲ ζώων μὲν προβάτων τε καὶ βοῶν καὶ ἵππων ἀμφὶ τὰς πέντε καὶ δέκα μυριάδας ἀγαγεῖν, ἀνδρῶν δὲ καὶ γυναικῶν καὶ παιδίων ὑπὲρ τὰς τέσσαρας χιλιάδας. (2) Καὶ τὰ μὲν ἄλλα πάντα, πρόβατά φημι καὶ βόας καὶ ἵππους, διένειμε πάσῃ τῇ στρατιᾷ, ἄνδρας δὲ καὶ γυναῖκας καὶ παῖδας ἀπέστειλε ἐς τὴν Κωνσταντίνου, κατοικίζων πᾶσαν τὴν ἔξω χώραν αὐτῆς. Καὶ ὁ μὲν οὕτως. (3) Κορινθίους δὲ τετράμηνον ἤδη πολιορκουμένους ὁ σῖτος ἐπελελοίπει καὶ τἄλλα τῶν ἀναγκαίων· καὶ πιεζόμενοι [δὲ] τῷ λιμῷ, ὅμως ἀντεῖχον ἔτι καλῶς, οὐδαμοῦ σπονδῶν μεμνημένοι· ἐδεδίεσαν γὰρ μὴ σφόδρα ὠργισμένος αὐτοῖς ὢν ὁ βασιλεὺς τῇ τριβῇ τῆς πολιορκίας κακόν τι μέγα ἐργάσηται ἐς αὐτοὺς, ἄλλως τε καὶ ὅτι πολλάκις προκαλεσάμενος ἐπὶ ξυμβάσεις αὐτοὺς οὐκ ἐσηκούσθη, ἀλλ' ἀπεστράφη. (4) Ἐν τούτῳ δὲ παραγίνεται αὐτοῖς Ἀσάνης Ματθαῖος ἀπὸ Σπάρτης, ὃν ἔπεμψεν ὁ δεσπότης Δημήτριος βοηθόν τε ἥκειν αὐτοῖς καὶ πειρασόμενον εἰ δύναιτο καὶ αὐτοῖς τοῖς δεσπόταις καταλλάξαι τὸν βασιλέα καὶ σπονδὰς ποιῆσαι τὰς δυνατὰς, μὴ μέντοι γε τούτῳ τῆς Κορίνθου ἐκστάντα. (5) Εἶχε δὲ καὶ ἄνδρας ἑβδομήκοντα στρατιώτας μεθ' ἑαυτοῦ, ἔχοντας καὶ σίτου μεδίμνους δέκα, ὃν ἔφερον ἐπὶ τῶν ὤμων ἐπηχθισμένοι, ἕκαστος ἀνὰ χοινίκων τριῶν· οἵτινες ἐξεπιστάμενοι πάροδον ἐκ τοῦ ἀπομαχωτάτου μέρους τοῦ τε βουνοῦ καὶ τῆς πόλεως, ἄγνωστον μὲν καὶ ἄβατον τοῖς πολλοῖς, ἀνάντη δὲ ὅλως καὶ τραχεῖαν καὶ δύσπορον, φέρουσαν ἐς τὸν Ἀκροκόρινθον, νυκτὸς λαθόντες ἀνήεσαν διὰ τῆς πέτρας χαλεπῶς πάνυ καὶ ἐπικινδύνως, ἀναρριχώμενοί τε καὶ ἕτερος τὸν ἕτερον ἀνέχων τε καὶ διαβαστάζων, ἐνίους δὲ σφῶν αὐτῶν καὶ ἀνιμώμενοι σχοινίοις ἐκδεδεμένους· καὶ ἐσέρχονται ἐς τὴν πόλιν. (6) Οἱ δὲ Κορίνθιοι τόν τε Ἀσάνην ἰδόντες καὶ τοὺς μετ' αὐτοῦ ἀνερρώσθησάν τε οὐ μικρὸν καὶ ἀνέπνευσαν, νομίσαντες βοηθόν τε ἥκειν αὐτοῖς ἐς τά τε ἄλλα καὶ δὴ καὶ σπονδὰς μετὰ τοῦ βασιλέως ποιήσειν αὐτοῖς ξυμφερούσας. (7) Ἀσάνης δὲ ἐσελθὼν ἐν τῇ πόλει ὡς εἶδε τούς τε Κορινθίους δεινῶς ὑπὸ τοῦ λιμοῦ πιεζομένους καὶ ἀντέχειν ἔτι μὴ δυναμένους, διακηρυκεύεται τῷ βασιλεῖ περὶ

(οἱ Κορίνθιοι) τὸ τεῖχος (τὸ δεύτερον) ἐπὶ ἡμέρας ἱκανὰς ἀμυνόμενοι· οἱ μέντοι τηλεβόλοι καὶ τοῦτο τὸ τεῖχος ἐπὶ ἡμέρας ἱκανὰς ἔπαιον, καὶ κατέβαλον μέρος οὐκ ὀλίγον. || — ἔνδοθεν] m. 2; ἔνδον m. 1. || — § 8. De his nihil legitur in Chalc. || — γενομένοις] m. 2, γενομένους m. 1. || — ταύτην ταχέως] sic mgo, τούτους τ. text.

VII. § 1 et 2. De his nihil habet Chalcoc. || — προσχώρου] sic man. 2, πλησιοχωρ. m. 1. || — πέντε καὶ δέκα] Verba καὶ δέκα add. margo. || — § 3. σῖτος ἐπελελοίπει]. Cf. Chalcocond. p. 541, 6. || — προκαλεσ.] προσκ. cod. Dein vox αὐτοὺς post ξυμβάσεις additur in margine. || — § 4. παραγίνεται Ἀσάνης] Ἀσάνης Ματθαῖος ὁ γυναικάδελφος τοῦ δεσπότου κὺρ Δημητρίου, υἱὸς δὲ Παύλου τοῦ Ἀσάνου, ut ait Phrantzes p. 388, 14. Ceterum Asanes jam antea Corinthum venerat, prodente Chalcocondyla, qui de adventu ejus ita habet : Ἀσάνης μὲν οὖν οὐ πολλῷ ὕστερον (postquam Mechemetes a Corintho in interiora Peloponnesi abierat), ὡς ἐπυνθάνετο τὴν πόλιν πολιορκεῖσθαι ὑπὸ τοῦ Ἀσιανοῦ στρατοπέδου, ἔχων περὶ αὐτὸν ἄνδρας ἱκανοὺς, ὁρμώμενος ἀπὸ Ναυπλίου τῆς Οὐενετῶν πόλεως, καὶ διὰ θαλάσσης ἐπὶ τὸν Κεγχρεῶν λιμένα ἀφικόμενος νυκτὸς λαθὼν τὸν στρατὸν τοῦ βασιλέως ἐσῆλθεν ἐς τὴν πόλιν αὐτός τε καὶ οἱ ἀμφ' αὐτὸν, καί τινα βραχὺν σῖτον εἰσεκομίσαντο. || — ἀνὰ χοινίκων τριῶν] Vel in hoc numero vel in medimnorum vel in militum erratum est. Decem medimni efficiunt 480 chœnices, adeo ut ex 70 militibus singuli septenos chœnices tulerint. Vox ἀνὰ genitivo juncta isto sensu sæpius a Critobulo usurpatur. || — § 5. ἀναρριχώμενοι] ἀναρριχόμενοι cod. || — αὐτοῖς συμφερούσας] adduntur in margine. || — § 7. διακηρυκεύεται etc.] Fusius de his exponit Chalcocondylas p. 451, 6 : Καὶ οἱ ἐν τῇ πόλει ἐπιλείποντος τοῦ σίτου χαλεπῶς ἔφερον, καὶ λόγους ἐδίδοσαν ἀλλήλοις, ἀφικόμενοι ἐς τὸν τῆς πόλεως ἀρχιερέα. Ἀσάνης μὲν οὖν κατεῖχε τὸ πλῆθος ὥστε ἀνέχεσθαι, ἀρχιερεὺς δὲ τῆς πόλεως ἀποστείλας ὡς βασιλέα ἐσήμαινε αὐτῷ τὴν ἔνδειαν, καὶ ὡς σιτία πάνυ ὀλίγα ὑπολείποιτο ὥστε ἀντέχειν. Ταῦτα πυθόμενος ὁ βασιλεὺς λόγους αὖθις προσέφερε, λέγων τοιάδε· « Ἐμοὶ παρὰ τῶν ἐν τῇ πόλει εὐνοούντων ἀπαγγέλλεται ὀλίγων πάνυ ἡμερῶν ὑπολείπεσθαι ὑμῖν τὰ σιτία. Τί οὖν κακοδαιμονᾶτε καὶ οὐ παραδίδοτε τὴν πόλιν; » Ἐνταῦθα ὡς πυνθανομένου Ἀσάνεω ἔλεγον οἱ τοῦ βασιλέως τὰ καθήκοντα, ἐβουλεύοντο κοινῇ εἴτε παραδώσοιεν τὴν πόλιν, εἴτε ἀνεχόμενοι ἀμύνοιντο. Ὡς δὲ ἀπεστραμμένους ἑώρα τοὺς ἐν τῇ πόλει καὶ χαλεπῶς φέροντας, ὑπόσπονδοί τε ἐξῆλθον αὐτός τε Ἀσάνης καὶ ὁ Λακεδαιμόνιος Λουκάνης. Ἀφικομένων δὲ ἐς λόγους τῷ βασιλεῖ, σπονδάς τε αἰτουμένων, ἔλεγεν αὐτοῖς τάδε· « Ἀπαγγείλατε τῷ ὑμετέρῳ ἡγεμόνι ὡς σπονδὰς ποιεῖσθαι ἕτοιμός εἰμι, ἐφ' ᾧ τὴν χώραν ὅσην ὁ στρατὸς παρεξῄει ἐμήν τε εἶναι, καὶ φόρον ἀπάγειν διὰ τὴν λοιπὴν χώραν πενταχοσίους στατῆρας, τῷ δὲ ἡγεμόνι, ἐφ' ᾧ τό τε Αἴγειον καὶ Πάτρας καὶ τὴν περίοικον παραδιδόναι ἡμῖν· εἰ δὲ μὴ, αὐτίκα ἅμα ἐπιόντα με γινωσκόντων. » Ταῦτα δὲ ὡς ἐνετέλλετο αὐτοῖς, καὶ ἐς τοὺς ἡγεμόνας ἀφίκοντο περὶ τὸ Ταΰγετον τῆς Λακωνικῆς διατρίβοντας, ἀπήγγελλόν τε τὰ παρὰ βασιλέως· καὶ αὐτίκα ἐδόκει, ὥστε μὴ στέρεσθαι ἤδη ξυμπάσης τῆς χωρας, πρέσβεις τε πέμπειν καὶ ἐμπεδοῦν σφίσι τὰς σπονδὰς ἐφ' οἷς προετείνετο βασιλεύς. Πέμψαντες δὲ πρέσβεις τάς τε σπονδὰς ἐποιήσαντο, καὶ τὴν χώραν ἀπέδωκε τῷ βασιλέως ὑπάρχῳ Ὀμάρῃ (τῆς Θετταλίας ὕπαρχος ἦν), τό τε Αἴγειον,

τε ξυνθηκῶν καὶ διαλλαγῶν καὶ ἐνδόσεως τῆς πόλεως. Καὶ ὁ βασιλεὺς δέχεται ἐπὶ τούτοις, καὶ δίδωσι αὐτῷ πιστά. (8) Ὁ δὲ ἐξελθὼν ποιεῖται ξυνθήκας τε καὶ σπονδὰς μετὰ τοῦ βασιλέως καὶ παραδίδωσιν αὐτῷ τήν τε πόλιν καὶ τὸν Ἀκροκόρινθον καὶ τοὺς Κορινθίους μένοντας ἐφ' οἷς ἔχουσι σῶς καὶ κακῶν ἀπαθεῖς, φόρου δὲ μόνον ὑποτελεῖς, ἔπειτα καὶ πᾶσαν τὴν χώραν Πελοποννήσου, ὅσην ἐπῆλθε μεθ' ὅπλων ὁ βασιλεύς, καὶ πόλεις καὶ φρούρια, ὅσα ἐχειρώσατο, τοῦ βασιλέως εἶναι κατήκοα (ἦν δέ γε ἡ τρίτη μοῖρα Πελοποννήσου), τὴν δέ γε λοιπὴν πᾶσαν εἶναι τῶν δυναστῶν δασμὸν ἐτήσιον ἀποφερόντων τῷ βασιλεῖ νομίσματα τρισχίλια χρυσοῦ, ἔχειν δὲ μετ' αὐτῶν εἰρήνην βεβαίαν καὶ φιλίαν τὸν βασιλέα καὶ ξύμμαχον εἶναι καὶ βοηθόν, ἤν τις αὐτοῖς μεθ' ὅπλων ἐπίῃ.

VIII. Πράξας δὲ ταῦτα μετὰ τοῦ βασιλέως καὶ ξυνθέμενος ὁ Ἀσάνης ἐπάνεισιν ἐς τοὺς δεσπότας, ἀπαγγέλλων αὐτοῖς τὰ πεπραγμένα οἱ καὶ τὴν μετὰ τοῦ βασιλέως εἰρήνην. Οἱ δὲ δέχονται τὰς ἐπὶ τούτοις διαλλαγὰς ἑκόντες ἄκοντες· βαρύτατον γὰρ ἔδοξεν αὐτοῖς καὶ τοῖς ὅλοις ἀξύμφορον οὐ τοσοῦτον τὰ ἄλλα ὅσον ἡ τῆς Κορίνθου ἔκδοσις, πόλεως ὀχυρωτάτης τε καὶ λόγου ἀξίας, ἐν ἐπικαίρῳ τε τοῦ Ἰσθμοῦ κειμένης καὶ ὥσπερ ἀκροπόλεως οὔσης Πελοποννήσου· ὅμως γε μὴν τί καὶ εἶχον δρᾶσαι;

IX. Βασιλεὺς δὲ τὴν Κόρινθον παραλαβὼν φυλακήν τε ἱκανὴν ἐσάγει ἔς τε τὴν ἄκραν καὶ ἐς αὐτὴν ἄνδρας ἐπιλέκτους τετρακοσίους τῶν ἀπὸ τῆς ἰδίας αὐλῆς νεοδαμωδῶν, καὶ φρούραρχον αὐτοῖς ἐφίστησιν ἕνα τῶν πιστοτάτων αὐτῷ, καὶ σιτήσει καὶ ὅπλοις καὶ μηχαναῖς καὶ πᾶσιν ἄλλοις ἐπισκευάζει καλῶς τάς τε ἄλλας πόλεις ἃς εἰλήφει, τάς τε ἐν τῇ μεσογείᾳ καὶ παραλίᾳ, καὶ φρούρια τὰ δόξαντα καλῶς ἔχειν αὐτῷ πάντα ἐπισκευάζει καὶ ἐξοπλίζει καλῶς φρουροῖς τε καὶ φρουράρχαις καὶ σίτῳ καὶ ὅπλοις καὶ βέλεσι καὶ πᾶσι τοῖς ἀναγκαίοις. (2) Ἔνια δὲ τῶν φρουρίων, ὅσα μὴ ἐδόκει αὐτῷ, κατασκάπτει τελείως, τοὺς δὲ οἰκήτορας τούτων, ἄνδρας, φημί, καὶ γυναῖκας καὶ παῖδας, ἀσινεῖς ὅλως ἐκπέμπει καὶ αὐτοὺς ἐς τὴν Κωνσταντίνου μετὰ τῶν ἄλλων, κατοικίζων, ἧπερ ἔφην, πᾶσαν τὴν ἔξω χώραν αὐτῆς. (3) Καταστησάμενος δὲ πάντα τὰ ἐν Πελοποννήσῳ καλῶς τε καὶ ὡς ἦν αὐτῷ κατὰ νοῦν, σατράπην τε πάσῃ τῇ αὐτοῦ χώρᾳ τὸν Ἀμάρην καταλιπών, ἀπολύεται τὴν στρατιάν, πολλὰ πρότερον ἐπαινέσας τε αὐτοὺς καὶ δωρησάμενος καὶ τιμήσας τοὺς ἀγαθοὺς ἐπιδόσεσί τε καὶ ἀξιώμασι καὶ ἀρχαῖς καὶ πολλοῖς ἄλλοις· (4) αὐτὸς δὲ ἄρας ἐκ Κορίνθου, φθινοπώρου ἀρχομένου (τὸ γὰρ θέρος ἤδη τετελευτήκει), μετά τε τῆς ἰδίας αὐλῆς καί τινων τῶν ἐν τέλει, ἔξεισι τοῦ Ἰσθμοῦ, καὶ ἀφικνεῖται διὰ τῶν Μεγάρων ἐς τὰς Ἀθήνας. (5) Κατεῖχε γὰρ αὐτὸν ἔρως σφοδρὸς τῆς τε πόλεως ταύτης καὶ τῶν ἐν αὐτῇ θεαμάτων, ὅτι ἤκουσε πολλὰ καὶ καλὰ περί τε τῆς σοφίας καὶ φρονήσεως τῶν ἐνταῦθα προγεγονότων ἀνδρῶν καὶ τῆς ἄλλης ἀνδρείας καὶ ἀρετῆς καὶ τῶν πολλῶν καὶ θαυμαστῶν ἔργων, ὧν ἐν τοῖς κατ' αὐτοὺς καιροῖς ἐπεδείξαντο καὶ πρὸς Ἕλληνας καὶ πρὸς βαρβάρους ἀγωνιζόμενοι· καὶ ἐπεθύμει ἰδεῖν τε καὶ ἱστορῆσαι τήν τε πόλιν καὶ τὰς ἄλλας ταύτης οἰκοδομὰς καὶ δὴ καὶ τὴν ἀκρόπολιν αὐτὴν τούς τε τόπους, ἐν οἷς οἱ ἄνδρες ἐκεῖνοι ἐπολιτεύοντο καὶ ταῦτα ἔπραττον, καὶ τὴν ἄλλην πᾶσαν θέσιν τῆς χώρας τε καὶ κατάστασιν τῆς τε κατ' αὐτὴν θαλάσσης καὶ τῶν λιμένων καὶ περὶ πάντων ἁπλῶς. (6) Καὶ εἶδε καὶ ἐθαύμασε καὶ ἐπῄνεσε, καὶ μάλιστά γε δὴ τὴν ἀκρόπολιν, ἀναβὰς ἐς αὐτήν, ἀπό τε τῶν ἐρειπίων καὶ τῶν λειψάνων ὡς σοφός τε καὶ φιλέλλην καὶ μέγας βασιλεὺς τὰ ἀρχαῖα καὶ ἄρτια στοχαζόμενός τε καὶ τεκμαιρόμενος. Τοὺς δέ γε οἰκήτορας ταύτης, αἰδοῖ τῶν προγόνων φιλανθρώπως τε εἶδε καὶ ἐδωρήσατο πολυτρόπως, καὶ πάντων ὧν ᾔτησαν ἔτυχον παρ' αὐτοῦ. (7) Τέσσαρας δὲ ἡμέρας αὐτοῦ διαγαγών, τῇ ὑστεραίᾳ ἐκεῖθεν ὁρμηθεὶς ᾔει διά τε τῆς Βοιωτίας καὶ Πλαταιίδος, ἀποσκοπῶν πάντας τε τοὺς Ἑλληνικοὺς τόπους καὶ ἀνερευνῶν ἀκριβῶς καὶ πυνθανόμενος περὶ πάντων. (8) Παροδεύσας δ' ἐξεπίτηδες καὶ γενόμενος καταντικρὺ τῆς Εὐβοίας, κατεθεᾶτο τάς τε συχνὰς παλιρροίας Εὐρίπου καὶ τὰς μεταβολὰς τήν τε ἄλλην τῆς νήσου θέσιν τε καὶ κατάστασιν καὶ δὴ καὶ ἀρετήν, καὶ ὡς οἰκειοῦται τῇ χέρσῳ διὰ τοῦ στενοτάτου πορθμοῦ, μᾶλλον δὲ ὡς ἔστι χερρόνησος καθάπερ ποταμῷ μέσῳ τῷ βραχυτάτῳ ῥεύματι τούτῳ διειργομένη καὶ πάλιν ξυναπτομένη γεφύρᾳ. (9) Οἱ δὲ Εὐβοεῖς τὴν ἀθρόαν ἐς αὐτοὺς ἔλευσιν τοῦ βασιλέως ἰδόντες, τὸ μὲν πρῶτον ἔδεισαν περὶ ἑαυτῶν, μὴ ἄρα σφίσιν ἐπὶ κακῷ αὕτη εἴη, μετὰ δὲ τοῦτο δῶρα πλείστου ἄξια ἑτοιμάσαντες τῷ βασιλεῖ ἐξῆλθον ἐς ξυνάντησιν αὐτῷ. Καὶ ὃς δέχεται τούτους ἡμέρως καὶ λαλήσας εἰρηνικὰ μετ' αὐτῶν ἀπολύει πάλιν. (10) Αὐτὸς δὲ ἄρας ἐκεῖθεν καὶ ἀεὶ σπουδῇ ἐλαύνων ἐπὶ τὰ πρόσω, δεκαταῖος ἀφικνεῖται ἐς Φερὰς τῆς Μακεδονίας. Ὀλίγας δὲ

Καλαβρίτας, Πάτρας καὶ τὴν περίοικον τῆς Ἀχαΐας χώρας. || — § 8. παραδίδωσιν] die sexto Augusti an. 6966 (1458 p. Chr.), sec. Phrantz. p. 387, 16. || — νομίσματα τρισχίλια χρυσοῦ] sic mgo, τρισχιλίους χρυσίνους text.

VIII. ἐπάνεισι] ante deditionem urbis, sec. Chalcoc. || — οὐ τοσοῦτον τὰ ἄλλα, ὅσον] add. margo. || — πόλεως ὀχυρωτάτης ... οὔσης Πελοποννήσου] add. margo.

IX. § 1. φρουράρχαις] Sic etiam 3, 14, 4 et 15, 1; alibi φρουράρχοις. || — § 3. Ἀμάρην] Ὀμάρη Chalcocond. p. 452 sq. Est Omar Turachanis filius. || — § 4. μετά τε] μ. γε cod. || — § 6. De rege Athenas visente et monumenta urbis demirante cf. Chalcoc. p. 450, 22 et 455, 15, qui ibidem narrat interitum ducatus Atheniensis, quem Critobulus silentio pressit. || — καὶ φιλέλληνα] add. margo. || — ἄρτια] sic mgo, πρωτότυπα text. || — § 8. Mechemetis Euripum visentis meminit Victor Capella in oratione sua ap. Chalcoc. p. 547, 16. || — § 9. ἔλευσιν] sic mgo, ἔξοδον text.

ἡμέρας διατρίψας αὐτοῦ καὶ ὅσον διαναπαῦσαι αὐτόν τε καὶ τοὺς μετ' αὐτοῦ, ὁρμηθεὶς ἐκεῖθεν καταλαμβάνει τὴν Ἀδριανοῦ, μεσοῦντος ἤδη φθινοπώρου.

X. Κἀνταῦθα γενόμενος εὐθὺς μεταπέμπεται Ἰσμαῆλον τὸν Καλλιουπόλεως ἔπαρχον καὶ τοῦ στόλου παντὸς ἡγεμόνα, καὶ κελεύει τοῦτον ὅτι τάχιστα στόλον πεντήκοντα καὶ ἑκατὸν νεῶν ἐξαρτίσαντα ἐπιπλεῦσαι τῇ Λέσβῳ καὶ Μιτυλήνῃ καὶ καταδραμεῖν πᾶσαν αὐτὴν καὶ λῄσασθαι δῃοῦντα καὶ ἀφανίζοντα κατὰ κράτος. (2) Οἱ γὰρ τοῦ ταύτης ἡγεμόνος Δωριέως υἱεῖς δύο καταλειφθέντες μετὰ θάνατον αὐτοῦ κληρονόμοι τῆς τε νήσου ξυμπάσης καὶ τῆς ἀρχῆς, στασιάζοντές τε ἦσαν ἀλλήλοις, καὶ νεωτέρων ἐπιθυμοῦντες ἀεί· καὶ ἐπειδὴ τὰς ἐξ Ἰταλίας ἠκούσας τριάκοντα τριήρεις εἶδον τοῦ Ῥώμης ἀρχιερέως, ὧν ἐναυάρχει Λοδοβίκος στρατηγὸς αὐτοκράτωρ ὢν αὐτός, ἐνεόχμωσαν εὐθύς, καὶ ξυνθήκας ποιησάμενοι μετ' αὐτοῦ ἠθέτησαν τὰς μετὰ βασιλέως, καὶ οὐκέτι ἤθελον ἀποδιδόναι αὐτῷ τὸν ξυνήθη δασμόν, ὃν ἀπέφερον ἐτησίως· οὐ μόνον δέ, ἀλλ' ὅτι καὶ πρὸ τούτου τὰς καταρσεις τῶν πειρατικῶν νεῶν δεχόμενοι, καὶ σιτήσεις καὶ πίστεις αὐτοῖς λάθρα παρέχοντες ἐκάκουν πᾶσαν τὴν ταύτῃ παραλίαν τοῦ βασιλέως καὶ τὰς κατ' ἐμπορείαν πλεούσας ναῦς ἐσκύλευον. (3) Ἔχων οὖν αὐτοῖς ὀργὴν διὰ ταῦτα ὁ βασιλεὺς τὸν στόλον ἐξέπεμψεν. Ἰσμαῆλος δὲ πληρώσας ὅτι τάχιστα ναῦς πεντήκοντα καὶ ἑκατὸν καὶ ὅπλα καὶ μηχανὰς καὶ ὁπλίτας ἐμβιβάσας αὐταῖς ἱκανοὺς καὶ ἵππους ἐν ναυσὶν ἱππαγωγοῖς καὶ πᾶσαν ἄλλην παρασκευήν τε καὶ χρείαν πολεμικὴν ἐξαρτίσας τε καὶ ταῖς ναυσὶν ἐνθέμενος, ἄρας ἐκ Καλλιουπόλεως τριταῖος καταίρει ἐς Λέσβον, καὶ ἀποβὰς ἔς τινα πολίχνην παράλιον Μόλυβον οὕτω καλουμένην, πρῶτον ἔκειρε πᾶσαν τὴν αὐτοῦ καὶ ἐδῄωσεν, ἔπειτα περισταυρώσας τὸ ἄστυ καὶ κύκλῳ περιλαβὼν τῷ στρατῷ καὶ μηχανὰς ἐπιστήσας ἐπολιόρκει. (4) Ἔτυχον δὲ τότε ἐν Λέσβῳ παροῦσαι κατὰ ξυμμαχίαν δύο καὶ δέκα τριήρεις τῶν μετὰ Λοδοβίκου, ὧν ἐναυάρχει Σέργιος, ἃς προαπέστειλε Λοδοβίκος βοηθοὺς Μιτυλήνῃ, εἴ γε ὁ στόλος αὐτῇ ἐπιπλεύσειε τοῦ βασιλέως (ἐλέγετο γάρ)· αἳ προμαθοῦσαι τὸν ἐπίπλουν τοῦ βασιλέως στόλου, δείσασαι εὐθὺς ἀπέπλευσαν ἐς Χίον κἀκεῖ περιέμενον. (5) Ἰσμαῆλος δὲ ἐπεὶ δέκα ἡμέρας τὸ ἄστυ πολιορκῶν οὐδὲν ἤνυεν, ἐμπρήσας τε τὰς πρὸ τοῦ ἄστεος οἰκίας καὶ καταδραμὼν τὰ πολλὰ τῆς Λέσβου καὶ λῃσάμενος καὶ δῃώσας καὶ κώμας διαρπάσας καὶ λείαν ὅτι πλείστην ἐλάσας καὶ ταῖς ναυσὶν ἐνθέμενος ἀπέπλευσεν ἐπὶ οἴκου ἐς Καλλιούπολιν, καὶ διέλυσε τὸν στόλον. (6) Σέργιος δὲ ξὺν ταῖς δώδεκα ναυσὶ μαθὼν ἀναχθέντα τὸν στόλον ἀπὸ τῆς Λέσβου, πάλιν ἐπανῆκεν ἐς Μιτυλήνην, καὶ πολλὰ ὀνειδισθείς τε καὶ μεμφθεὶς παρὰ τῶν αὐτῆς ἡγεμόνων, ὅπως κατὰ ξυμμαχίαν τε ἥκων αὐτοῖς καὶ βοηθήσειν ἐπαγγειλάμενος καὶ κεναῖς ἐλπίσιν ἀναρτήσας αὐτούς, ἐν τῷ καιρῷ τῆς ἀνάγκης καταλιπὼν φυγὰς ᾤχετο, ἀνιαθεὶς ἢ μᾶλλον αἰσχυνθεὶς ἀπέπλευσεν ἐς Λῆμνον καὶ μετὰ ταῦτα ἐς Ῥόδον παρὰ Λοδοβίκον. (7) Μιτυληναῖοι δὲ κατὰ τοὺς νηπίους πληγέντες νοῦν ἔσχον, καὶ μετὰ ταῦτα πέμπουσι πρέσβεις ὡς βασιλέα, ἀπολογούμενοί τε περὶ ὧν ἐνεκαλοῦντο, καὶ τὸν δασμὸν ἀποδιδόντες ὃν ὤφειλον, καὶ δεόμενοι σπονδῶν τυχεῖν καὶ εἰρήνης τοῦ λοιποῦ· καὶ μέντοι γε καὶ τυγχάνουσι, δεξαμένου τοῦ βασιλέως σφᾶς. (8) Τὸ δ' αὐτὸ καὶ Χῖοι καὶ Νάξιοι πεποιήκασιν ὕστερον, δείσαντες μὴ ὅπερ ἔπαθον οἱ Μιτυληναῖοι, καὶ αὐτοὶ πάθωσι, καὶ πέμψαντες πρέσβεις τόν τε δασμὸν ὃν ὤφειλον ἀπέδοσαν, καὶ τὰς μετὰ βασιλέως ξυνθήκας ἀνενεώσαντο. (9) Βασιλεὺς δὲ τὸ λοιπὸν τοῦ φθινοπώρου διαγαγὼν ἐν Ἀδριανουπόλει, χειμῶνος ἀρχομένου ἀφικνεῖται ἐς τὸ Βυζάντιον, καὶ ἑξηκοστὸν ἤδη καὶ ἕκτον ἔτος πρὸς τοῖς ἐνακοσίοις τε καὶ ἑξακισχιλίοις τοῖς ὅλοις ἠνύετο, ὄγδοον δὲ τῆς ἀρχῆς τῷ βασιλεῖ.

XI. Καταλαβὼν δὲ τὴν Κωνσταντίνου τῶν τε ξυνήθων φροντίδων εἴχετο, καὶ τῆς κατ' αὐτὴν ἐπιμελείας ὅλος ἦν καὶ τοῦ ταύτης ξυνοικισμοῦ· καὶ πρῶτα μὲν τῶν Πελοποννησίων οὓς ἤγαγεν, ὅσοι τούτῳ ἐδόκουν διαφέρειν τε τῶν ἄλλων καὶ τέχνας ἠπίσταντο, ἀπολεξάμενος, ἐντὸς κατοικίζει τῆς πόλεως, τοὺς δὲ λοιποὺς ἐν τῇ ἔξω χώρᾳ κατὰ κώμας καθίζει, διαδοὺς αὐτοῖς καὶ σῖτον καὶ ζεύγη βοῶν καὶ πᾶσαν ἄλλην αὐτάρκειάν τε καὶ χρείαν ἐς τὸ παρόν, ὥστε ἀροῦν καὶ γεωργίᾳ προσέχειν. (2) Μετὰ δὲ τοῦτο πέμψας ἐς Ἄμαστριν, πόλιν Παφλαγονίας παράλιον ἐν τῷ Εὐξείνῳ πόντῳ, ἀποικίζει τὸ πλέον αὐτῆς καὶ μᾶλλον

X. Hanc Ismaelis expeditionem unus Critobulus fusius exponit. || — Κἀνταῦθα γενόμενος· εὐθὺς μεταπέμπεται τὸν Ἰσμαῆλον] Expeditio igitur exeunti anno 6966 assignanda foret; at Ducas p. 338, 17, gravissimus de rebus Lesbiorum testis, eam mense Augusti anni 6965 susceptam esse dicit. Eandem verbo tangit Chalcocondylas p. 519, 16, Lesbiorum historiam summis lineolis adumbrans. || — ἐξαρτίσαντα] ἐξαρτήσαντα, et similiter § 3 ἐξαρτήσας codex. || — § 2. Δωριέως υἱεῖς δύο] Δωριεὺς ap. Ducam p. 328, 11 vocatur Δόρινος ὁ Γατελοῦζος, qui obiit die trigesimo mens. Junii an. 6963 (1455). Filius major et in regno successor Δομινικός (ἑλληνιστὶ δὲ Κυριακός, ut ait Chalcoc. p. 520,7), junior Νικόλαος, quem Critobulus lib. 4, c. 11 Νικόρηζον vocat. || — § 2. ἐνεοχμ.] ἐνεωχμ. cod. || — § 3. Μόλυβον] olim Μήθυμνα. || — § 6. δώδεκα] δυόδεκα cod. || — τε καὶ μεμφθεὶς] add. mgo. || — ἕκτον] Literæ ἕκ et deinde vox ὄγδοον in rasura scriptæ.

XI. § 2. ἐς Ἄμαστριν] Amastrianorum pars major Constantinopolim transducta postquam ista Genuensium urbs Turcis se dederat, quod quidem hoc ipso anno 6967 (1459) accidisse censeo. Expeditionem contra Amastrim, quam neque Ducas neque Critobulus commemorant, narrant Seadeddinus 2, p. 193 et Chalcocondylas, qui postquam de turbis in Peloponneso post Mechemetis discessum de novo a Thoma despota motis (an. 1459) dixerat, pergit p. 459: βασιλεὺς δὲ ἤλαυνε τὸ θέρος τοῦτο (1459) ἐπὶ Σμενδροβήν... Καὶ ὡς αὐτῷ προσεχώρησεν ἡ πόλις, ὥρμητο μὲν ἐς Πελοπόν-

δυνάμενον, ἔτι δὲ καὶ Ἀρμενίων τοὺς ὑπ' αὐτῷ δυνατωτάτους τε καὶ εὐπορίᾳ καὶ πλούτῳ καὶ τέχναις καὶ τοῖς ἄλλοις ἐπιτηδεύμασι διαφέροντας καὶ δὴ καὶ τὴν τάξιν ἐμπορικοὺς πάντας ἀναστήσας τῆς αὐτῶν μετοικίζει ἐνταῦθα, οὐ μόνον δέ, ἀλλὰ καὶ τῶν ὑπ' αὐτῷ ἄλλων γενῶν τοὺς τοιούτους. (3) Ἔπειτα δὲ ξυγκαλέσας πάντας τοὺς ἐν τέλει καὶ μέγα παρ' αὐτῷ δυναμένους καὶ πλούτῳ πολλῷ καὶ εὐπορίᾳ κομῶντας, κελεύει λαμπράς τε οἰκίας οἰκοδομεῖν ἐν τῇ πόλει, ᾗ ἕκαστος βούλοιτο, καὶ βαλανεῖα κατασκευάζειν καὶ πανδοχεῖα καὶ ἀγορὰς καὶ ἐργαστήρια πλεῖστα καὶ κάλλιστα, νεώς τε ἀνεγείρειν καὶ ἱερά, καὶ πολλοῖς ἄλλοις τοιούτοις ἀγάλλειν αὐτὴν καὶ κοσμεῖν, μηδενὸς φειδομένους, ὡς ἕκαστος εὐπορίας ἔχει τε καὶ δυνάμεως. (4) Καὶ αὐτὸς δὲ τὸν κάλλιστον ἀπολεξάμενος χῶρον ἐν μέσῃ τῇ πόλει καὶ μᾶλλον τῶν ἄλλων ἀνέχοντα, νεών τε ἀνεγείρειν ἐν τούτῳ κελεύει τοῖς ἐν αὐτῇ προϋπάρχουσι μεγίστοις τε καὶ καλλίστοις τῶν νεῶν ἁμιλλώμενον ἐς ὕψος καὶ κάλλος καὶ μέγεθος, καὶ ὕλας ξυλλέγειν τε καὶ ἑτοιμάζειν πρὸς τοῦτο παντοίας τε καὶ καλλίστας, μαρμάρων τε καὶ λίθων ἄλλων διαφανῶν καὶ τιμίων, ἔτι δὲ κιόνων πλῆθος μεγέθει καὶ κάλλει διαφερόντων, καὶ σίδηρον καὶ χαλκὸν ὅτι πλεῖστον καὶ μόλυβδον καὶ πάσην ἄλλην ὕλην ἐπιτήδειον. (5) Ἔτι δὲ καὶ βασίλεια οἰκοδομεῖν ἐπέταξεν ἐπὶ τῆς πρὸς θάλασσαν ἀνεχούσης ἄκρας τοῦ παλαιοῦ Βυζαντίου, κρείττω τοῖς ὅλοις καὶ θαυμαστότερα τῶν προτέρων ὥρᾳ τε καὶ μεγέθει καὶ πολυτελείᾳ καὶ χάριτι, πρὸς δὲ τούτοις νεώρια κατασκευάζειν πλεῖστα καὶ κάλλιστα ἐς ὑποδοχήν τε νεῶν καὶ τῶν τούτων ἀποσκευῶν, οἴκους τε οἰκοδομεῖν ἐχυρωτάτους τε καὶ μεγίστους ἐς φυλακὴν ὅπλων τε καὶ μηχανῶν καὶ τῶν ἄλλων τοιούτων. (6) Καὶ ἄλλα δὴ πολλὰ τοιαῦτα ἐπέταξε γίνεσθαι κόσμον τε τῇ πόλει φέροντα καὶ κοινὴν ὠφέλειαν, προσέτι δὲ καὶ χρείαν ἀναγκαίαν ἔς τε τοὺς πολέμους καὶ τὰς μάχας αὐτῷ, γίνεσθαι δὲ ταῦτα πάντα κατὰ σπουδήν, ἄρχοντας ἐπιστήσας τοῖς ἔργοις τοὺς ἐμπειροτάτους τε καὶ σπουδαιοτάτους. (7) Ἔγνωστο γὰρ αὐτῷ διὰ πάντων αὐταρκεστάτην τε καὶ δυνατωτάτην ἀποφῆναι τὴν πόλιν καὶ οἵα τὸ παλαιὸν ἦν ἔν τε δυνάμει καὶ πλούτῳ καὶ δόξῃ καὶ ἐπιστήμαις καὶ τέχναις καὶ πᾶσιν ἄλλοις ἐπιτηδεύμασί τε καὶ παραδείγμασι τῶν καλῶν καὶ δημοσίοις καὶ κοινοῖς οἰκοδομήμασί τε καὶ ἀναθήμασι.

XII. Ξὺν τούτῳ δὲ καὶ Μαχουμούτης ὁ τῆς Εὐρώπης ἡγεμών, πρῶτός τε ὢν τῶν παρ' αὐτῷ καὶ μέγα δυνάμενος μετ' αὐτόν, καὶ τῶν ὅλων πραγμάτων τῆς ἀρχῆς ἐπιμελητής, νεών τε ἀνεγείρει μέγιστον καὶ περικαλλέστατον ἐν ἀπόπτῳ τῆς πόλεως, λίθοις τε διαφανέσι καὶ μαρμάροις ἀστράπτοντα καὶ κιόνων ὥρᾳ τε καὶ μεγέθει διαπρεπέστατον, ἔτι δὲ γραφικῇ τε καὶ γλυφικῇ τέχνῃ καλῶς ἠσκημένον, καὶ χρυσῷ πολλῷ καὶ ἀργύρῳ καταλαμπόμενον, καὶ πολλοῖς καὶ καλοῖς ἄλλοις κοσμούμενον δώροις τε καὶ ἀναθήμασι καὶ φιλοτιμήμασι. (2) Περὶ αὐτὸν δὲ πτωχοτροφεῖα καὶ πανδοχεῖα κατασκευάζει καὶ λουτρὰ φιλοτίμως ἄγαν ἔς τε χρείαν καὶ κάλλος ἅμα καὶ μέγεθος ἠσκημένα. Πρὸς δὲ τούτοις οἰκίας τε λαμπρὰς οἰκοδομεῖ ἑαυτῷ καὶ πολυτελεῖς, καὶ παραδείσους φυτεύει περὶ αὐτάς, παντοίοις κομῶντας φυτοῖς ἔς τε χάριν καὶ τέρψιν καὶ ἀπόλαυσιν ἱκανούς, καὶ ὑδάτων ἀφθονίαν ἐσάγει καὶ πολλὰ τοιαῦτα ποιεῖ, ἑπόμενός τε τῇ τοῦ κρατοῦντος γνώμῃ κατάκρας καὶ ἅμα κοσμῶν καὶ αὐτὸς τὴν πόλιν ὡς δυνατὸν ἰδίαις τε δαπάναις καὶ ἀναλώμασι καὶ κοινωφελέσιν οἰκοδομήμασί τε καὶ ἀναθήμασι.

XIII. Μετὰ ταῦτα δὲ καὶ τριήρεις ὁ βασιλεὺς πανταχοῦ τῆς αὐτοῦ ναυπηγεῖσθαι κελεύει, τὸ τῆς θαλάσσης κράτος εἰδὼς ἀναγκαῖόν τε ὂν αὐτῷ καὶ τὴν ταύτης ἀρχὴν καὶ μάλιστα δὴ ἔν γε ταῖς ὑπερορίοις ἐκστρατείαις· καὶ γὰρ ᾔδει κἂν τοῖς πρόσθεν ἔργοις αὐτῷ τὰ μέγιστα ξυνενεγκόντα τὸν κατὰ θάλασσαν στόλον· ἀλλὰ δὴ καὶ τῶν πάλαι βασιλέων τοὺς τὰ μέ-

---

νησον στρατεύεσθαι, μετὰ δὲ ἀφικόμενος ἐς Βυζάντιον καὶ ἐς τὴν Ἀσίαν διαβὰς ἤλαυνεν ἐπὶ Ἄμαστριν τὴν Ἰανυίων πόλιν. In his erravit auctor Semenderæ deditionem ad annum 1459 referens, at recte huic anno Amastridis occupationem vindicari e Critobulo collegeris. Hammerus quidem 2, p. 50 cum eoque Zinkeisenus 2, p. 337 in eadem expeditione anni 1461 tum Amastrin tum Sinopen et Trapezuntem subactas esse opinantur, ejusque sententiæ argumentum ex eo Hammerus repetit, quod omnes auctores Turcici tres illas urbes eodem anno occupatus esse perhibent. At vis hujus argumenti eo infringitur, quod annum illum fuisse 864 Hegiræ sive 1459 p. Chr. produnt; id enim ut de Amastridis deditione recte traderetur, sic minime quadrat in Sinopen et Trapezuntem, quas anno 1461 Turcarum imperio adjunctas esse liquido constat. Deinde vero non is est scriptorum Turcicorum consensus quem dicit Hammerus. Nam Seadeddinus, quem unum ego in Bratuttii versione legere potui, expeditionem contra Amastrim, cujus tempus non indicat, distinguit ab expeditione contra Sinopem et Trapezuntem (anno 864 Heg. falso attributam); nam ab Amastri Mechemetes domum rediit, sicut Chalcocondylas quoque narrat. Verba Seadeddini hæc sunt p. 194 : *La quale (città) presa et presidiata, il re ritorno alla sua real residenza. Monsignor Nisri ha scritto, che havendo il re preso Amassira, mandò quel principe con la sua moglie, figliuoli, baroni et robbe a Constantinopoli, e fece trasportar gl' habitanti del paese d'Achlagan all' Amassira.* Deinceps narrat bellum contra Sinopes et Trapezuntis principes. De Amastrianis Byzantium abductis cf. Chalcoc. p. 460 : παραλαβὼν δὲ τὴν πόλιν, τὸ μὲν τρίτον μέρος αὐτοῦ καταλιπὼν ἐν τῇ πόλει, τὰς δὲ δύο μοίρας ἀγαγὼν τῆς πόλεως ἐς Βυζάντιον κατῴκισε, καί τινας τῶν παίδων αὐτοῦ τῆς πόλεως ἐξελόμενος ἑαυτῷ ἐκομίζετο ἐπ' οἴκου. Causam hujus expeditionis aliam Seadeddinus tradit, aliam Chalcocondylas. || — § 4. νεών] De templo Mechemetis sultani v. Hammer l. l. p. 73 et *Constant. u. der Bosporus* 1, p. 387 sqq. Architectus ejus Christodulos Græcus fuit.

XII. § 1. De templo, quod Machumutes vezirus maximus ædificavit, vid. Hammer. *Constant. u. d. Bosp.* 1, p. 430. || — ἐν ἀπόπτῳ τῆς πόλεως] add margo.

γιστα δυνηθέντας ἀκριβῶς ἐξετάζων τε καὶ σκοπούμενος εὕρισκε τὰς κατὰ θάλασσαν πράξεις μεγίστας τε οὔσας καὶ ὀνομαστοτάτας καὶ τὰ μέγιστα κατωρθωκότας διὰ θαλάσσης αὐτούς. Διά τοι τοῦτο καὶ τὸ ταύτης κράτος ἐς ἑαυτὸν ἐβούλετο μεταστῆσαι· γῆ γὰρ καὶ θάλασσα ξυνελθοῦσαι ὑπὸ μίαν ἀρχὴν, μεγίστην ταχέως αὐτὴν ἀπεργάζονται. Καὶ ταῦτα μὲν οὕτως.

XIV. Τοῦ δ' αὐτοῦ χειμῶνος καὶ Κριτόβουλος ὁ Ἰμβριώτης λόγους προσφέρει τοῖς δυνατοῖς τῶν Λημνίων περὶ ἐνδόσεως τῆς νήσου τῷ βασιλεῖ· ἔτι γὰρ κατεῖχον Ἰταλοί. Οἱ δὲ δέχονται καὶ παρέχουσι τούτῳ πιστὰ ἦ μὴν δώσειν τὴν νῆσον ἀφικομένῳ· ἦν γὰρ αὐτοῖς ἐν τοῖς πρώτοις τῶν φίλων ἀνὴρ, καὶ αὐτοὶ ἐπίστευον αὐτῷ τά γε τοιαῦτα, καὶ προέπεμπον κρύφα ἀπαλλαγῆναί τε βουλόμενοι τῆς βαρύτητος τῶν Ἰταλῶν καὶ, τὸ μέγιστον, δεδιότες τὸν στόλον τοῦ βασιλέως, μήποτε ἐπελθὼν αἴφνης αὐτοῖς μεγάλως βλάψειε· Ἰταλοὶ γὰρ οὐκ ἠδύναντο βοηθεῖν· καὶ διὰ τοῦτο ἐβούλοντο ἀποστάντες αὐτῶν προσχωρῆσαι τῷ βασιλεῖ. (2) Κριτόβουλος δὲ τὰ πιστὰ λαβὼν παρ' αὐτῶν, ἀφικνεῖται ἐς τὴν Ἀδριανοῦ· καὶ πέμπει δὴ γράμματα κατὰ τάχος ἐς τὸν δεσπότην Δημήτριον μηνύοντα καιρὸν εἶναι τὰς νήσους αἰτῆσαι παρὰ τοῦ βασιλέως, Ἴμβρον καὶ Λῆμνον, ἑτοίμου τε ὄντος δώσειν αὐτοῦ, καὶ αὐτὸς εἰπὼν δυνατὸς εἶναι τὴν Λῆμνον ἑλεῖν καὶ τοὺς Ἰταλοὺς ἐξελάσαι· εἶχε γὰρ ἤδη καὶ πρότερον περὶ τούτου γράμματα τοῦ δεσπότου. (3) Δεσπότης δὲ τοῦτο μαθὼν, ὡς τάχιστα τὸν Ἀσάνην ἐκπέμπει πρέσβυν ὡς βασιλέα, καὶ παρ' αὐτοῦ τὰς νήσους αἰτεῖ καὶ λαμβάνει, ξυνθέμενος δὴ καὶ δασμὸν ἐτήσιον ὑπὲρ τούτων ἀποφέρειν βασιλεῖ τρισχιλίους χρυσίνους, ξυμπαρόντος γε καὶ αὐτοῦ Κριτοβούλου τότε ἐν Ἀδριανουπόλει (τε) καὶ ξυμπράττοντος. (4) Δεξάμενος δὲ ὁ Κριτόβουλος τὰ παρὰ τοῦ βασιλέως γράμματα, ἐπανῆλθεν ἐς Ἴμβρον ὡς τάχιστα· καὶ μίαν μόνην ἡμέραν αὐτοῦ διαγαγὼν, τῇ ὑστεραίᾳ ἐμβὰς ἐς πάραλον καὶ λαθὼν τὰς ἐφορμούσας τε καὶ περιπλεούσας τὴν νῆσον προφυλακίδας νῆας τῶν Ἰταλῶν, νυκτὸς καταίρει ἐς Λῆμνον, καὶ ἐσέρχεται ἐν τῷ φρουρίῳ, τῶν Καστριωτῶν περὶ πρώτην που φυλακὴν δεξαμένων αὐτόν. Κοινολογησάμενος δὲ τῷ τε φρουράρχῃ καὶ τοῖς μετ' αὐτοῦ (εἶχε γὰρ καὶ τοῦτον μετὰ τῶν ἄλλων ξυμπράττοντα), εὐθὺς ἀναλαβόντες ἱππεῖς πέντε καὶ εἴκοσιν ἀφικνοῦνται ἐς τὸ τοῦ Κοτζίνου ἄστυ περὶ ὄρθρον βαθὺν, καὶ ἐσέρχονται ἐν αὐτῷ, ἀνοιξάντων εὐθὺς τὴν πρὸς νότον πυλίδα τῶν ἔνδοθεν ξυμπραττόντων αὐτοῖς· εἶχε γὰρ πάντας τούτους ᾗπερ ἔφην προκατεσκευασμένους τε καὶ ταὐτὰ ξυμβουλομένους αὐτῷ. (5) Εἰσελθόντα δὲ δέχονται πάντες οἱ τοῦ ἄστεος ἄσμενοι, καὶ κοινῇ ξυνδραμόντες ξὺν ὅπλοις κατακλείουσι τοὺς Ἰταλοὺς ἐν τοῖς ἐπαρχικοῖς δημοσίοις οἴκοις, πέντε καὶ τεσσαράκοντα ὄντας, βουληθέντας μὲν ἐς χεῖρας αὐτοῖς ἰέναι καὶ διὰ μάχης γενέσθαι καὶ ὡρμηκότας ἤδη, μὴ δυνηθέντας δέ. Τί γὰρ καὶ εἶχον οὗτοι δρᾶσαι πρὸς τοὺς ἐκ τοῦ ἄστεος ἅπαντας; Τέλος δὲ, ἡμέρας ἤδη γενομένης, προσχωροῦσι καὶ ἄνευ ὁμολογίας, καὶ παραδιδόασι σφᾶς αὐτοὺς Κριτοβούλῳ χρήσασθαι ὅ τι καὶ βούλοιτο, πιστεύσαντες αὐτῷ. (6) Ὁ δὲ ἀπέλυσε πάντας εἰπὼν, « εἰ μὲν αἱρεῖσθε μεθ' ἡμῶν εἶναι καὶ κατοικεῖν ἐν τῇ νήσῳ, δεχόμεθά τε ὑμᾶς καὶ τὰ ἐπιτήδεια ἀρκοῦντα παρέξομεν· εἰ δ' οὔ, ἄπιτε ὅποι φίλον ἑκάστῳ. » Τὸν δέ γε τούτων ἄρχοντα Καλαβρέζον δώροις τε πολλοῖς καὶ ξενίοις τιμήσας ἀπέπεμψε μετ' εἰρήνης ἐς Εὔβοιαν ἀπελθόντα. (7) Μετὰ δὲ τοῦτο πέμψας ἄγγελον ἐς τὸν τοῦ Παλαιοῦ Κάστρου καλουμένου (τοῦτο δ' ἦν ἡ παλαιὰ Μυρινούπολις) φρούραρχον Μικέλην, αἰτεῖ τὴν ἀκρόπολιν, ὑπισχνούμενος αὐτῷ καὶ δῶρα δώσειν καὶ τιμήσειν ἱκανῶς. Ἔστι γὰρ ἡ τῆς Μυρινουπόλεως ἀκρόπολις ἐχυρωτάτη καὶ πάντη ἀνεπιχείρητος καὶ τῶν ὀνομαστῶν ἐπ' ἀσφαλείᾳ ἐκ πάνυ παλαιοῦ, ἐπ' ἄκρας τε ὑπερανῳκισμένη τῆς πόλεως ἐφ' ὑψηλοῦ καὶ τριπλῷ τείχει παλαιτάτῳ καὶ λίθοις μεγίστοις κατησφαλισμένη τε καὶ κατωχυρωμένη, καὶ πᾶσαν ὑφ' αὐτὴν ἔχουσα καὶ καταδουλοῦσα τὴν πόλιν. (8) Καὶ διὰ τοῦτο ἐβούλετο τοῦτον ὑπαγαγέσθαι λόγοις ἡμέροις τε καὶ προσηνέσι καὶ τὸ ὅλον εἰρηνικοῖς. Ὁ δὲ, ἅτε νέος ὢν καὶ πιστεύων τῇ τῆς ἀκροπόλεως ἐχυρότητι καὶ ἅμα φυλακῇ ἰσχυρᾷ καὶ σιτήσει (εἶχε γὰρ ἐντὸς μεθ' ἑαυτοῦ καὶ τὰ ἐπιτήδεια ἄφθονα καὶ ἀρκοῦντα ἐς ὅλον ἐνιαυτὸν, καὶ ἄνδρας ὀγδοήκοντα καταφράκτους), λόγοις μὲν οὐκ ἀποκρίνεται, αἵματι δὲ ξίφος ἐγχαράξας ἐς χάρτην ἀποπέμπει Κριτοβούλῳ, τοῦτο δηλῶν, ὡς « αἵματι καὶ σιδήρῳ μόνῳ τὴν ἀκρόπολιν λήψῃ, ἄλλως δ' οὔ, » καὶ ἅμα προσεπαπειλησάμενος ἐν τῷ χάρτῃ καὶ τοῦτο μετ' εἰρωνείας· « μὴ οὕτω τὴν ἀκρόπολιν αἴτει, οὐ γὰρ λήψῃ· ἀλλ' εἴ γε ἀνὴρ εἶ, αὐτὸς ἐλθὼν ξὺν ὅπλοις λάμβανε ταύτην. »

XIII. ὀνομαστοτάτας] sic margo, περιφανεστάτας text.

XIV. Quæ c. 14 et 15 de Italis e Lemno Critobuli opera pulsis leguntur, alius nemo tradidit. Chalcocondylas p. 470, 1 Lemnum et Imbrum ab Ismaele classis præfecto recuperatas esse dicit. Idem p. 469, 3 narrat Demetrio despotæ propterea quod, Thoma fratre res novas moliente, ipse quietem ageret, Lemnum, Imbrum, Thasum et Samothracen adjudicatas esse. || — § 2. παρ' αὐτῶν] add. margo. || — δώσειν αὐτοῦ] sc. τοῦ βάσιλέως, nisi fort. legendum αὐτῷ. || — § 3. πρέσβυν] πρέσβιν cod. h. l. et alibi. || — § 4. Καστριωτῶν] quorum oppidum *Kastro* etiamnum vocatur || — εὐθὺς] μηδὲν μελλήσαντες margo. || — Κοτζίνου] Sic etiam Phrantzes p. 447, 23 locum vocat; hod. *Kokkino*. || — § 5. διὰ μάχης γενέσθαι] sic margo, δ. μ. ἐλθεῖν text. Modo hoc modo illud ap. Thuc. legitur. || — § 7. Μικέλην] sic etiam c. 18, 1. Μιχαὴλ ὄνομα ad marg. || — Μυρινούπολις] Μιρηνούπολις cod. h. l. et paullo post c. 15, 1. Apud veteres Μύρινα πόλις. || — ἐφ' ὑψηλοῦ] Aut hoc aut ἐπ' ἄκρας τε abundat. || — καὶ ἅμα] καὶ ἄλλα?

XV. Κριτόβουλος δὲ ἡμέρας τέσσαρας ἐν τῷ Κοτζίνου ἄστει διαγαγὼν καὶ καταστησάμενος τὰ αὐτοῦ, τῇ ὑστεραίᾳ ἀναλαβὼν τετρακοσίους ἱππεῖς εὖ ὡπλισμένους καὶ πεζῶν ὁπλίτας οὐκ ἐλάσσους τριακοσίων ἀφικνεῖται ἐς Μυρινούπολιν, καὶ στρατοπεδεύεται πόρρω τοῦ ἄστεος, τοῦ μὴ λυμήνασθαι τούς τε ἵππους καὶ στρατιώτας τὰς περὶ τοῦ ἄστεος ἀμπέλους καὶ τοὺς ἀγρούς· καὶ πέμψας ἄγγελον λαλεῖ πάλιν εἰρηνικὰ τῷ φρουράρχῃ καὶ πειρᾶται λόγοις ἡμέροις αὐτὸν ὑπαγαγέσθαι καὶ ὑποσχέσεσιν. (2) Ὁ δὲ τήν τε παροῦσαν δύναμιν πρὸ ὀφθαλμῶν ὁρῶν, καὶ τοὺς ἐντὸς τῆς πόλεως ὑφορώμενός τε καὶ ἅμα δεδιὼς μὴ τοῖς ἔξωθεν ἐπαρθέντες ἢ καὶ κοινολογησάμενοι μετὰ τούτων καὶ αὐτοὶ ἔνδοθεν ξυνεπαναστῶσι, καὶ τήν τε ἀκρόπολιν ἀποβαλεῖ καὶ αὐτὸς κινδυνεύσεις, δέχεται τοὺς λόγους εἰρηνικῶς καὶ ξυνθήκας ποιεῖται καὶ προθεσμίαν αἰτεῖ καὶ λαμβάνει μηνῶν τριῶν, ἕως οὗ κοινωσάμενος τῷ τοῦ τῆς Ῥόδου ἡγουμένῳ μεγάλῳ μαΐστρῳ (Λοδοβίκος γὰρ προαπεπεπλεύκει ἐς Ἰταλίαν, ἐπίτροπον τοῦτον ταῖς νήσοις καταλιπών) δέξηται καὶ παρ' αὐτοῦ ξύνθημα τοῦ παραδοῦναι τήν τε ἀκρόπολιν καὶ τὸ ἄστυ· καὶ ὁμήρους ἐπὶ τούτοις δίδωσι καὶ πιστά. (3) Κριτόβουλος δὲ ταῦτα διαπραξάμενος ἐκπέμπει δύο τῶν Λημνίων ἀρχόντων ἐς Πελοπόννησον ἀγγελοῦντάς τε τῷ Δημητρίῳ τὰ πεπραγμένα οἱ, καὶ ἄρχοντας αἰτήσοντας ἀφῖχθαι αὐτῷ τοῦ παραδοῦναι τὴν νῆσον καὶ τὰ πολίσματα. Αὐτὸς δὲ περιέμενεν ἐν Λήμνῳ. Καὶ ταῦτα μὲν οὕτω.

XVI. Βασιλεὺς δὲ ἅμα ἦρι ἀρχομένῳ ἐκστρατεύει κατὰ τῶν προσοίκων τῷ Ἰονίῳ κόλπῳ Ἰλλυριῶν ἐν δεξιᾷ ἐσπλέοντι τοῦτον περί που τὴν παλαιὰν Ἐπίδαμνον, οἳ δὴ βάρβαροι ὄντες τὸ ἐξ ἀρχῆς Ταυλάντιοί τε καὶ Μαχάονες ἐκαλοῦντο, νομάδες οἱ πλείους αὐτῶν καὶ αὐτόνομοι καὶ ἀβασίλευτοι ἐκ πολλοῦ· οἰκοῦσι δὲ ὄρη τε μεγάλα καὶ ὑπερύψηλα καὶ δυσπρόσοδα, ἔχοντες ἐν αὐτοῖς καὶ φρούρια πλεῖστα καὶ ἐρυμνὰ καὶ πολίσματα ἐχυρὰ ἐν τῇ παραλίᾳ τοῦ Ἰονίου, ἥ τε χώρα πᾶσα αὐτῶν πανταχόθεν ὠχύρωται δυσχωρίαις τε μεγάλαις καὶ ὕλαις βαθείαις καὶ τόποις ἀποτόμοις καὶ ἀποκρήμνοις. (2 Προστησάμενοι δὲ πρὸ χρόνων ὀλίγων ἐκ τῆς σφετέρας γενεᾶς Ἀρειανόν τινα καὶ Ἀλέξανδρον ἡγεμόνας ἑαυτῶν κατέχουσι τὴν χώραν ἰσχυρῶς, οὐκ ἐθέλοντες οὔτε σπένδεσθαι βασιλεῖ οὔτε δασμὸν ἀποφέρειν οὐθ' ὅλως κατακούειν αὐτοῦ· οὐ μόνον δὲ, ἀλλὰ καὶ τῆς αὐτῶν πολλάκις ἐκθέοντες καὶ λαθραίας ἐπιθέσεις καὶ ἐκδρομὰς ποιούμενοι ἔβλαπτον τὴν ὅμορον αὐτοῖς χώραν τοῦ βασιλέως. (3) Ἐστράτευσε μὲν οὖν ἐπὶ τούτους καὶ πρόσθεν Μωράτης ὁ βασιλεὺς, ὁ τοῦ βασιλέως πατὴρ, χειρὶ πολλῇ καὶ δυνάμει, καὶ ξυμβαλὼν αὐτοῖς νικᾷ τε τούτους καὶ τῶν τε παρόδων ἐκράτησε καὶ μέρος πολὺ τῆς αὐτῶν κατέδραμε καὶ ἐδῄωσε καὶ τῶν φρουρίων ἔνια ἐξεῖλε καὶ λείαν ὡς πλείστην ἤλασεν· οὐκ ἠδυνήθη δ' οὖν ὅμως ἑλεῖν καὶ ὑπαγαγέσθαι τέλεον, ἀλλ' ἐσπείσατο μόνον αὐτοῖς αἰτήσασιν, ἐφ' ᾧ καταβάλλειν αὐτῷ δασμόν τινα ἐπέτειον, ἐλάσας δὲ λείαν ὅτι πολλὴν ἐκεῖθεν καὶ τῇ στρατιᾷ διαδοὺς ἀνεχώρησεν. (4) Βραχὺν δὲ οὗτοι χρόνον ἐμμείναντες ταῖς ξυνθήκαις, αὖθις ἐνεόχμωσαν καὶ τόν τε δασμὸν οὐκ ἀπεδίδοσαν καὶ ἐκδρομὰς ποιούμενοι κατέτρεχον τὴν βασιλέως καὶ ἔβλαπτον. (5) Ἐπὶ τούτους οὖν τὴν στρατιὰν ἤλαυνεν ὁ βασιλεὺς, καὶ ἄρας ἐκ τῆς Ἀδριανοῦ παντὶ τῷ στρατῷ ἱππικῷ τε καὶ πεζικῷ, ᾔει διὰ τῆς αὐτοῦ καὶ ἀφικνεῖται ἐν τοῖς ὁρίοις αὐτῶν ἐν τρισὶ καὶ τριάκοντα ταῖς ὅλαις

XV. εὖ ὡπλισμένους] sic margo, καταφράκτους text. || — § 2. ἀποβαλλεῖ cod. || — § 3. Δημητρίῳ] mgo; δεσπότῃ text. || — παραδοῦναι] mgo; παραλαβεῖν text.

XVI. Quam in sqq. Critobulus narrat contra Alexandrum sive Scanderbegum, Albanorum principem, expeditionem, qua ipse Mechemetes exercitum duxisse, eoque hostem adegisse dicitur ut tributa pendere et obsides dare et milites Turcis præstare cogeretur, eam neque Græcus ullus neque Turcicus scriptor, neque Barletius Venetus in amplissimo suo de Scanderbegi rebus gestis opere commemorarunt. Quæ vero aliunde de Turcorum contra Albanos bellis comperta habemus, tam longe absunt ut Critobuli narrationi speciem aliquam veri concilient, ut eam merum potius scriptoris patrono suo blandientis figmentum esse coarguant. De istis rebus (tu videas Barletium (*De vita et gestis Scanderbegi* lib. VII sqq. in Loniceri Chron. Turc. tom. 3) et hujus vestigia legentes Hammerum 2, p. 46 sqq. et Zinkeisenium 2, p. 121 sqq. Ego summa momenta paucis comprehendisse satis habeo. Mechemetes igitur primo regni tempore ut ab aliis plurimis, sic ab Albanorum quoque principe tributum postulaverat. Quod quum Scanderbegus superbiens usque recusaret, tandem arma movens *Hamsa* dux in Albaniam irrupit. Cladem ille passus est et ipse in manus venit hostium. Successit *Debreas*, quem Albani prœlio ad Scopiam commisso debellarunt. Post hunc *Sevali* dux ad Belgradum pugna superior evasit, sed statim post partam victoriam Constantinopolim reversus est. Tum sub *Mose* duce nova Turci clade afficiuntur (Febr. 1457); mox alius exercitus sub *Isa* et *Hamza* ducibus inter Drinonem et Mathiam fluvios ad internecionem fere deletus est. Post hæc, vere an. 1458, *Umur* dux Scanderbego pacem et fœdus obtulit, ille vero oblata tunc quidem non admisit, deinde autem, quum a Ferdinando I contra Francogallos auxilio advocaretur, in Italiam profecturus inducias unius anni cum Turcis pepigit (1459). Ad has inducias ex temporum ordine referenda forent quæ Critobulus de Albanis an. 1459 a Mechemete subactis hariolatur. Ceterum nondum peracto induciarum tempore, Mechemetes bellum renovavit missis in Albaniam duobus exercitibus, quorum alter sub *Sinan* duce in Mocris montis faucibus, alter, quem *Hassanbeg* ducebat, ad Crojam urbem devicti sunt. Haud meliori deinceps fortuna eodem anno 1460 pugnarunt *Jussumbeg* et *Karadchabeg*. Post tantas ducum clades Mechemetes mense Maii an. 1461 pacem et fœdus denuo obtulit his conditionibus, ut Scanderbegus Joannem filium obsidem daret, et Turcorum copiis transitus per Albaniam ad Venetorum oppida pateret, atque liberum in Albania commercium Turcis concederetur. Quarum conditionum quamvis Scanderbegus nullam nisi quam postremo loco posui, admisisset, nihilo secius Mechemetes literis suis d. 21 mens. Junii an. 1461 datis Scanderbegum liberum suique juris Albaniæ principem declaravit et ratam habuit possessionem locorum omnium quibus bello Albani potiti erant. —

ἡμέραις, καὶ στρατοπεδεύεται αὐτοῦ, καὶ αὐτίκα κελεύει Μαχουμούτεα τρεῖς ἴλας ἀπολεξάμενον ὁπλιτῶν τε καὶ τοξοτῶν καὶ ὑπασπιστῶν καὶ δὴ καὶ τῶν ἀπὸ τῆς ἰδίας αὐλῆς τοὺς μαχιμωτάτους νυκτὸς ἐλθεῖν ἐπὶ τὰς παρόδους καὶ φθῆναι ταύτας προκατασχόντα πρὶν τοὺς Ἰλλυριοὺς ἥκειν πυθομένους. (6) Ὁ δὲ ἐλθὼν εὗρε ταύτας ἤδη κατεχομένας ὑπ' αὐτῶν· προεπύθοντο γὰρ τὴν τοῦ βασιλέως ἔφοδον· καὶ ξυμβαλὼν αὐτοῖς νικᾷ τε τούτους λαμπρῶς καὶ κρατεῖ τῶν παρόδων βίᾳ· καὶ ὁ βασιλεὺς κατόπιν ἐλαύνων μετὰ τῆς ὅλης στρατιᾶς ἐσβάλλει ἐς τὴν χώραν αὐτῶν, ἀκμάζοντος ἤδη τοῦ σίτου, καὶ καταδραμὼν αὐτῆς τὰ πλεῖστα τόν τε σῖτον διαφθείρει καὶ λείαν ὅτι πλείστην ἐλαύνει ἀνθρώπων τε καὶ βοσκημάτων παντοίων, καὶ φρούρια χειροῦται τὰ μὲν ἐξ ἐπιδρομῆς βίᾳ, τὰ δὲ καὶ πολιορκίᾳ ἑλών, καὶ κατασκάπτει τελείως, καὶ ἁπλῶς πᾶσαν τὴν ἐν ποσὶ καὶ κάτω χώραν αὐτῶν διαφθείρει, σκυλεύων τε καὶ ληιζόμενος καὶ δῃῶν κατὰ κράτος. (7) Οἵ δέ γε Ἰλλυριοὶ κατέχοντες ἤδη τὰ ὑψηλὰ (οὐ γὰρ ἐτόλμων καταβῆναι ἐς τὰ πεδία) καὶ τὴν αὐτῶν ἀγομένην καὶ φερομένην ὁρῶντες καὶ πορθουμένην κακῶς καὶ ἅμα δεδιότες περὶ αὐτῶν, ἐς ἀνάγκην καταστάντες τρέπονται ἐς ξυμβάσεις, καὶ κήρυκα πέμψαντες δέονται τοῦ βασιλέως σπονδῶν τυχεῖν, ὁμήρους τε δόντες καὶ πιστά, ἦ μὴν δασμόν τε ἐτήσιον ἀποφέρειν τῷ βασιλεῖ παῖδάς τε ῥητοὺς καὶ βοσκημάτων ἀγέλας (οὐ γὰρ ἦσαν αὐτοῖς χρήματα) καὶ στρατιώτας ἐν ταῖς ἐκστρατείαις τοῦ βασιλέως καὶ φίλους εἶναι καὶ ξυμμάχους ἀδόλους. (8) Καὶ ὁ βασιλεὺς δέχεται ἐπὶ τούτοις καὶ σπένδεται· καὶ λαβὼν τοὺς ὁμήρους καὶ λείαν ὅτι πλείστην ἐλάσας τε αὐτὸς καὶ τῇ στρατιᾷ διαδούς, ἐπάνεισιν ἐπὶ τὴν Ἀδριανοῦ, τελευτῶντος ἤδη τοῦ θέρους· καὶ διαγαγὼν τὸ φθινόπωρον ὅλον αὐτοῦ, χειμῶνος ἀρχομένου ἀφικνεῖται ἐς τὸ Βυζάντιον παραχειμάσων αὐτοῦ· καὶ ἑξηκοστὸν καὶ ἕβδομον ἔτος πρὸς τοῖς ἐνναχοσίοις καὶ ἑξακισχιλίοις τοῖς ὅλοις ἠνύετο, ἔνατον δὲ τῆς ἀρχῆς τῷ βασιλεῖ.

XVII. Βασιλεὺς δὲ γενόμενος ἐν τῇ Κωνσταντίνου καὶ μικρὸν διαναπαύσας αὑτὸν πάλιν δίδωσι ταῖς τῆς ἀρχῆς φροντίσι καὶ τῇ τῶν ὅλων διοικήσει καὶ διορθώσει, καὶ μάλιστα δὴ τῶν τῆς ἰδίας αὐλῆς καὶ τῶν (γε) στρατιωτῶν· φιλοκρινῶν τε πάντας αὐτοὺς καὶ ἐκλεγόμενος τοὺς ἀρίστους ἔν τε φρονήσει καὶ ἀνδρείᾳ καὶ μελέτῃ καὶ ἀσκήσει τῶν πολεμικῶν, καὶ προάγων καὶ προβιβάζων ἐπὶ τὸ πρόσω, διδούς τε ἑκάστῳ τὴν ἁρμόττουσαν χώραν καὶ τάξιν, καὶ τιμῶν ἐξ ἅπαντος τρόπου τοὺς ἀγαθοὺς ἐπιδόσεσί τε χρημάτων καὶ ἀρχαῖς καὶ ἀξιώμασι καὶ ταῖς ἄλλαις εὐποιίαις καὶ δωρεαῖς, μηδενὸς φειδόμενος. (2) Μετὰ δὲ τοῦτο τῶν σατραπῶν τοὺς ἀρίστους τε καὶ δοκιμωτάτους ἀναφανέντας τοῖς ἔργοις καὶ τὰς αὐτῶν σατραπείας τε καὶ ἀρχὰς ὡς ἔδει διῳκηκότας καὶ καλῶς ἄρξαντας μετεβίβαζεν ἐπὶ τὰς κρείττους τε καὶ μεγίστας τῶν τιμῶν τε καὶ ἀρχῶν, ἑτέρους τε αὖ ἐς τὰς αὐτῶν ἀντικαθίστα σατραπείας καὶ τάξεις, ὅσοι τούτῳ ἐδόκουν, ἧπερ ἔφην, τῶν σφόδρα χρησίμων τε καὶ σπουδαίων ἀνδρῶν, ἆθλα παρεχόμενος ἑκάστοις τὰ πρέποντα. (3) Ἔπειτα κηρύγματα διαπέμπει καὶ διατάξεις πανταχοῦ τῆς αὐτοῦ ἔν τε Ἀσίᾳ καὶ Εὐρώπῃ, πάντας, ὅσοι τῆς Κωνσταντίνου εἴτε αἰχμαλωσίᾳ εἴτε μετοικήσει εἴτε ἄλλως πως ἢ πρὸ τῆς ἁλώσεως ἢ μετὰ τὴν ἅλωσιν ἐν ἑτέραις πόλεσιν ᾤκουν, μετανιστῶν τε καὶ μετοικίζων ἐνταῦθα· ἦσαν γὰρ ἔτι τούτων πολλοὶ καὶ ἐν τῇ Ἀδριανοῦ καὶ Φιλίππου καὶ Καλλίου καὶ Προυσίου καὶ ἑτέραις πόλεσιν ἀπό τε τῆς αἰχμαλωσίας καὶ ἔτι πρότερον διασπαρέντες καὶ κατοικήσαντες ἐν αὐταῖς, ἐπιστήμονες ἄνδρες καὶ τῶν ἄγαν χρησίμων, οἳ ταῖς ἰδίαις ἐπιστήμαις χρώμενοι πανταχοῦ ἐν ὀλίγῳ καιρῷ καὶ εὐπορίαν ἔσχον πολλήν, καὶ πλοῦτον ἐκτήσαντο. Πάντας οὖν τοὺς τοιούτους μετοικίζει ἐνταῦθα, διαδιδοὺς τοῖς μὲν αὐτῶν οἰκίας, τοῖς δὲ πᾶσαν ἄλλην αὐτάρκειάν τε καὶ χρείαν ἀναγκαίαν παρέχων φιλοτίμως ἐς τὸ παρόν. (4) Ἐν δὲ ταῖς αὐταῖς ἡμέραις ἀποικίζει καὶ Φωκαιέας ἀμφοτέρους τοὺς ἐν Ἰωνίᾳ τῆς Ἀσίας, καὶ κατοικίζει καὶ αὐτοὺς ἐν τῇ πόλει. Ἐκπέμπει δὲ καὶ Ζάγανον τὸν Καλλιουπόλεως σατράπην καὶ ἡγεμόνα τοῦ στόλου παντὸς μετὰ τεσσαράκοντα νεῶν ἐν ταῖς νήσοις· ὃς ἀφικόμενος ἀνίστησι Θασίους τε καὶ Σαμόθρακας καὶ μετοικίζει ἐνταῦθα. Οὕτω σφοδρὸς ἔρως τῆς πόλεως ταύτης ἐνέπνευσεν αὐτοῦ τῇ ψυχῇ, καὶ τοῦ ταύτην αὖθις ἐν τῇ προτέρᾳ δυνάμει τε καὶ δόξῃ καὶ λαμπρότητι καταστᾶσαν ἐπιδεῖν. (8) Ἐπι-

Pacem hanc et ducum Turcicorum clades scriptores Turcici alto premunt silentio; inter græcos scriptores unus Chalcocondylas p. 432 pauca quædam eaque leviora, quæ ad res an. 1457 et 1458 contra Albanos gestas pertinent, commemoravit. || — § 1. Μαχάονες] Sic codex. Chaones Epiri auctor indicare videtur. || — 2 Ἀρειανόν τινα] Fort. legendum Ἀρειανίτην vel Ἀριανίτην. Certe intelligendus est Ἀριανίτης, Comneni filius, cujus filiam Scanderbegus duxerat, quemque in rebus contra Moratem II ab Albanis gestis cum Scanderbego Chalcocondylas p. 357 et passim componit. || — Ἀλέξανδρος] Nomen hoc turcice Σκενδέρης efferri monet Chalcoc. p. 437, 6. Apud Phrantz. p. 425, 14 Σκαντέρινο et p. 430, 3 Σκαντάρης legitur. || — § 3 et 4. Eadem iisdem fere verbis iterum habes lib. 5, c. 11, 2. || — § 5. ἀπολεξάμενον] sic margo, ἀναλαβόντα text. || — πυθομένους] add. margo. || — § 6. ἔννατον] literæ ἔννα in rasura scriptæ.

XVII. § 3. μετανιστῶν] Hæc verbi forma num alibi occurrat, quæro. Verbi μεθιστάω exempla afferuntur in Thes. gr. v. μεθιστάνω. || — καὶ ἔτι πρότερον διασπαρέντες] Numeris supra versum adscriptis indicatur varia lectio: διασπαρέντες καὶ ἔτι πρότερον. || — § 4. Φωκαιέας ἀμφοτέρους] Φωκέας ἀ. cod. Intellige incolas tum novæ tum veteris Phocææ. Cf. supra lib. 2, c. 5. || — Ζάγανον] Chalcocondyl. p. 470, 7: καὶ οὐ πολλῷ ὕστερον (postquam Ismael navarchus Lemnum et Imbrum Italis eripuerat) Ζάγανος, ὃς ἀπήλλαξέ τε τὸν Ἰσμαήλην καὶ κατέστη ἐς τὴν Καλλιούπολιν ἀρχήν, ἐπιπλεύσας Σαμοθράκην τε καὶ Θάσον ἐξελὼν ἠνδραποδίσατο. Καὶ τούτους μὲν κατῴκισε βασιλεὺς ἐς τὸ Βυζάντιον· τὰς δὲ νήσους, καὶ ὅσοι ἐς τὰ ἄκρα τῶν ὀρέων διέφυγον, μὴ ἀνδραποδισθῶσι ** (reliqua desunt). || — ἐνέπνευσεν] sic margo,

στατεῖ δὲ καὶ αὐτὸς ταῖς οἰκοδομίαις ταῖς ἑαυτοῦ, τοῦ τε νεὼ, φημὶ, καὶ τῶν βασιλείων, ἐπιμελῶς ξυγκομιδῇ τε σπουδαίᾳ οὐ μόνον τῶν ἀναγκαίων ἐς τὰ ἔργα ὑλῶν, ἀλλὰ δὴ καὶ τῶν ἄγαν φιλοτίμων καὶ περιττῶν, καὶ μετακλήσει πανταχόθεν τεχνιτῶν τῶν ἀρίστων, οἰκοδόμων τε, φημὶ, καὶ λιθοξόων καὶ ξυλουργῶν καὶ τῶν ἄλλην ἡντινοῦν ἐς τὰ τοιαῦτα ἐχόντων ἐμπειρίαν καὶ τέχνην· ἔργα τε γὰρ δὴ μεγάλα κατεσκευάζετο καὶ ἀξιοθέατα καὶ διὰ πάντων τοῖς μεγίστοις τε καὶ καλλίστοις τῶν παλαιῶν ἁμιλλώμενα, καὶ διὰ τοῦτο πολλῆς ἐδεῖτο τῆς ἐπιστασίας τε καὶ φροντίδος καὶ χειρῶν καὶ ὑλῶν διαφόρων τε καὶ λαμπρῶν καὶ δαπάνης καὶ ἀναλωμάτων ὡς πλείστων τε καὶ μεγίστων. (6) Εἶχε μὲν οὖν καὶ πολλοὺς περὶ ταῦτα τοὺς ἐφεστηκότας καὶ τῶν ἄγαν σπουδαίων τε καὶ ξυνέσει καὶ ἐμπειρίᾳ διαφερόντων ἐς τὰ τοιαῦτα, οὐ μὴν, ἀλλ' οὐδ' αὐτός γε ἠμέλει τῆς ξυνεχοῦς ἐπιστασίας τε καὶ θέας τῶν ἔργων, φιλοτίμως ἄγαν ἅπαντα πράττων καὶ φιλοκάλως καὶ τὸ ὅλον βασιλικῶς. Καὶ ὁ μὲν περὶ ταῦτ' εἶχεν.

XVIII. Ἐν τούτῳ δὲ καὶ Μιχέλης ὁ τὴν τοῦ Παλαιοῦ Κάστρου καλουμένου κατέχων ἄκραν ἐν Λήμνῳ ξυνέβη Κριτοβούλῳ καὶ παραδίδωσιν αὐτῷ τήν τε ἀκρόπολιν καὶ τὸ ἄστυ, λαβὼν παρ' αὐτοῦ χρυσοῦ νομίσματα χίλια, ἃ ξυνεξέτισεν ὁ δῆμος ὁ τῶν Λημνίων.

XIX. Τοῦ δ' αὐτοῦ χειμῶνος καὶ οἱ τῆς Πελοποννήσου δεσπόται διενεχθέντες ἐπὶ κακῷ τῷ σφετέρῳ ἐπολέμησαν ἀλλήλοις δι' αἰτίαν τοιαύτην· οἱ γὰρ ὑπό σφισιν ὄντες τῶν ἐν τέλει καὶ ἀρχὰς ἔχοντες καὶ προσόδους μεγάλας καὶ πόλεων καὶ φρουρίων ἐπιστατοῦντες οὐ καρπούμενοι τούτοις, ἀλλ' ἀπληστίᾳ τε γνώμης καὶ μοχθηρίᾳ τρόπων ἀεὶ τοῦ πλείονος ἐφιέμενοι καὶ νεωτέρων ἐπιθυμοῦντες, στασιάζοντές τε ἦσαν ἐν ἀλλήλοις αὐτοὶ καὶ πολεμοῦντες καὶ πάντα τάχει ξυγχύσεώς τε καὶ ταραχῆς ἐμπιπλῶντες, τούς τε δεσπότας ξυνέκρουόν τε καὶ ξυνέβαλλον ἀλλήλοις καὶ ξυνετάραττον, τὰ μὲν πρῶτα καὶ λάθρα τούτοις προσερχόμενοι καὶ διαλεγόμενοι παρὰ μέρος ἑκατέρῳ καὶ ὥς τινα τῶν ἀπορρήτων δῆθεν ἐκφαίνοντες καὶ λόγοις ψευδέσι καὶ διαβολαῖς κατ' ἀλλήλων αὐτοὺς ἐρεθίζοντες καὶ ὁπλίζοντες, μετὰ δὲ τοῦτο καὶ φανερῶς ἀναισχυντοῦντες ἤδη ἀφιστάμενοί τε τούτων καὶ αὐτομολοῦντες ἀφ' ἑτέρου πρὸς ἕτερον, ξυναφιστῶντές τε καὶ πόλεις καὶ φρούρια ἃ κατεῖχον, ὃ δὴ καὶ μᾶλλον τοὺς δεσπότας κατ' ἀλλήλων ἐξέμηνε καὶ ἐς φανερὰν ἔχθραν κατέστησεν. (2) Ἐπειράθησαν μὲν γὰρ καὶ ἅπαξ καὶ δὶς διαπρεσβευσάμενοι παρ' ἀλλήλους λόγοις λύειν τὰ διάφορα καὶ μὴ πολέμῳ· ὡς δ' οὐ προὐχώρει κατὰ νοῦν αὐτοῖς ἡ πεῖρα, τῶν χειρόνων κρατούντων, καὶ ἀξύμβατοι διελύοντο, οὕτως ἤδη καὶ ἐς φανερὸν κατέστησαν πόλεμον, καὶ καταστάντες ἐμάχοντο κατακράτος, ἐσβάλλοντες ἐς τὴν ἀλλήλων ἰσχυρῶς καὶ κατατρέχοντες καὶ ληιζόμενοι ταύτην, καὶ χώρας ἐμπιπρῶντες καὶ φρούρια χειρούμενοι, τὰ δὲ καὶ κατασκάπτοντες, καὶ λείαν ἐλαύνοντες καὶ πᾶσι τρόποις διαφθείροντες τὸ ὁμόφυλον· καὶ τοῦτο ἦν μέχρι πολλοῦ. (3) Μετὰ δὲ τοῦτο τῶν τε ταύτῃ Ἰλλυριῶν μεταπι-

---

ἐνέπεσεν text. || — 5. ταῖς ἑαυτοῦ] ταῖς αὐτὸς ἑαυτοῦ codex. Vocem αὐτὸς post verba ἐπιστατεῖ δὲ καὶ posui. Cf. § 6 : ἀλλ' οὐδ' αὐτός γε ἠμέλει τῆς ἐπιστασίας. || — τέχνην] sic margo, γνῶσιν text.

XIX. De altera hac in Peloponnesum expeditione obiter monuit Ducas p. 340, multis eam persequuntur Chalcocondylas p. 455-460 et p. 469-484, et Phrantzes p. 388-413, quorum hic, Thomæ protovestiarius, de despotarum dissidiis, ille de Turcorum rebus gestis uberior est. Critobulus, etsi verbis cumulandis quam singulis rebus gestis distincte recensendis intentior, nonnulla tamen habet quæ apud ceteros non commemorantur aut certe aliter narrantur. Ejusmodi est quod Demetrius in Monembasia obsidione cinctus esse (19, 3), Mechemetes Corintho Argos se contulisse (20, 4), Asanes ad Corinthum in custodiam datus esse (20, 3), Thomas Mantineam fugisse (23, 1), Omar satrapa in Peloponneso relictus esse (24, 2) perhibentur. — § 1. De his v. Phrantzes p. 388-394, collato Chalcoc. p. 456. Mense Octobri an. 6967 (1458) Mechemetes e Peloponneso rediens legatum miserat, qui a despotis obsequii jusjurandum exigeret et filiam Demetrii in matrimonium regium posceret. Jurarunt illi; at paullo post (Jan. m. 1459) Thomas, instigante Lucane Nicephoro, a rege defecit, simulque bellum paravit contra Demetrium fratrem, qui tum temporis Asanem Mathæum de connubio illo ineundo ad regem miserat. Februarii mense Thomas ex Arcadia urbe profectus Turcis Calabryta eripuit, et fratri deinde ademit Caritenam, Sanctum Georgium, Bordoniam, Castritzam, Zartanam, Calamatam, Leuctrum et Mainæ regionis partem majorem; Demetrius vero Leontaria et Acoba aliisque fratris oppidis potiri tentavit, sed re infecta Spartam rediit. Inter hos tumultus Albani prædabundi per Peloponnesum diffusi varia oppida castellaque occuparunt, nec non Turci e Corintho et Patris excurrentes vicina infestarunt. Rex, Scopis tum degens, his compertis, Omarem, Peloponnesi satrapam, quem clandestinum harum turbarum fautorem esse suspicabatur, a munere removit, eique Achmetem suffecit. Simul collectas e Thessalia et Ætolia copias in Peloponnesum misit, quæ sub Chamza duce Thomam a Patris, quam urbem ille obsidebat, repulerunt, deinde vero ad Leontarium prœlio vicerunt et in urbem inclusum obsidione cinxerunt. Mox tamen ob morbum grassantem Chamza obsidionem solvit et, captivis Muchlam abductis parteque exercitus apud Demetrium amicum relicta, ad regem auxilii petendi causa recessit. Mechemetes deinceps sub Zagano duce alterum exercitum misit, quo Thomas, denuo Patras obsidens, ex Achaia ejectus in meridionalem Peloponnesi regionem compellitur. Tum legato misso despota pacem petivit et propositis a rege conditionibus acquievit. Attamen quum ter mille stateres, qui ex pactis illico solvendi erant, non solverentur, ipse Mechemetes mense Maii an. 1460 cum exercitu in Peloponnesum profectus est. || — πολεμοῦντες] sic margo, μαχόμενοι text. || — πάντα τάχει] τάχει πάντα supra scriptum.

§ 2. ἐπειράθησαν ... λύειν τὰ διάφορα] Fratres Castritzam convenisse ibique se reconciliasse, sed mox veterem discordiam denuo erupisse narrat Phrantzes p. 394. || — καὶ μὴ πολέμῳ] sic m. 2, καὶ οὐ π. man. 1. || — χειρούμενοι, τὰ δὲ καὶ] add. mgo. || — μέχρι πολλοῦ] sic mgo, ἐπὶ πολὺ text. || — Ἰλλυριῶν] Ἀλβανῶν margo, distinctius sane, sed in sqq. (c. 22, 1) Albani item Illyriorum nomine introducuntur.

σόντων ἐς τὸν δεσπότην Θωμᾶν, τῶν τε τοῦ δεσπότου Δημητρίου καλλιστευόντων αὐτομολίᾳ καθ' ἡμέραν χρωμένων ἐς αὐτὸν, καὶ τὰ φρούρια ἐνδιδόντων, ὑπερέσχεν οὗτος, καὶ τῶν πλείστων κύριος γεγονὼς καταδιώκει τὸν ἀδελφὸν, καὶ κατακλείει μετά γε τῆς γυναικὸς καὶ τῆς θυγατρὸς ἐς Ἐπίδαυρον τὴν Λιμηρὰν, ἣ δὴ νῦν Μονεμβασία καλεῖται. (4) Ὑπεραλγήσας οὖν τοῖς γινομένοις ὁ δεσπότης Δημήτριος καὶ μὴ ἔχων ὅ τι καὶ δράσειεν (ἐκινδύνευε γὰρ ἁπάσης ἐκπεσεῖν τῆς ἀρχῆς), ἐκπέμπει τὸν Ἀσάνεα πρέσβυν ὡς βασιλέα, δεόμενος ἐπικουρίας καὶ βοηθείας τυχεῖν κατὰ τῆς ἐπηρείας καὶ καταδυναστείας τοῦ ἀδελφοῦ· καὶ ταῦτα μὲν ἐς τὸ φανερόν· (5) ὅμως γε μὴν διττὸς ἐνταῦθα φέρεται λόγος· οἱ μὲν γάρ φασιν ὡς οὐχ' ἕνεκεν βοηθείας ἁπλῆς ὁ δεσπότης ἐξέπεμπε τὸν Ἀσάνεα, ἀλλὰ κατεγγυώμενός τε τῷ βασιλεῖ τὴν θυγατέρα καὶ τὴν Πελοπόννησον ἅπασαν ἐνδιδοὺς, αὐτὸς δὲ τόπον ἕτερον αἰτῶν ἀντιδοθῆναι ταύτης ἐν τῇ τοῦ βασιλέως ἐς ἀρχήν. (6) Ἔνιοι δ' αὖ οὐχ οὕτως ἔχειν δισχυρίζονται, ἀλλ' ὁ μὲν δεσπότης ξυμμαχίαν αἰτήσοντα παρὰ τοῦ βασιλέως ἐξέπεμψε τὸν Ἀσάνεα, ἄνδρας ἐπικούρους καὶ στρατιὰν ἐς βοήθειαν, τὸν δὲ ὀργὴν ἔχοντα τῷ τε δεσπότῃ Θωμᾷ καὶ τοῖς ἐν τέλει Πελοποννησίων ἐναντιουμένοις οἳ τὰ μάλιστα, καὶ ἀμυνόμενον, καὶ ἄνευ τῆς τοῦ δεσπότου γνώμης ταῦτα πεποιηκέναι.

XX. Πλὴν ὅπως ποτ' εἶχε τὸ πρᾶγμα, πυθόμενος ὁ βασιλεὺς τήν τε πρὸς ἀλλήλους σφῶν αὐτῶν μάχην τε καὶ διαφορὰν καὶ τὸν ἀκήρυκτον πόλεμον, οὐ μόνον δὲ, ἀλλὰ καὶ ὡς ὁ δεσπότης Θωμᾶς ἀθετήσας τὰς πρὸς αὐτὸν διαλλαγὰς, ἐπεκδραμὼν παρείλετό τινα τῶν αὐτοῦ καὶ ξυνθήκας μετὰ τῶν Ἰταλῶν ποιεῖται καινὰς, καὶ τούτους ἐς ἐπικουρίαν καλεῖ, ὀργισθείς τε τῷ γινομένῳ καὶ ἅμα δείσας περὶ τῇ Πελοποννήσῳ, μὴ ἐπ' ἄλλοις γένηται, οὐκέτι ἐν ἀναβολαῖς τὸ πρᾶγμα τίθησι, ἀλλ' ὡς εἶχεν εὐθὺς, ἔαρος ἐπιλάμποντος ἤδη, ἐκστρατεύει ἐς Πελοπόννησον. (2) Ἄρας οὖν ἐκ τῆς Ἀδριανοῦ παντὶ τῷ στρατῷ ἱππικῷ τε καὶ πεζικῷ καὶ σπουδῇ ἐλαύνων ἐπὶ τὰ πρόσω, ἑβδόμῃ καὶ εἰκοστῇ ἡμέρᾳ ἀφικνεῖται ἐς Κόρινθον, καὶ στρατοπεδεύεται αὐτοῦ τρίτην ἡμέραν περιμένων τὸν δεσπότην Δημήτριον· οὕτω γὰρ ἔφασαν ξυντεθεῖσθαι αὐτῷ παρὰ τοῦ Ἀσάνεω. (3) Δεσπότης δὲ ἐξ Ἐπιδαύρου ἥκων ἐς Σπάρτην, αὐτὸς μὲν οὐχ ἀφικνεῖται ἐς βασιλέα, ἐκπέμπει δὲ τὸν Ἀσάνεα μετὰ δώρων ὅτι πολλῶν, καὶ ὃς ἀφικόμενος εὐθὺς ἔσεισιν ὡς βασιλέα τῇ προτεραίᾳ, καὶ κοινολογησάμενος κατὰ μόνας ἐφ' ἱκανὸν αὐτῷ τε καὶ Μαχουμούτει τῷ πασίᾳ ἔξεισι· τῇ δ' ὑστεραίᾳ ἅμα ἡμέρᾳ τὸν μὲν Ἀσάνεα κελεύει ξυλλαβεῖν ὁ βασιλεὺς καὶ ἐν φυλακῇ ἔχειν ἀδέσμῳ. (4) Αὐτὸς δὲ ἀναλαβὼν τὴν στρατιὰν ἐσέβαλεν οὐκ ἐς τὴν τοῦ δεσπότου Θωμᾶ οὖσαν ἐχθρὰν (ὅπερ εἰκός τε ἦν καὶ προσεδοκᾶτο), ἀλλ' ἐς τὴν τοῦ δεσπότου Δημητρίου φιλίαν οὖσαν, ἐλαύνων εὐθὺ τοῦ Ἄργους· ὃ δὴ καὶ τοῖς πολλοῖς ἐβεβαίωσε τοὺς προλεχθέντας λόγους, καὶ πιστοὺς εἶναι πεποίηκεν, ὡς οἴκοθεν οὗτοι καὶ παρ' ἑαυτῶν ἐπηγάγοντο τὸν βασιλέα, ἐνδιδόντες ἑαυτοὺς καὶ τὴν Πέλοπος διά τε τὴν πρὸς τὸν δεσπότην Θωμᾶν καὶ τοὺς Πελοποννησίους ἀπέχθειαν, τὰ δ' ἄλλα σκηνὴ καὶ ὑπόκρισις ἦσαν καὶ πλάσμα, ὡς καὶ ἐκ τῶν μετὰ ταῦτα γέγονε δῆλον. (5) Βασιλεὺς γὰρ παραγενόμενος ἐν Ἄργει αὐτίκα κελεύει Μαχουμούτεα

§ 4. ἐκπέμπει τὸν Ἀσάνεα] Phrantzes p. 389, postquam dixerat Januarii mense an. 1459 [6967] Lucanem Thomæ suasisse ut a rege deficeret ac fratri bellum inferret, pergit hunc in modum : ὁ δὲ ἄλλος ἀγαθὸς ἀνὴρ Ἀσάνης ὁ Ματθαῖος, διὰ τὸ πρὸς τὸν ἀμηρᾶν εἶναι ἀπεσταλμένος περὶ τοῦ εἰρημένου συνοικεσίου τοῦ ἀνὰ τῆς τούτου ἀνεψιᾶς (sc. Demetrii filia nata erat ex sorore Asanis) καὶ τοῦ ἀμηρᾶ, ταῦτα οὐκ ἐγίνωσκεν. Secundum hæc igitur non auxilii petendi causa Asanes ad regem missus est, nec mitti tum e Phrantzæ sententia potuit, de altera autem aliqua Asanis legatione ap. Phrantzem nihil legitur. Ceterum legatio de qua Phrantzes dicit, eadem hieme missa est, qua Critobulus lib. 3, 14, 2 narrat se ipso hortante Asanem ad Mechemetem missum esse, ut Lemnum et Imbrum insulas, quæ tunc adhuc penes Latinos erant, Demetrio expeteret. Itaque huc referenda etiam videantur quæ apud Chalcocondylam p. 469, 1 leguntur : ὡς μὲν οὖν ἀφικομένου Ἀσάνεω παρὰ βασιλέα, ἐπυνθάνετο τὰ κατὰ τὴν Πελοπόννησον (ἐπυνθάνετο δὲ καὶ παρ' Ἀχμάτεω τοῦ τῆς Πελοποννήσου ὑπάρχου ἐν Κορίνθῳ διατρίβοντος Δημήτριον τὸν ἡγεμόνα ἀφεστηκότα τοῦ ἀδελφοῦ αὐτοῦ κατὰ χώραν μένειν, πολεμούμενον καὶ αὐτὸν ὑπὸ τοῦ ἀδελφοῦ), ἐδωρήσατο μὲν αὐτίκα αὐτὸν ταῖς ἐν τῷ Αἰγαίῳ νήσοις, Λήμνῳ τε καὶ Ἴμβρῳ καὶ Θάσῳ καὶ Σαμοθράκῃ. Quæritur autem num in his Asanis mentio recte habeat; nam in seqq. p. 470, 12, ubi Asanes ille cum exercitu in Peloponnesum profectus esse et Thomam in Leontarium inclusisse narratur, aperte pro Asane dicendus erat Chamuzas (Χαμουσᾶς ap. Chalc. p. 457). Ceterum totus ille locus a Chalcocondyla alienus esse videtur. ut recte monuit Hammer. 2, p. 22. || — § 4. ἐπηρείας] ἐπειρ. cod. || — § 6. τὰ μάλιστα add. margo.

XX. § 1. παρείλετό τινα τῶν αὐτοῦ] Sec. Chalcocond. p. 546, 10 Thomas ἐπολέμει ταῖς βασιλέως ἀκροπόλεσι, πειρώμενος ἑλεῖν κατὰ κράτος, προεχώρει δὲ οὐδὲν αὐτῷ ὧν ἐπενόει. Solis Calabrytis eum potitum esse dicit Phrantzes p. 389, 18. || — ξυνθήκας μετὰ τῶν Ἰταλῶν ποιεῖται] Gobellini in Comment. rerum memorab. quæ temporibus Pii II pontif. contigerunt (Francof. 1614), lib. 3, p. 61 : *Sedecim* (Turcos captivos) *per legatos Pontifici dono misit auxilium secundis rebus efflagitans, nec magno exercitu opus esse dicebat, Italorum parvam manum sufficere ad ejiciendos peninsula Turcos.* Citat hæc Zinkeisen l. l. 2, p. 197. Misit Pius II pedites trecentos. || — περὶ τῇ Πελοποννήσῳ] sic m. 2, π. τῆς Πελοποννήσου m. 1. || — ἐπ' ἄλλοις] m. 2, ὑπ' ἄλλοις m. 1. || — τίθησι] mgo, ποιεῖται text. || — § 2. Chalcocond. p. 472, 9 : Ἐπεὶ δὲ ἐς Κόρινθον παρεγένετο ἐσβαλὼν, παρῆν Ἀσάνης ἀπὸ Δημητρίου τοῦ ἡγεμόνος, ἐπὶ τοὺς πολεμίους ἀπάξων τὸν βασιλέως στρατόν· ὡς δὲ ἐς Τεγέαν ἀφίκετο, ἐνταῦθα τὸν μὲν Ἀσάνην ἐς φυλακὴν ἐποιήσατο, καὶ τοὺς τῶν Ἑλλήνων θεράποντας καὶ ὅσοι αὐτῷ εἵποντο, δεσμίους ἔχοντες ἀπήλαυνον ἐπὶ Σπάρτην. Aliter Critobulus. || — § 3. Μαχουμούτει] add. mgo. || — § 4. ὅπερ... προσεδοκᾶτο] add. mgo. || — εὐθὺ τοῦ Ἄργους] Alius nemo hoc tradit, neque id probabile est, quum Argos tum penes Venetos esset. || — § 5. Θωμᾶν τοῦ Καταβοληνοῦ] Iterum ejus

στρατιὰν ἱκανὴν ἀναλαβόντα νυκτὸς ἀπελθεῖν ἐς Σπάρτην καὶ κατακλεῖσαι αὐτοῦ δῆθεν τὸν δεσπότην Δημήτριον. Ὁ δ' ἀπελθὼν καὶ νυκτὸς ὅλης ὁδοιπορήσας ἅμα ἡμέρᾳ καταλαμβάνει τοῦτον ἐν Σπάρτῃ, καὶ κατακλείει αὐτοῦ καὶ πέμψας τὸν γραμματέα τοῦ βασιλέως Θωμᾶν τὸν Καταβοληνοῦ, λόγους προσφέρει τούτῳ εἰρηνικοὺς καὶ φιλίους περί τε ἐνδόσεως ἑαυτοῦ τε καὶ τοῦ ἄστεος, ἐπ' ἀγαθοῖς ἔσεσθαι λέγων αὐτῷ τε καὶ τοῖς μετ' αὐτοῦ τὸ θαρρούντως καταπιστεῦσαι αὐτόν τε καὶ τὴν ἀρχὴν τῷ βασιλεῖ, καὶ μὴ ἀντιβῆναι ὅλως ἢ ἐνδοιάσαι· τοῦτο γὰρ οὐκ ἐς καλὸν ἔσται αὐτῷ. Δεσπότης δὲ τὸν Ἀσάνεα πρῶτον ἔφη ἀπολυθέντα ἥκειν παρ' αὐτὸν τὰ πιστὰ φέροντα, καὶ οὕτω δρᾶσαι τὸ κελευόμενον. Ταῦτα δὲ πάντα, ἧπερ ἔφην, ἐς τὸ φανερὸν μὲν ἐπλάττοντο, ἄλλα δ' ἦσαν ἐν ἀπορρήτοις καὶ βεβουλευμένοι καὶ πράττοντες. Μαχουμούτης δὲ τὸν μὲν Ἀσάνεα, τὰ πιστὰ δούς, ἀπολύει εὐθύς, ξυνεκπέμπει δὲ αὐτῷ καὶ Χαμουζᾶ τὸν σατράπην, ἐν τοῖς μάλιστα φίλον ὄντα δεσπότῃ. Οἱ δὲ ἐς τὴν πόλιν ἐσελθόντες καὶ τῷ δεσπότῃ ξυντυχόντες ἐξάγουσι τοῦτον ἐς τὸ στρατόπεδον ὡς Μαχουμούτεα, ὁ δὲ δέχεται τοῦτον ἀσμένως καὶ φιλοφρόνως καὶ μετὰ τῆς προσηκούσης τιμῆς, παραλαμβάνει δὲ καὶ τὴν πόλιν καὶ τὴν ἄκραν αὐτήν. (7) Τῇ δ' ὑστεραίᾳ καὶ βασιλεὺς ἀφικνεῖται, καὶ αὐτίκα μετακαλεῖται τὸν δεσπότην, καὶ τιμᾷ τοῦτον ἥκοντα τῇ ἐσόδῳ τῇ παρ' αὐτὸν, ὑπαναστάς τε τῆς καθέδρας αὐτῷ ἐσιόντι τὴν σκηνὴν καὶ δεξιὰν δοὺς καὶ καθίσας παρ' αὐτῷ, καὶ πολλὰ εἰπὼν εἰρηνικὰ καὶ φιλάνθρωπα λόγοις ἡμέροις καὶ προσηνέσι τοῦτον παραμυθεῖται, ἀγανακτούμενός τε τῆς δειλίας, καὶ τοῦ δέους ἀπαλλάττων· ᾐσθάνετο γὰρ αὐτὸν δεδιότα καὶ θορυβούμενον· χρηστάς τε ἐλπίδας αὐτῷ περὶ τοῦ μέλλοντος ὑποτείνει, καὶ ἅμα θαρρεῖν δίδωσιν, ὡς πάντα τὰ παρ' αὐτοῦ καλῶς ἕξει καὶ κατὰ γνώμην αὐτῷ. Ἔπειτα καὶ πολυτρόπως δωρεῖται χρημάτων τε ἐπιδόσει πολλῶν καὶ πέπλων καὶ ἱματίων πολυτελῶν, ἔτι δὲ ἵππων καὶ ἡμιόνων καὶ πολλῶν ἄλλων τῶν ἐς τὴν τότε χρείαν ἡκόντων αὐτῷ· μεταπέμπεται δὲ καὶ τὴν τούτου γυναῖκα καὶ θυγατέρα μετὰ τιμῆς ἐξ Ἐπιδαύρου, ἐξαποστείλας τῶν βασιλικῶν εὐνούχων τε ἕνα καὶ ἄρχοντα μετὰ στρατιᾶς ἐς παραπομπὴν μετὰ τοῦ Ἀσάνεω, πᾶσί τε ἄλλοις τρόποις σφόδρα τιμᾷ τοῦτον καὶ θεραπεύει.

XXI. Τέσσαρας δὲ ἡμέρας αὐτοῦ διαγαγὼν καὶ τήν τε πόλιν καὶ τὴν ἄκραν ἐπισκευάσας καλῶς καὶ ἀσφαλισάμενος, φρουράρχην τε ἐγκαταλιπὼν καὶ φρουροὺς ἄνδρας τετρακοσίους τῶν ἀπὸ τῆς ἰδίας αὐλῆς, τά τε ἄλλα πάντα ἐνταῦθα κατὰ νοῦν πράξας τε καὶ καταστησάμενος, ἄρας ἐκεῖθεν, ξυνεπαγόμενος ἅμα οἷ καὶ τὸν δεσπότην Δημήτριον, ἀφικνεῖται ἔς τι πολίχνιον ἐρυμνότατον πάντῃ, τὸ παρὰ τὴν ὑπώρειαν τοῦ μεγάλου ὄρους τῆς Σπάρτης κείμενον, οὐ πόρρω τοῦ ἄστεος, Καστρίον ὀνομαζόμενον, καὶ στρατοπεδευσάμενος αὐτοῦ, πρῶτον προσφέρει λόγους τοῖς ἐν αὐτῷ περί τε ἐνδόσεως ἑαυτῶν τε καὶ τοῦ πολίσματος· οἱ δὲ πιστεύοντες ἑαυτοῖς τε καὶ τῇ ἐχυρότητι τοῦ φρουρίου (ἦν γὰρ ὅλως ἀπότομόν τε καὶ ἀπόκρημνον τὸ χωρίον, καὶ τραχὺ καὶ ἄναντες πάντῃ καὶ μίαν μόνην πάροδον ἔχον καὶ ταύτην τριπλῷ τείχει πεφραγμένην τε καὶ κατησφαλισμένην, καὶ αὐτοὶ δὲ ἦσαν ἄνδρες λογάδες ὡσεὶ τετρακόσιοι), οὐ παρεδέξαντο τοὺς λόγους τοῦ βασιλέως, ἀλλὰ κλείσαντες τὰς πύλας ἐκαρτέρουν. (2) Βασιλεὺς δ' αὐτίκα παρακελευσάμενος τῇ στρατιᾷ προσέβαλεν ἰσχυρῶς τῷ πολίσματι. Οἱ δὲ ἠμύνοντο μάλα εὐρώστως, καὶ οἱ ὁπλῖται γενναίως ἀγωνιζόμενοι καὶ προσφιλονεικοῦντες τὴν ἔσοδον καὶ τὴν ἄνοδον βιαζόμενοι, οἱ μὲν αὐτῶν ἰσχυρῶς ξυνωθούμενοι παρὰ τῶν ἄνω τοῖς κοντοῖς κατεκρημνίζοντο καὶ ἀπώλλυντο, οἱ δὲ παμμεγέθεσι λίθοις ἄνωθεν ἀφ' ὑψηλοῦ βαλλόμενοι τὰς κεφαλὰς καὶ ξυνθλώμενοι ἀπέθνησκον, καὶ τέλος ἀποκρούονται ἰσχυρῶς· ἔπεσον δὲ αὐτοῦ που οὐκ ὀλίγοι τῶν ἀγαθῶν καὶ γενναίων ἀνδρῶν, ὅπερ οὐ μικρῶς ἠνίασε τὸν βασιλέα· ὅμως ἀναχώρησιν σημάνας τότε μὲν ἔπαυσε τοῦ πολεμεῖν· (3) τῇ δ' ὑστεραίᾳ ἡμέρᾳ ἐκτάξας καὶ ὁπλίσας καλῶς πᾶσαν τὴν στρατιὰν καὶ λόγοις προτρεπτικοῖς τε καὶ παρακλητικοῖς παροξύνας αὐτοὺς ἅμα καὶ παραθαρρύνας ἐς τὸ πολεμεῖν, καὶ ἆθλα προθεὶς κάλλιστα τοῖς καλῶς ἀγωνιουμένοις διαρπαγήν τε τοῦ φρουρίου σημάνας ἐκέλευσε προσβάλλειν. (4) Οἱ δὲ στρατιῶται μέγα καὶ φοβερὸν ἀλαλάξαντες βοῇ καὶ δρόμῳ προσβάλλουσιν ἰσχυρῶς τῷ πολίσματι· καὶ γίνεται ὠθισμὸς ἐνταῦθα πολὺς καὶ μάχη καρτερὰ ξυσταδὸν περὶ τὸ τεῖχος μετὰ θυμοῦ καὶ ὀργῆς καὶ κραυγῆς, καὶ φόνος οὐκ ὀλίγος τῶν προμαχομένων, ἀμφοτέρων ἀγωνιζομένων ἀτάκτως τε καὶ ξὺν οὐδενὶ κόσμῳ καὶ

---

mentio fit lib. 4, 7, 4. Pater Καταβολινός, γραμματεὺς τῶν θυρῶν, memoratur ap. Chalc. p. 501, 13. De Spartæ (*Mistra*) deditione plura habes ap. Chalc. p. 472, 15-473, 5. Cf. Phrantz. p. 395. || — § 6. Χαμουζᾶ] Χαμούζια h. l. codex. De Chamuza hoc Hieracophoro v. Chalcond. p. 457, 8. 480, 3. 482, 6. 501, 13. 502, 12. || — § 7. ὑπαναστάς] m. 2, ἐξαναστάς m. 1. || — ἐς τὴν σκηνήν] m. 2, πρὸς τ. σ. m. 1. || — τῆς δειλίας] περὶ vel ὑπὲρ τ. δ.? — || χρηστὰς τ. ἐλπίδας ... ὑποτείνει] Plura de his v. ap. Phrantz. p. 395, Chalc. p. 473, 1. || — μεταπέμπει etc.] V. Phrantz. p. 396, 1. Sec. Chalcoc. p. 476, 4 Mechemetes ad matrem filiamque Demetrii Epidauro arcessendas Jesum Isaaci filium misit, postquam Castritzam et Gardiciam ceperat. || — τῶν βασιλικῶν εὐνούχων τε ἕνα] Sic margo, εὐνοῦχόν τε text.

XXI. § 1. φρουράρχην] Chalc. p. 473, 9 : φρουράν τε ἔφαινεν ἐν τῇ μητροπόλει, καὶ ἄρχοντα ἐπέστησε Χαζάνην τὸν Ζενεβίσαν, Μαχουμούτεω θεράποντα. || — Καστρίον] Chalc. p. 473, 11 : ἐπὶ Καστρίην πόλιν διέχουσαν ἀμφὶ τὰ π' στάδια ἀπὸ τῆς πόλεως. Phrantzes p. 405, 11 Καστρίτζαν locum vocat. Antequam ad *Kastri* rex accederet, Bordaniam cepit, testante Phrantze. Chalcocondylas hunc locum indicat verbis : πόλις ἑλληνικὴ εὐδαίμων· διέχει δὲ ἀπὸ τῆς παλαιᾶς πόλεως καὶ τοῦ Εὐρώτα σταδίους ὡσεὶ ιη' (imo, Bordania ab Eurota 30, et a Sparta 50 fere stadia distat). || — § 2. ἔπεσον

κατακαινόντων ἀλλήλους ἀνοικτὶ, τῶν μὲν βιαζομένων πᾶσι τρόποις ἔσω τοῦ τειχίσματος παρελθεῖν, τῶν δὲ ἀμυνομένων ἐρρωμένως καὶ οὐκ ἐώντων. (5) Τέλος ὑπερισχύσαντες οἱ τοῦ βασιλέως κτείνουσί τε πολλοὺς αὐτῶν καὶ βιασάμενοι ἔσω τοῦ πρώτου καὶ δευτέρου γίνονται τείχους, καὶ μαχόμενοι ἰσχυρῶς καταδιώκουσί τε αὐτοὺς καὶ ξυνωθοῦσιν ἐς τὴν ἄκραν· οἱ δὲ ἐς στενὸν κομιδῇ ξυνελαθέντες καὶ μὴ ἔχοντες ὅ τι καὶ δράσαιεν ὕδατος ἀπορίᾳ καὶ τῶν ἀναγκαίων, ἀλλ' ἀπογνόντες τοῖς ὅλοις παραδιδόασι σφᾶς αὐτοὺς βασιλεῖ χρήσασθαι ὅ τι καὶ βούλοιτο. (6) Βασιλεὺς δὲ τοὺς μὲν ἄνδρας ἐκέλευσεν ἀποσφαγῆναι πάντας εὐθὺς ὅσοι περιελείφθησαν τῷ πολέμῳ, τριακοσίους ὄντας, παῖδας δὲ καὶ γυναῖκας ἠνδραποδίσατο, τὴν δὲ πολίχνην κατέσκαψε.

XXII. Μετὰ δὲ τοῦτο ἐφ' ἕτερον προσελαύνει φρούριον Γαρδίκιον καλούμενον, ἀνάλωτον πάντη καὶ ὀχυρώτατον· ἄκρα γὰρ ἦν ἠλίβατος παρὰ τὴν ἔσοδον τοῦ μεγάλου ὄρους τῆς Σπάρτης, ὃ δὴ Ζυγὸς λέγεται, ἄκρως ἀνέχουσα καὶ ὑπερκειμένη κρημνῷ τε μεγίστῳ καὶ φάραγγι βαθείᾳ, ἐν κύκλῳ πάντοθεν περιειργομένη καὶ κατησφαλισμένη, μιᾷ δὲ μόνῃ παρόδῳ καὶ ταύτῃ βραχείᾳ τὴν ἔσοδον ἔχουσα· παρ' ὃ καὶ πολύ τι πλῆθος τῶν ἀστυγειτόνων ἀνδρῶν τε καὶ γυναικῶν καὶ παίδων ἐνταῦθα ξυγκαταπεφευγὸς ἦν διὰ τὸ ἀσφαλὲς τοῦ χωρίου· τοῦτο δ' ἦν αὐτοῖς ὄλεθρος προφανής. (2) Βασιλεὺς γὰρ ἐλάσας ταύτῃ καὶ στρατόπεδον θέμενος τὰ μὲν πρῶτα λόγοις ἐπειρᾶτο τούτους ὑπαγαγέσθαι, σῶς εἶναι βουλόμενος καὶ κακῶν ἀπαθεῖς, ὡς δ' οὐκ ἔπειθε, κύκλῳ περισχὼν αὐτοὺς τῷ στρατῷ καὶ κατακλείσας ἰσχυρῶς ἐφύλαττε, λιμῷ καὶ δίψει τούτους ἐκπολιορκῆσαι βουλόμενος, καὶ μὴ ἐς χωρία ἀπόκρημνα καὶ ἀνάντη εἰκῇ καὶ μάτην ἀπολλύναι τοὺς στρατιώτας. (3) Οἱ δὲ μίαν δὴ καὶ μόνην ἡμέραν κατακλεισθέντες αὐτοῦ, οὐκέτι ἀντέχειν ἠδύναντο, ἀλλὰ λιμῷ καὶ δίψει καὶ πνίγει καύματος θέρους ὥρᾳ καὶ τῇ ἄλλῃ κακοπαθείᾳ πιεζόμενοι, ἅτε πλῆθος ὄντες πολὺ ἀνδρῶν τε καὶ γυναικῶν καὶ παιδίων, καὶ ἐς βραχυτάτην ἄκραν ξυνελαθέντες, ὕδατος ἀπορίᾳ καὶ σπάνει τῶν ἀναγκαίων καὶ μηδεμίαν ἐπικουρίαν ποθὲν ἢ ἔχοντες ἢ ὅλως ἕξειν ἐλπίζοντες, καὶ ἄκοντες προσχωροῦσι τῷ βασιλεῖ, καὶ παραδιδόασι σφᾶς αὐτοὺς καὶ ἄνευ ὁμολογίας. (4) Βασιλεὺς δὲ καὶ τούτους πάντας ἀπέκτεινε, παῖδας δὲ καὶ γυναῖκας ἠνδραποδίσατο, τὸ δὲ φρούριον κατέσκαψε. Τοῦτο δ' ἐποίησεν ἐν τοῖς φρουρίοις τοῖσδε ὀργὴν ἔχων καὶ μῆνιν δικαίαν, τοῖς μὲν ὅτι προκαλουμένου σφᾶς ἐπὶ ξυμβάσεις αὐτοῦ, ὥστε μηδένα κίνδυνον ἐν τῷ πολέμῳ τοῖς στρατιώταις γενέσθαι, οὐχ ὑπήκουσαν, ἀλλ' εἵλοντο μᾶλλον τὸν πόλεμον, ἐν ᾧ πολλοὺς καὶ ἀγαθοὺς ἄνδρας ἀπεβεβλήκει, τοῖς δὲ, Ἰλλυριοῖς οὖσι τοῖς πλείοσι, διά τε τὰς δυστροπίας αὐτῶν καὶ τὰς ξυνεχεῖς ἐπαναστάσεις τε καὶ κλοπὰς καὶ λῃστείας, καὶ ἅμα θροῆσαι πάντας καὶ καταπλῆξαι βουλόμενος καὶ ἐς φόβον ὅτι πλεῖστον καὶ ἀγωνίαν ἐμβαλεῖν, ὥστε μηκέτι ἀντιβαίνειν ἐθέλειν, μηδὲ τολμᾶν ὅλως ἀπαυθαδίζεσθαι τοῦ λοιποῦ, ἀλλὰ προσχωρεῖν ἑτοίμως αὐτῷ, θηρωμένους τὴν σωτηρίαν· ὃ δῆτα καὶ γέγονεν. (5) Ὁρμηθεὶς γὰρ ἐκεῖθεν ὁ βασιλεὺς καὶ προσελαύνων ἐπὶ τὰ πρόσω τῆς χώρας, οὐκέτι ἀντιβαῖνον εἶχεν οὐδὲν οὐδαμοῦ, ἀλλὰ πάντα οἷ προσεχώρει ἑτοίμως, τὰ πλείω σχεδὸν καὶ ἄνευ ὁμολογίας, προλαμβάνοντα τὰ πολλὰ καὶ τὴν αὐτοῦ ἔφοδον, καὶ πόλεις καὶ φρούρια καὶ πᾶσα ἡ ἐν ποσὶν εἶχε καὶ ὑπεχώρει πρὸς τὸν τούτου δρόμον καὶ τὴν ὁρμήν· οὕτως ἅπαντα κατεπτήχει καὶ προσεχώρει, πλὴν εἰ μή πού τινες κουφότητι γνώμης ἀντέβησαν, οἳ καὶ παρὰ πόδας τοῖς ὅπλοις ἐσωφρονίσθησαν. Καὶ μέντοι καὶ ὁ βασιλεὺς τὸ ἀπὸ τοῦδε πᾶσι προσεφέρετο καλῶς τοῖς γε τοιούτοις, καὶ πάντας ἐφύλαττε σῶς ἐν τοῖς ὑπάρχουσι πᾶσι καὶ ἀσινεῖς ὅλως τῶν ἀπὸ τῆς στρατιᾶς καὶ τοῦ πολέμου κακῶν. (6) Περιιὼν δὲ πᾶσαν τὴν Πέλοπος καὶ χειρούμενος, ὅσα μὲν ἐδόκει οἷ τῶν τε φρουρίων καὶ πολισμάτων ἐπιτήδεια εἶναι καὶ ἀσφαλῆ καὶ πρὸς φυλακὴν ἱκανῶς ἔχειν τῆς χώρας, ἐπεσκεύαζε φρουροῖς καὶ φρουράρχαις καὶ σιτήσει καὶ ὅπλοις καὶ πᾶσιν ἄλλοις ἐξήρτυε, ὅσα δὲ μὴ ἐδόκει, κατέσκαπτε, τοὺς δ' οἰκήτορας εἶα μένειν ἐν τοῖς αὐτῶν καὶ οἰκεῖν ὥσπερ κατὰ κώμας, ἐνίους δὲ αὐτῶν καὶ ἀποικίσας ἤγαγεν ἐς τὴν Κωνσταντίνου.

XXIII. Καὶ τὰ μὲν αὐτοῦ [τοῦ] βασιλέως οὕτως εἶχε, δεσπότης δὲ Θωμᾶς, ἐπειδὴ τὴν ἀρχὴν ἐπύθετο τὴν ἐς Πελοπόννησον ἔφοδον τοῦ βασιλέως, ἐπισκευάσας τέ τινα τῶν αὐτοῦ φρουρίων καλῶς, καὶ φύλακας ἐγκα-

δὲ] πεσόντες cod. || — § 6. τριακοσίους] Chalc. p. 474, 10 : πάντας ἀπαγαγὼν εἰς ἕνα χῶρον κατέσφαξε γενομένους τοὺς ξύμπαντας ἐς τριακοσίους, καὶ τὸν ἄρχοντα αὐτῶν τῇ ὑστεραίᾳ χωρὶς ἔτεμε τὸ σῶμα ποιησόμενον (πριζόμενον? frequenti tum supplicii genere).

XXII. § 1. Γαρδίκιον] Γαρδικίην Chalc. p. 474, 16, Γαρδίκην Phrantzes. In hunc locum incolæ Leontarii urbis vicinæ confugerant. || — § 3. ξυνελαθέντες] mgo; συνειλυθέντες text. || — Inter verba τῶν ἀναγκαίων et καὶ μηδεμίαν codex habet : διεφθείροντο οὖν καλῶς, quæ linea transducta deleta sunt. || — § 4 ὁμολογίας] ὁμιλίας cod. || — παῖδας δὲ καὶ γυναῖκας ἠνδραποδίσατο] Aliter Phrantzes p. 405, 23 : τέλος δὲ ἐδουλώθησαν, μετὰ συνθήκης καὶ ὅρκου ἐπαγγειλάμενος αὐτοῖς ἵνα μηδένα αὐτῶν ἐνοχλήσῃ ἢ θανατώσῃ ἢ αἰχμαλωτίσῃ· αὐτὸς δὲ τοὺς ὅρκους ἀθετήσας καὶ τῇ μνησικακίᾳ καὶ ὀργῇ κινούμενος, ἔν τινι πεδίῳ μικρῷ συνάξας αὐτοὺς πάντας καὶ δεσμεύσας παρανάλωμα τῆς μαχαίρας σὺν γυναιξὶ καὶ τέκνοις πεποίηκε. De numero cæsorum v. Chalc. p. 475. || — § 5. Quæ post Gardiciæ expugnationem Mechemetes ejusque duces in Peloponneso gesserint, Critobulus verbo comprehendit, pluribus exposuit Phrantzius p. 407 sq., uberrime narrat Chalcocondylas p. 474 sqq. || — πᾶσι προσεφέρετο καλῶς, τοῖς γε τοιούτοις καὶ] add. mgo. || — || 6. ὥσπερ] add. mgo.

XXIII. § 1. Μαντίνειαν] Mantineam ad sinum Messeniacum in Demetrii ditione sitam Thomas ante Mechemetis

ταστήσας αὐτοῖς, αὐτὸς ἐς Μαντίνειαν ἀπελθὼν, πολίχνην παράλιον, μετά τε τῆς γυναικὸς καὶ τῶν παίδων καὶ τῶν ἀρχόντων ἐνίων, καὶ κατακλείσας ἑαυτὸν ἐκεῖ περιέμενεν ἀποσκοπῶν τοῦ πολέμου τὸ πέρας. (2) Ἤλπισε γὰρ μὴ οὕτω ῥᾳδίως ἐνδώσειν πᾶσαν τὴν Πέλοπος, χώραν τε οὖσαν ἐχυρωτάτην φύσει καὶ πόλεις ἔχουσαν ὀχυρὰς καὶ φρούρια ἐρυμνὰ καὶ δυσάλωτα, ἀλλὰ καί τινα τῶν φρουρίων ἢ τῶν πολισμάτων περιλειφθήσεσθαι τῷ πολέμῳ περιγενόμενα, καὶ οὕτω πάλιν ἕξειν αὐτὸν ἐλπίδα τινὰ καὶ καταφυγὴν ἐν Πελοποννήσῳ· ἐπεὶ δὲ εἶδε πάντα χειρούμενα καὶ πόλεις καὶ φρούρια, τὰ μὲν ἐξ ἐπιδρομῆς βίᾳ τοῖς ὅπλοις, τὰ δὲ ἑκόντα παραχωροῦντα καὶ χωρὶς ἀνάγκης ἡστινοσοῦν, καὶ πᾶσαν τὴν Πέλοπος, ἄνευ μέντοι γε δυοῖν ἢ τριῶν πόλεων Ἐνετικῶν, σχεδὸν ἤδη κατειλημμένην καὶ κατεχομένην, τότ' ἤδη πάντων ἀπογνοὺς τῶν αὐτοῦ πραγμάτων, ἐμβὰς ἐς πεντηκοντόρους δύο ξύναμα γυναικὶ καὶ τέκνοις καί τισι τῶν ἀρχόντων ᾤχετο ἐς Κέρκυραν ἀποπλεύσας. Ὅσοι δὲ τῶν ἀρχόντων ἦσαν ἐν φρουρίοις καὶ πόλεσιν ἁρμοσταὶ, καταλιπόντες ταῦτα, ὑπεξέφυγον ἐς τὰς τῶν Ἐνετῶν πόλεις Κορώνειαν καὶ Μεθώνην καὶ τὰς λοιπὰς καὶ διεσώθησαν ἐκεῖ. (3) Καὶ οὕτω πᾶσαν τὴν τοῦ Πέλοπος χώραν ὁ βασιλεὺς ἐχειρώσατο, ἔργον μέγα δράσας καὶ θαυμαστὸν ἐν οὕτω βραχυτάτῳ καιρῷ· οὔπω γὰρ ἐξήκει τὸ θέρος ὅλον καὶ πᾶσα εἴχετο, πόλεις τε ὀχυραὶ καὶ φρούρια ἐρυμνὰ καὶ πολίχνια ἐγγύς που διακόσια καὶ πεντήκοντα, χώρα τῶν ὀνομαστῶν ἄνωθεν καὶ ἐνδόξων, καὶ πλεῖστα καὶ κάλλιστα ἔργα καὶ μέγιστα δὴ ἐν τοῖς κατ' αὐτὴν ἐπιδειξαμένη καιροῖς, καὶ τρόπαια λαμπρὰ ἀπὸ βαρβάρων τε καὶ Ἑλλήνων ἀναστήσασα, καὶ ἀποικίας πολλὰς ἀποικίσασα, ἄρξασά τε πολλῶν καὶ πόλεων καὶ γενῶν ἔν τε Ἀσίᾳ καὶ Εὐρώπῃ καὶ δὴ καὶ Λιβύῃ καὶ νήσων τῶν μεγίστων, ἄνδρας τε ἀποδείξασα πᾶσιν ἐπί τε φρονήσει καὶ ἀνδρείᾳ καὶ στρατηγίᾳ καὶ τῇ λοιπῇ ἀρετῇ καὶ δὴ καὶ εὐεξίᾳ καὶ ῥώμῃ σωμάτων κρατίστους τε καὶ τελεωτάτους δι' ἁπάντων, καὶ οἵους οὐκ ἄλλη τῶν ἁπασῶν οὐδεμία πλήν γε δὴ τῆς Ῥωμαίων, θέσεώς τε λαχοῦσα ἀρίστης τε καὶ ἐπικαιροτάτης ἐν πᾶσι γῆς τε καὶ θαλάσσης, ὅ τι κράτιστον.

XXIV. Τὰ μὲν δὴ κατὰ τὴν μεγάλην τε καὶ περιώνυμον χώραν τοῦ Πέλοπος ὑπὸ Ῥωμαίοις τε οὖσαν ἄνωθεν καὶ ἐς δεῦρο καλῶς ὑπ' αὐτῶν ἀρχθεῖσαν τὴν πᾶσαν, ἐλπίδας τε οὐ μικρὰς ὑποτείνουσαν ἀεὶ καὶ Ῥωμαίοις καὶ Ἰταλοῖς ὀψέ ποτε ἐν καιροῖς τοῖς προσήκουσιν ὠφελείας καὶ βοηθείας, δίς τε τειχισθεῖσαν τὸν ἰσθμὸν ἐν τοῖς ἡμετέροις καιροῖς, καὶ πάλιν παρὰ πόδας καταρριφθεῖσαν πολέμῳ ὑπὸ Μωράτεως τοῦ βασιλέως πατρὸς, οὕτως ἐτελεύτησε. (2) Βασιλεὺς δὲ τὰ ἐν αὐτῇ πάντα καλῶς τε καὶ ὡς ἦν αὐτῷ κατὰ νοῦν πράξας, ἔς τε φυλακήν, φημι, καὶ τὴν ἄλλην ἀσφάλειαν, σατράπην τε πάσης τὸν Ἀμάρην καταλιπὼν, καὶ λείαν ὅτι πλείστην ἐλάσας τε αὐτὸς καὶ τῇ στρατιᾷ διαδοὺς, ἔξεισι τοῦ ἰσθμοῦ, ἔχων μεθ' ἑαυτοῦ καὶ τὸν δεσπότην Δημήτριον ξύναμα γυναικί τε καὶ θυγατρὶ καὶ τοῖς κατακολουθήσασι τῶν ἀρχόντων. (3) Γενόμενος δ' ἐν Λεβαδείᾳ τὸν μὲν δεσπότην ξὺν τοῖς αὐτοῦ παραδοὺς ἄρχουσί τε καὶ στρατιώταις ἔς τε ὑπουργίαν καὶ φυλακὴν, ἐκέλευσε σχολῇ καὶ βάδην ἰέναι, καθ' ὁδὸν ἀναπαυομένους διά τε τὰς γυναῖκας καὶ τὰ παιδία καὶ τὴν ἄλλην τούτων ἀποσκευήν τε καὶ θεραπείαν· (4) αὐτὸς δὲ ἄρας ἐκεῖθεν ξὺν τῇ ἰδίᾳ αὐλῇ (τὴν γὰρ στρατιὰν διαφῆκε πᾶσαν) ἐπορεύετο, καὶ ἀφικνεῖται ἐς τὴν Ἀδριανοῦ, φθινοπώρου μεσοῦντος ἤδη, κἀκεῖ περιμένει. Μετ' οὐ πολλὰς δὲ ἡμέρας παραγίνεται καὶ ὁ δεσπότης Δημήτριος. Βασιλεὺς δὲ προὔργου τοι ποιούμενος τὴν τούτου θεραπείαν τε καὶ διόρθωσιν, εὐθὺς μετακαλεῖται Μαχουμούτεα καὶ Ἰσάαχον, καὶ κοινῇ ξυνδιασκεψάμενος δίδωσι σατραπείαν τῷ δεσπότῃ ἔς τε ἀρχὴν ἅμα καὶ πρόσοδον τάς τε ἐν Αἰγαίῳ νήσους Ἴμβρον καὶ Λῆμνον καὶ τὰ καταλειφθέντα Θάσου καὶ Σαμοθράκης (προαπῳκίσθη γὰρ τὸ πλέον τούτων ἐς τὸ Βυζάντιον)· ἦν δὲ τῶν νήσων τούτων ξύμπας ὁ ἐτήσιος φόρος ἀργυρίου κέρμα νενομισμένον βασιλικὸν μυριάδες τριάκοντα. (5) Ὁμοίως δίδωσι καὶ τὴν Αἶνον αὐτῷ, πόλιν λόγου ἀξίαν καὶ πολλοῖς εὐθηνουμένην καλοῖς, ἐν τῇ παραλίᾳ τε τῆς Θρᾴκης κειμένην αὐτοῦ που περὶ τὰς ἐκβολὰς τοῦ Εὔρου ποταμοῦ, καὶ κοινὸν ἐμπόριον οὖσαν τῆς περιοικίδος ἁπάσης τε καὶ πλησιοχώρου διά τε τοὺς λιμένας καὶ τὴν ἄλλην αὐτῆς ἐπιτηδειότητα, ἧπερ καὶ πρόσθεν ἔφαμεν. (6) Δίδωσι δὲ ξύν τε τῇ τάξει πάσῃ καὶ ταῖς προσόδοις ἃς ἀπεφέρετο ὁ ταύτης πρόσθεν ἐπάρχων Παλαμήδης ὁ Γατελιούζεω. Ἦσαν δὲ καὶ αὗται τοῦ αὐτοῦ βασιλικοῦ κέρματος ἕτεραι τριάκοντα

---

adventum frustra oppugnaverat (Chalc. p. 471, 5). Postea eum hoc oppido potitum esse in eoque exitum belli exspectasse nemo tradit, sed Abarinum sive Pylum Thomam abiisse narrat Chalcoc. p. 478, 2, coll. Phrantze p. 407, 16 : Θωμᾶς ἀφεὶς τὴν Καλαμάταν καὶ περάσας εἰς τὰ περὶ τὴν Κόσμαιναν καὶ τὸ Πεταλίδι εἰσῆλθε εἰς τὸν Ἀβαρῖνον κἀκεῖθεν εἰς τὸ Μαράθιν. || — § 2. καὶ κατεχομένην] inter lineas additum. || — ἐς Κέρκυραν] Phrantz. p. 408, 10 : τῇ κη' τοῦ Ἰουλίου μηνὸς ἀπεσώθη εἰς Κέρκυραν. || — § 3. πλήν γε δὴ τῆς Ῥωμαίων] add. margo.

XXIV. § 2. Ἀμάρην] Ἀμάρρην codex. At Omar statim initio expeditionis a Peloponnesi præfectura remotus erat. Abiens rex præfectum reliquit Zaganum. V. Chalc. p. 484, 11. || — ἔχων μεθ' ἑαυτοῦ Δημήτριον ξὺν γυναικὶ κ. θυγ.] Hos jam antea in Bœotiam miserat, sec. Chalcoc. p. 476, 18. Cf. Phrantz. p. 405. || — § 3. παραδοὺς ἄρχουσι etc.] Chalc. p. 483, 14 : Κομιζόμενος ἐπ' οἴκου καὶ πέμπων κήρυκας ἐκέλευε τὸν ἡγεμόνα Δημήτριον ὑπάγειν πρόσθεν σὺν τῇ γυναικὶ, καὶ αὐτὸς σχολῇ ἐπορεύετο. || — § 4. δίδωσι σατραπείαν] Phrantzes p. 413, 23 : ᾧ (Δημητρίῳ) δέδωκεν ἔχειν εἰς ζωάρκειαν αὐτοῦ τε καὶ τῶν αὐτοῦ τὴν μεγάλην Αἶνον, τὴν Λῆμνον, τὴν Ἴμβρον καὶ τὴν Σαμοθράκην. Chalc p. 483, 17 : τῷ ἡγεμόνι ἐπέτρεψεν Αἶνον πόλιν καὶ πρόσοδον ἀπὸ τῆς αὐτοῦ ταύτῃ ἁλικῆς, καὶ ἀπὸ τῶν θυρῶν ἐς ἑξήκοντα (70 sec. Critob.) μυριάδας ἀργυρίου. || — καὶ πρόσοδον] sic margo, καὶ ἀνάπαυσιν text. || — 5. εὐθηνουμένην] εὐθυν. codex. Dein

μυριάδες. Ἀπέταξε δὲ αὐτῷ καὶ τρεῖς* τοῦ ἔτους λαμβάνειν ἀπὸ τοῦ τῆς Ἀδριανοῦ ἀργυροκοπείου ἑτέρας μυριάδας δέκα, ὥστε ξυμπάσας εἶναι τὰς διδομένας αὐτῷ ἐτησίως παρὰ τοῦ βασιλέως ἐς πρόσοδον ἀργυρίου κέρμα μυριάδας ἑβδομήκοντα. (7) Ταῦτα δὲ οὖν πάντα δοὺς αὐτῷ καὶ ἕτερα πλεῖστα ἐπιδαψιλευσάμενός τε καὶ δωρησάμενος, αὐτοῦ καταλείπει, αὐτὸς δὲ, φθινοπώρου λήγοντος ἤδη, ἀφικνεῖται ἐς τὸ Βυζάντιον παραχειμάσων αὐτοῦ. Καὶ ὄγδοον δὴ καὶ ἑξηκοστὸν ἔτος πρὸς τοῖς ἑξακισχιλίοις τε καὶ ἐνναχοσίοις τοῖς ὅλοις ἠνύετο, δέκατον δὲ τῆς ἀρχῆς τῷ βασιλεῖ.

Εὔρου pro Ἕβρῳ codex, ut supra. || — § 6. τρεῖς τοῦ ἔτους] Hoc ferri nequit, neque τρὶς scribere licet. An αὐτῷ καὶ τοῖς αὐτοῦ κατ' ἔτος? An καὶ πρὸς τούτοις? An σοῦς artum est ex dittographia vocis ἑτέρας? || — § 7. ὄγδοον et dein δέκατον in rasura scriptum.

ΚΡΙΤΟΒΟΥΛΟΥ

ΞΥΓΓΡΑΦΗΣ ΙΣΤΟΡΙΩΝ ΤΕΤΑΡΤΗ.

Περιέχει ἥδε προσχώρησιν Σινώπης πόλεως καὶ πάσης ἀρχῆς τοῦ Ἰσμαήλου καὶ προσχώρησιν Τραπεζοῦντος καὶ πάσης τῆς ἐν αὐτῇ ἀρχῆς καὶ τοῦ βασιλέως αὐτῆς, ἔτι δὲ τὴν Γετῶν ἐπανάστασιν καὶ δουλείαν τήν τε τῆς Λέσβου ἅλωσιν πάσης καὶ πρώτην ἐσβολὴν τοῦ βασιλέως κατὰ τῆς Βόστρων καὶ καταστροφὴν καὶ ἅλωσιν πάσης. Χρόνου πλῆθος ἔτη τρία.

Βασιλεὺς δὲ γενόμενος ἐν Κωνσταντινουπόλει καὶ μικρὸν ἀνεθεὶς, στρατιὰν αὖθις ἤγειρε πλείστην καὶ στόλον μέγαν ἐξήρτυε κατὰ γῆν τε καὶ θάλασσαν καὶ ὅπλα καὶ μηχανὰς κατεσκεύαζε καὶ πᾶσαν ἄλλην ἐξεπλήρου χρείαν πολεμικήν. Ἦν δέ οἱ ἡ παρασκευὴ αὕτη καὶ ὁ σκοπὸς τῆς ἐκστρατείας ἐς Τραπεζοῦντά τε καὶ Σινώπην. (2) Ἡ γὰρ Τραπεζοῦς ἦν μὲν τὸ παλαιὸν πόλις μεγίστη τε καὶ καλλίστη, ἀλλὰ δὴ καὶ πρεσβυτάτη τῶν Ἑλληνίδων, Ἰώνων ἄποικος οὖσα καὶ Ἀθηναίων, κειμένη δ' ἐν καλῷ τῆς Ἀσίας ἐν τῷ πρὸς ἥλιον ἀνίσχοντα μυχῷ τοῦ Εὐξείνου πόντου παράλιος· νέμεται χώραν ἀρίστην τε καὶ πλείστην καὶ πάμφορον καὶ πολλῆς ἐπάρχει τῆς περιοικίδος· καταστᾶσα δέ γε τὸ ἐξ ἀρχῆς κοινὸν ἐμπόριον τῆς ἄνω Ἀσίας, λέγω δὴ Ἀρμενίας τε καὶ Ἀσσυρίας καὶ τῆς ἄλλης πλησιοχώρου, ἤκμασεν ἐν τοῖς ἄνω χρόνοις, καὶ πλοῦτον ἔσχε πολὺν καὶ δύναμιν πλείστην καὶ δόξαν περιεβέβλητο, καὶ τῶν ὀνομαστῶν ἦν οὐ τοῖς ἐγγὺς μόνον, ἀλλὰ δὴ καὶ τοῖς πόρρω. (3) Τοῦ χρόνου δὲ προϊόντος κατὰ μικρὸν καὶ τῶν ἐν Ἀσίᾳ πραγμάτων ἄλλοτε ἄλλως ἐχόντων τε καὶ μεταβαλλομένων, καὶ βασιλείων τῶν μὲν καταλυομένων τε καὶ ἀνῃρημένων, τῶν δ' ἀνισταμένων ἤδη, καὶ πόλεων καὶ χωρῶν τῶν μὲν κατεστραμμένων τε καὶ ἠφανισμένων τελείως, τῶν δ' ἐπιγινομένων τε καὶ οἰκιζομένων αὖθις, ἥψατο καὶ ταύτης μεταβολὴ πρὸς καιρὸν, καὶ πάλιν ἀνακτησαμένη τε ἑαυτὴν ὅτι τάχιστα καὶ ἐς τὴν προτέραν εὐδαιμονίαν τε καὶ κατάστασιν ἐπανελθοῦσα διαγέγονε τὸ ἐξ ἐκείνου ἀσινὴς πάντῃ καὶ μηδενὶ προσκόψασα δυσχερεῖ. (4) Ἐν δὲ τοῖς ὑστέροις καὶ πρὸ ἡμῶν ὀλίγον καιροῖς καὶ βασίλειον κατέστη ἑνὸς τῶν ἐκ τοῦ βασιλείου γένους Ῥωμαίων τῶν Κομνηνῶν, ἐκ Βυζαντίου ἐκπεσόντος αὐτοῦ καὶ ἔργα πλεῖστα καὶ κάλλιστα ἐν αὐτῇ ἐπιδειξαμένου καὶ πολλῶν τῶν πέριξ γενῶν καὶ πόλεων ἄρξαντος· καὶ κατήχθη ἡ τούτων διαδοχή τε καὶ βασιλεία ἐς δεῦρο εἰρηνικὴ πάντῃ καὶ ἀστασίαστος, τῶν τε βασιλέων εἰρηνευόντων τε καὶ ὁμονοούντων, τῶν τε ἔνδον ἠρεμούντων, τῶν τε ἔξω γενῶν τῶν μὲν ὑπακουόντων, τῶν δὲ ἐνσπόνδων ὄντων αὐτοῖς. (5) Μετὰ ταῦτά γε μὴν στάσεσι καὶ ἐμφυλίοις χρησαμένων αὐτῶν, καὶ κατ' ἀλλήλων τῶν ἐκ τοῦ γένους μανέντων, ἐνόσησε καὶ αὕτη μετὰ τῶν ἄλλων, καὶ τελευτῶσα τοῖς ὅλοις κακῶς ἀπήλλαξε, τῶν βασιλέων καὶ τῶν ἔνδον, ἧπερ ἔφην, στασιαζόντων τε καὶ μαχομένων καὶ διατιθέντων ἀλλήλους κακῶς, τῶν τε πλησιοχώρων ἐθνῶν διὰ τὰς ξυνεχεῖς στάσεις ἐπανισταμένων τε αὐτῇ καὶ κατατρεχόντων πολλάκις καὶ ληιζομένων καὶ βλαπτόντων τὰ μέγιστα. (6) Τοίνυν, ἕως μὲν τὰ τῆς Κωνσταντίνου καλῶς ἐφέρετο, καὶ Ῥωμαῖοι ταύτην ἔχοντες τοῦ πορθμοῦ κύριοι ἦσαν, καὶ ὁ Βόσπορος ἦν οὐ διαβατὸς, καὶ ὁ Εὔξεινος πόντος ὅλως ἄπλωτος ἦν τῷ μεγάλῳ στόλῳ τοῦ βασιλέως, ἀντεῖχε καὶ αὕτη μετὰ τῶν ἄλλων, καὶ ἀνέφερε τὰς αὐτῆς ἀκαιρίας, φυλάττουσα τὴν ἐλευθερίαν ὡς δυνατὸν καὶ μηδὲν τοσοῦτον παραβλαπτομένη τοῖς ἐμφυλίοις κακοῖς. Ἐπεὶ δέ γε τὰ πράγματα μετέπεσε, καὶ ἡ Κωνσταντίνου χειρὶ πολλῇ καὶ δυνάμει ἐκπολιορκηθεῖσα ὑπὸ τοῦ μεγάλου βασιλέως ἑάλω, καὶ ὁ πορθμὸς γέγονεν ὑπ' αὐτῷ, καὶ ἡ πρὸς τὸν Εὔξεινον πόντον καὶ τὰς ἐκεῖσε πόλεις ὁδὸς ἠνοίγη λαμπρῶς κατὰ γῆν τε καὶ θάλασσαν, τηνικαῦτα δὴ καὶ αὕτη μετὰ τῶν ἄλλων ἔκλινε καὶ κατακούειν ἤρξατο, καὶ οἱ ἐν αὐτῇ βασιλεῖς ὑποκύψαντες τῷ μεγάλῳ βασιλεῖ γεγόνασι φόρου ὑποτελεῖς. (7) Ἕως μὲν οὖν εἰρηνεύοντές τε ἦσαν αὐτοί τε

I. Expeditionem contra Sinopen et Trapezuntem et Armeniae principem obiter Phrantzes tangit p. 94 et 414, pluribus Ducas p. 340-343, plurimis Chalcocondylas p. 485-497 narrant. Haud spernendus denique Seadeddinus 2, p. 194-199 (*Presa di Sinapi e di Castimonia*) et p. 199–208 (*Presa di Trabisonda et di Coiunli*). Ex recentioribus hæc perstringunt Fallmerayer in *Geschichte des Kaiserthums von Trapezunt* (*München* 1827) p. 273 sqq., Finlay *The history of Greece and the empire of Trebizond* (London 1851) p. 485 sqq., Hammer l. l. p. 51 sqq., Zinkeisen l. l. 2, p. 327 sqq. || — In argumento codex Ἰσμαίλου pro Ἰσμαήλου. || — § 1. μέγαν] μέγα cod. || — § 2. Ἰώνων ἄποικος οὖσα καὶ Ἀθηναίων] Trapezus colonia erat Sinopensium, Sinope vero colonos Milesios et deinceps etiam Athenienses acceperat. || — § 4. καὶ πρὸ ἡμῶν ὀλίγον καιροῖς] sic mgo, καὶ κάτω καιροῖς text. || — ἑνός] Isaaci. Vid. Chalcoc., qui pluribus hæc prosequitur. || — τῶν Κομνηνῶν add. margo. || — § 5. ἐμφυλίοις] vox h. l. substantive usurpatur; infra § 6 habes ἐμφυλίοις κακοῖς. || — § 6. ἐκπολιορκηθεῖσα] sic margo, κυκλωθεῖσα text. || — ὑποκύψαντες] sic margo, σπεισάμενοι text. || — § 7. τὸν δασμὸν] Joannes Trapezuntis regulus Mechemeti primum 2000, deinde

ἐς ἀλλήλους καὶ τὸν δασμὸν ἀπεδίδουν καὶ νεωτέρων πραγμάτων οὐχ ἥπτοντο, ἐτύγχανον καὶ αὐτοὶ τοῦ βασιλέως εἰρηνικοῦ· ἐπεὶ δὲ αὐτοί τε ἐν ἀλλήλοις διεστασίασαν καὶ τὸν δασμὸν οὐ πάνυ ῥᾳδίως παρεῖχον, πρός τε τοὺς πλησιοχώρους αὐτοῖς βασιλεῖς τῶν τε Τιγρανοκέρτων καὶ Ἀρμενίων καὶ Μήδων Χασάνεα τὸν Τομήριος καὶ δὴ καὶ Ἰβήρων ἐπιγαμίαν ἔχοντες, ἐδόκουν καινότερά τινα πράττειν καὶ νεοχμοῦν ἐς τὰς μετὰ τοῦ βασιλέως σπονδὰς (οὐ γὰρ ἐλάνθανον ταῦτα ποιοῦντες), τηνικαῦτα δὴ καὶ ὁ βασιλεὺς ὀργῇ ληφθεὶς τὴν ἐκστρατείαν κατ' αὐτῶν ἐποιεῖτο, προκαταλαβεῖν τε καὶ προκατασχεῖν τούτους βουλόμενος πρίν τι καὶ νεώτερον πρᾶξαι.

II. Παρασκευασάμενος οὖν χειμῶνος καλῶς, ἐπειδὴ ἔαρ ὑπέφαινεν ἤδη, πρῶτα μὲν τὸν κατὰ θάλασσαν στόλον ἐξήρτυεν ἐς ἀναγωγήν· ἦσαν δὲ τριακόσιαι μάλιστά που τῶν νεῶν στρατιώτιδες καὶ μάχιμοι τριήρεις τε μακραὶ καὶ πεντηκόντοροι καὶ πλοῖα κατάφρακτα παρὲκ τῶν σκευαγωγῶν καὶ τῶν φερόντων τὰς μηχανὰς τῶν τε κατ' ἐμπορείαν ἢ χρείαν ἄλλην ἀφικνουμένων. (2) Ἐνέθηκε δ' αὐταῖς ὅπλα παντοῖα καὶ πλεῖστα, ἀσπίδας τε καὶ θυρεοὺς καὶ κράνη καὶ δόρατα, ἔτι δὲ θώρακάς τε καὶ ἀκόντια καὶ βελῶν διαφόρων πολύ τι χρῆμα τῶν τε ἀπὸ τόξων ἀφιεμένων καὶ τῶν ἄλλων μηχανῶν καὶ δὴ καὶ ἀφετήρια πλεῖστα καὶ πολλὰ ἄλλα τῶν ἐς τειχομαχίαν ἐπιτηδείων. Ἐνεβίβαζε δὲ καὶ ἄνδρας ὅτι πλείστους εὐρωστοτάτους τε καὶ εὐοπλωτάτους καὶ τὰ πρὸς πόλεμον ἱκανῶς παρεσκευασμένους καὶ ἐμπειροτάτους, ἐπιστήσας αὐτοῖς καὶ ἡγεμόνας τοῦ στόλου παντὸς καὶ στρατηγοὺς αὐτοκράτορας Κασίμην τε τὸν σατράπην Καλλιουπόλεως καὶ Ἰαγούπην, ἄνδρα τά τε ναυτικὰ ἐμπειρότατον καὶ τῶν κατὰ θάλασσαν στρατηγὸν ἄριστον. (3) Ἐξαρτύσας οὖν καὶ ὁπλίσας πάντα τὸν στόλον καλῶς, ἐξέπεμπεν· ὁ δ' ἀνήγετο διὰ τοῦ Βοσπόρου ἐπὶ τὸν Εὔξεινον, τάχει τε πολλῷ καὶ βίᾳ καὶ ῥύμῃ φερόμενος, βοῇ τε ξυμμιγεῖ καὶ ἀλαλαγμῷ καὶ εἰρεσίᾳ καὶ ἀντιφιλοτιμήσει ἐς ἀλλήλους χρωμένων τῶν ἐπιβατῶν, καὶ φόβον πολὺν καὶ ἀγωνίαν παρέχων καθ' οὓς ἂν γένοιτο, καὶ πάντας ἐκπλήττων τῷ παραλόγῳ τῆς θέας. Καὶ ὁ μὲν κατὰ θάλασσαν στόλος οὕτως.

III. Βασιλεὺς δὲ τὰς Εὐρωπαίας δυνάμεις ξυνεκρότει τε καὶ διεβίβαζεν ἐς τὴν Ἀσίαν ἱππικάς τε καὶ πεζικάς, ἔτι δὲ ἵππων τε καὶ ὑποζυγίων καὶ ἡμιόνων ἀχθοφόρων καὶ καμήλων πολύ τι χρῆμα καὶ πᾶσαν ἄλλην τοῦ πολέμου χρείαν τε καὶ ἀποσκευήν. Ὡς δὲ ἅλις εἶχε τῆς τούτων διαβάσεως, τότ' ἤδη καὶ αὐτὸς διαβαίνει, καὶ προελαύνων διὰ τῆς Βιθυνίας ἀφικνεῖται ἐς τὴν Προυσίου, οὗ δὴ καὶ τὰς τῆς Ἀσίας δυνάμεις εὗρε πάσας ξυνηθροισμένας. (2) Διαγαγὼν δὲ οὐ πολλὰς ἡμέρας αὐτοῦ, καί τινα τῶν ἐν χρείᾳ καταστησάμενος καὶ τὸν στρατὸν ἐξαρτύσας ἅπαντα, σπείσας τε τῷ τάφῳ τοῦ πατρὸς καὶ τὰ νενομισμένα τελέσας αὐτῷ μεγαλοπρεπῶς, καὶ δώροις ὅτι γε πλείστοις καὶ ἀναθήμασι κοσμήσας καὶ στεφανώσας αὐτόν, ἄρας ἐκεῖθεν ᾔει διὰ τῆς Γαλατῶν τε καὶ Παφλαγόνων. (3) Ἦν δέ οἱ ἡ στρατιά, ὡς ἐλέγετο, ἵππος μὲν ἑξακισμυρία, πεζὸς δὲ οὐκ ἐλάσσων ὀκτακισμυρίων ἄνευ μέντοι γε τῶν σκευοφόρων καὶ τῶν ἄλλως ἑπομένων τῇ στρατιᾷ. Διελάσας δὲ ταύτας τε καὶ τὴν Καππαδοκῶν καὶ διαβὰς τὸν Ἅλυν γίνεται κατὰ Σινώπην, πόλιν παράλιον καλλίστην τε καὶ πλουσιωτάτην τῶν ἐν τῷ Εὐξείνῳ πόντῳ, καὶ πλείστης δὴ καὶ ἀρίστης χώρας ἐπάρχουσαν, ἣ δὴ κοινὸν ἐμπόριον οὖσα τῆς περιοικίδος ἁπάσης καὶ δὴ καὶ μέρους οὐκ ὀλίγου τῆς κάτω Ἀσίας, καὶ πολλοῖς εὐθηνουμένη τοῖς ἀγαθοῖς, ὅσα φέρουσιν ὧραι καὶ γῆ καὶ θάλασσα (τὸ μέγιστον ὁ χαλκός ἐστιν, ὃς ἄφθονος ἀνορυττόμενος αὐτοῦ γεωργεῖται, καὶ διαδιδόμενος πανταχοῦ τῆς Ἀσίας τε καὶ Εὐρώπης καὶ διατιθέμενος), προσόδους μεγάλας χρυσοῦ καὶ ἀργύρου παρέχει τοῖς ἐν αὐτῇ. (4) Εἶχε δὲ αὐτῆς τὴν ἀρχὴν πρὸ χρόνων πολλῶν

3000 aureos pependerat, sec. Chalc. p. 467, 5. Cf. Ducas p. 314, 17. Zinkeisen 2 p. 328. || — πρός τε τοὺς πλησιοχώρους] De his fœderibus v. Chalcoc. p. 461, Fallmerayer l. l. p. 259. 264. Hammer 2, p. 57, Zinkeisen 2, p. 328 sqq. || — Χασάνεα] *Usun-Hassan*, i. e. *longus Hassan*, Turcomanorum alborum princeps, Χασάνης ὁ μακρὸς ap. Chalc., Οὐζοῦν Χασᾶν ὁ δεσπόζων τὰ μέρη τῆς Ἀρμενίας καὶ γειτνιάζων τοῖς Κολχοῖς ap. Ducam p. 339. Huic Hassani Davides, Trap. imp., Catharinam, Joannis fratris filiam, in matrimonium dederat. Verba τὸν Τομήριος (i. e Timuris) add. margo. Caput Armeniæ erat Arsinga sive *Erzeroum*, quam urbem Critobulus, veteris geographiæ nomina temere aucupans, Tigranocerta vocat. || — νεοχμοῦν] νεωχ. cod.

II. § 1. τριακόσιοι] Chalc. p. 485, 22 : πληρώσας ναῦς πλοῖά τε καὶ τριήρεις ἀμφὶ τὰ πεντήκοντα καὶ ἑκατόν. Ducas p. 340 : ἐποίησε στόλον τριήρεων καὶ διήρεων μέχρι που τὰ σ' καὶ νῆας ι'. Seadeddin. 2, p. 196 : *mettendo in ordine un' armata di cento galere.* || — § 2. ὅτι πλείστους] Post hæc verba dimidii versus spatium vacuum est; quæ ibi scripta erant, deinceps erasa sunt. || — ἱκανῶς παρεσκευασμένους] sic margo, εὖ ἔχοντας text. || — Κασίμην ... καὶ Ἰαγούπην] Hos alius nemo memorat. || — καὶ Ἰαγούπην ... στρατηγὸν ἄριστον] add. margo.

III. § 1. συνεκρότει τε καὶ] add. mgo. || — παρασκευὴν] mgo; ἀποσκευήν text. || — εἰς τὴν Προυσίου] Ducas p. 341, 1 αὐτὸς δὲ τῷ ἔαρι τὸν πορθμὸν διαβὰς ἧκεν εἰς Προῦσαν τῆς Βιθυνίας, μὴ ἐπισταμένου τινὸς μηδὲ νοήσαντος τὴν βουλήν. Seadeddin. 2, p. 196 : *Il rè sen' andò per via di Mudania a Brussa, dove si tratenne con li suoi ministri e cavalieri fin all' arrivo di Mahmud Bassa suo vesir, il quale passando il mare a Gallipoli con un grandissimo esercito s'accampò nella campagna di Brussa. Si congiunse anco l'esercito di Natolia.* || — εὗρε] sic mgo, εἶχε text. || — § 3. διαβὰς τὸν Ἅλυν] Ἅλιν cod. A Prusa rex profectus est Ancyram, teste Duca et Seadeddino ll. ll. Ibi in castra venit Ismaelis Sinopensium regis filius, quem Mechemetes, sec. Seadeddinum, in vincula conjecit, sec. Ducam vero ad patrem remisit deditionem Sinopes postulans. Ab Ancyra porro Chisil-Achmet emissus est, ut Castimonia, Sinopicæ ditionis urbe, potiretur. Ipse Mechemetes Sinopen petens si Halym trajecit, ut Critobulus refert, per viarum ambages eo se contulit. || — εὐθηνουμένη] εὐθυνουμένη codex. || — § 4 ἐκ ξυνθήματος] Hæc addit

Ἰσμαῆλος, ἀνὴρ δυνατός τε καὶ τῶν εὖ γενονότων παρ' αὐτοῖς, πατρικὴν ἄνωθεν κεκτημένος ἐς αὐτὸν κατιοῦσαν ἐκ διαδοχῆς. Ἐπὶ ταύτην οὖν ἐλάσας ὁ βασιλεὺς στρατόπεδον τίθησιν· εὑρίσκει δὲ καὶ τὸν κατὰ θάλασσαν στόλον αὐτοῦ ἐφορμοῦντα τοῖς λιμέσιν αὐτῆς· προλαβόντες γὰρ οἱ στρατηγοὶ ἐκ ξυνθήματος κατῆραν, καὶ κρατήσαντες τῶν τε λιμένων καὶ τοῦ ἰσθμοῦ, πᾶσαν ἐν κύκλῳ περιέσχον ταῖς ναυσὶ τήν τε πόλιν καὶ τὴν νησῖδα· χερρόνησος γὰρ ἦν. (5) Ἰσμαῆλος δὲ τὴν ἀθρόαν ἔφοδον τοῦ βασιλέως ἰδὼν τήν τε κατὰ γῆν καὶ θάλασσαν στρατιὰν περιστοιχίσασαν τήν τε πόλιν καὶ ἑαυτὸν, ἐξεπλάγη τε τῷ γινομένῳ, καὶ τί δεῖ ποιεῖν ἐς τὸ παρὸν ἐσκόπει. Ἔδοξεν οὖν αὐτῷ σκοπουμένῳ βέλτιον εἶναι αὐτὸν ἐξελθόντα τῷ βασιλεῖ ξυντυχεῖν καὶ τὰς αἰτίας τῆς κατ' αὐτοῦ ἐφόδου μαθεῖν τε καὶ διαλύσασθαι, εἴ γε δύναιτο. Καὶ δὴ δῶρα πλεῖστά τε καὶ πλείστου ἄξια ἑτοιμασάμενος ἔξεισιν ἐς βασιλέα. (6) Ὁ δὲ δέχεται τοῦτον ἡμέρως καὶ φιλανθρώπως καὶ προσαγορεύει φιλίως, καὶ δεξιοῦται καὶ τιμᾷ ταῖς πρεπούσαις τιμαῖς. Ἐς λόγους δὲ καταστάντες τοὺς περί τε τῆς ἀρχῆς καὶ τῆς πόλεως, καὶ πολλὰ εἰπόντες καὶ κοινολογησάμενοι μετ' ἀλλήλων ἑκάτεροι ἀναγκαῖα καὶ δίκαια τῷ τε καιρῷ καὶ ἑαυτοῖς λυσιτελῆ τε καὶ πρόσφορα, τέλος ξυμβαίνουσιν ἐπὶ τοῖσδε, καὶ διαλύονται εἰρηνικῶς καὶ φιλίως. (7) Καὶ ὁ μὲν βασιλεὺς λαμβάνει τήν τε πόλιν Σινώπην καὶ τὴν ταύτῃ πᾶσαν τοῦ Ἰσμαήλου ἀρχὴν, ἀντιδίδωσι δὲ αὐτῷ σατραπίαν ἐν τῇ Εὐρώπῃ τὴν τῶν Σκοπίων καλουμένην, ὅμορον οὖσαν τῇ Τριβαλλῶν, χώραν ἀρίστην τε καὶ παμφορωτάτην καὶ κατ' οὐδὲν ἀποδέουσαν τῆς αὐτοῦ καὶ προσόδων ἕνεκα καὶ ἀρχῆς καὶ τῆς ἄλλης διαίτης καὶ ἀναπαύσεως. (8) Ὁ γάρ τοι βασιλεὺς αἰτίαν μὲν οὐδεμίαν ἐπιφέρειν εἶχε τῷ Ἰσμαήλῳ, πάνυ δὲ προὔργου τήν τε Σινώπην καὶ τὴν ταύτης κατάσχεσιν ἐποιεῖτο, πόλιν τε οὖσαν λόγου ἀξίαν ἐν ἐπικαίρῳ τε κειμένην τῆς ἐν τῷ Εὐξείνῳ πόντῳ Ἀσιανῆς παραλίας, καὶ λιμένας ἔχουσαν ἀσφαλεῖς καὶ παραπέμπειν δυναμένους καλῶς τόν τε στόλον καὶ τὰ πλοῖα τοῦ βασιλέως ἐς Τραπεζοῦντά τε καὶ τὴν ἄνω πᾶσαν παραλίαν τοῦ Πόντου καὶ τὰς ἐκεῖσε πόλεις, ἄλλως τε δὴ καὶ ἐν μέσῃ τῇ χώρᾳ τοῦ βασιλέως κειμένην οὐκ ἐδόκει αὐτῷ ἀσφαλὲς εἶναι κατὰ πολλὰ ὑφ' ἑτέροις ἡγεμόσι τελεῖν καὶ μὴ ὑπ' αὐτῷ· οὐ μόνον δὲ, ἀλλὰ καὶ ἐδεδίει Χασάνεα τὸν βασιλέα Τιγρανοκέρτων καὶ Μήδων, μὴ λάθῃ ταύτην προκατασχὼν ἢ ξυμβάσει ἢ πολέμῳ, γειτονοῦσαν τε τῇ αὐτοῦ καὶ πάντα τρόπον ἐπιβουλεύοντα καὶ χειρώσασθαι ταύτην βουλόμενον εἰδὼς ἐκ πολλοῦ. Διὰ ταῦτα τοίνυν ἀναγκαία γέγονε τῷ βασιλεῖ ἡ τῆς Σινώπης κατάσχεσις.

IV. Καὶ Ἰσμαῆλος μὲν ξὺν τοῖς αὐτοῦ πᾶσιν εὐθὺς ᾤχετο ἐς τὴν αὐτοῦ σατραπείαν ἀπιὼν, βασιλεὺς δὲ παραλαβὼν τήν τε Σινώπην καὶ πᾶσαν τὴν Ἰσμαήλου ἀρχὴν, καὶ τὰ ἐν αὐτῇ καταστησάμενος πάντα, Κασίμην μὲν καὶ Ἰαγούπην εὐθὺς κελεύει μετὰ τοῦ στόλου παντὸς ἀναχθέντας πλεῖν εὐθὺ Τραπεζοῦντος, καὶ προσσχόντας τοῖς λιμέσι κατακλεῖσαι ταύτην κατὰ γῆν τε καὶ θάλασσαν καὶ φυλάσσειν ἀσφαλῶς· αὐτὸς δὲ ἄρας ἐκεῖθεν παντὶ τῷ στρατῷ ᾔει διὰ τῆς μεσογείας, καὶ καταλαβὼν τὸν Ταῦρον, στρατοπεδεύεται πρὸς ταῖς ὑπωρείαις αὐτοῦ. (2) Ἔστι δὲ ὁ Ταῦρος ὄρος μέγιστον τῶν ἐν Ἀσίᾳ, διορίζων τὴν κάτω Ἀσίαν ἀπὸ τῆς ἄνω, ἀρχόμενος μὲν ἀπὸ Μυκάλης τοῦ ὄρους καὶ τῆς ταύτῃ θαλάσσης, ἐκεῖθεν δὲ παρήκων καὶ τέμνων τὴν Ἀσίαν τελευτᾷ ἐς τὸν Εὔξεινον πόντον κατὰ Σινώπην, κἀκεῖθεν αὖ διερχόμενος

---

margo. ‖ — § 5. εἴ γε δύναιτο] add. margo. ‖ — § 7. τῶν Σκοπίων] Veteres Σκοῦποι apud Annam quoque Comnenam 9, p. 253 τὰ Σκόπια vocantur. At non hanc urbem, sed Philippopolim Ismaeli datam esse tradunt Chalcocondyl. p. 488, 1, Ducas p. 342, 3 et Seadeddin. p. 206 : *fù con la sua moglie et figliuoli trasportato a Filippopoli, dove egli stette fin alla sua morte.*

IV. § 1. καὶ Ἰσμαῆλος μὲν ... ἀπιών] add. margo. ‖ — προσσχόντας] προσχ. cod. ‖ — ἀσφαλῶς add. margo. ‖ — § 2. ἔστι δὲ ὁ Ταῦρος etc.] Eodem modo de Tauro Critobulus exponit lib. 1, 14, 3. Sec. Chalcoc. p. 491 Mechemetes a Sinope urbe per Cappadociam iter faciens obvium habuit filium suum, Amasiæ præfectum; venit deinde in Sebastiæ regionem. Ἐπεὶ δὲ παραμειψάμενος τὴν Σεβάστειαν ἐσέβαλεν ἐς τὴν Χασάνεω χώραν, πολίχνην μὲν ** τοὔνομα ἐπιὼν παρεστήσατο. Μετὰ δὲ προϊόντι ἀφικνεῖται ἐς αὐτὸν βασιλέα ἡ τοῦ Χασάνεω μήτηρ, φέρουσά τε δῶρα λαμπρὰ καὶ ὑπὲρ τοῦ παιδὸς διαπρεσβευομένη. Oppidum, cujus nomen ap. Chalc. excidit, erat *Kojunlu-hissar*, ut liquet ex Seaddeddino 2, p. 201, ubi hæc : *Dopo che hebbe ricuperato il paese d'Isfendiaro* (Sinopen), *voltò le sue tendini militari contra la città di Coiunli per esservi vicina. Onde intesosi da Usun Hassan l'arrivo dell' esercito a quella città, si levò dal distretto d'Ersengiano* (Ἐρζιγανὴ, Ἀρτζίγγα, Ἔρτζικα, τὰ τῶν Ἀρμενίων βασίλεια ap. Chalc. p. 167, 168, 378, hod. *Erzeroum*; Τιγρανόκερτα Critobuli), *e si ricoverò nell' alpi di Chiemah* (deb. *Kamach*, ut Fallmerayer monet). In his quoque regionibus Turci hostem vincunt, et nepotem Chasanis, qui *Menser* montis fauces occupaverat, nocturno impetu opprimunt. Interim *Coiunli* oppidum se dediderat. Deinde quum rex ad *Balgaro* montem versaretur, Sara mater Chasanis ad regem venit, filii nomine veniam petens. Inde per *Balgaro* montem asperrimum et transeuntibus molestissimum rex Trapezuntem petivit. Igitur Mechemetes a Sinope per Amasiam et *Tokat* (Eudoxiam) et *Tchamlibel* montem ad *Siwa* (Sebastiam) venit in vallem Halyis fluvii (*Kyzyl-irmak*); inde per vallem fluvii versus ortum hibernum pergens accessit ad *Kujunlu-hissar*, quod oppidum in Kieperti tabula (*Karte von Kleinasien*. Berlin 1854) haud longe a *Scharmagky-Sou* (Lyco fl.) ponitur (35° 41 long. Par. et 40° 22 lat.). Hinc ortum versus ad *Erzeroum* urbem (vet. Theodosiopolim) tetendit, tum boream versus se convertit in valle *Tchourouk* (ol. Acampsis) fluvii, cui ab ortu adjacet *Mesra dagh*, qui est *il monte Menser* Seadeddini, ab occasu autem imminet *Baglar* seu *Balchar-dagh* (*Balgaro* ap. Seadedd.; vet. *Paryadres*), quem transiens Mechemetes Trapezuntem profectus est. Nihili sunt quæ apud Ducam leguntur p. 342, 20 : Περάσας δὲ τὴν Ἀρμενίαν καὶ

ἑνοῦται τοῖς Ἀρμενίων καὶ Μήδων ὄρεσι, καὶ δι' αὐτῶν τῷ Καυκάσῳ. (3) Τοῦτόν φασι διαβῆναι ξὺν ὅπλοις πρῶτον Ἀλέξανδρον τὸν Μακεδόνα μεθ' Ἡρακλέα γε καὶ Διόνυσον, στρατεύσαντα κατὰ Δαρείου τοῦ Περσῶν βασιλέως καὶ τῆς ὅλης Ἀσίας, καὶ μετ' ἐκεῖνον αὖθις μετὰ Ῥωμαίων Μάγνον Πομπήιον. Διέβη δὲ κἀν τοῖς ἡμετέροις χρόνοις (καὶ) Τόμιρις ὁ Μασσαγετῶν τε καὶ Σκυθῶν βασιλεὺς, ἡνίκα κατὰ Παϊαζήτεω τοῦ προγόνου τοῦ βασιλέως ἐστράτευσε ξὺν ὅπλοις μέν γε καὶ στρατιᾷ, ἀλλὰ τῶν παρόδων αὐτὸς κρατῶν ἐκ πολλοῦ, καὶ διὰ φιλίας τῆς αὐτοῦ πορευόμενος. Διαβαίνει τοῦτον καὶ νῦν ὁ βασιλεὺς Μεχεμέτης, ἀλλὰ ξὺν ὅπλοις καὶ πολέμῳ, τρίτος ἀπ' Ἀλεξάνδρου, μετὰ Ῥωμαίους τε καὶ Πομπήιον. (4) Χασάνης γὰρ, ᾗ πρόσθεν ἔφην, ἐπιγαμίαν ἔχων τῷ βασιλεῖ Τραπεζοῦντος καὶ ξυμμαχεῖν βουλόμενος τούτῳ, ἄλλως δὲ καὶ Τραπεζοῦντα μᾶλλον αὐτὸς ὑπαγαγέσθαι βουλόμενος καὶ ἐλπίζων, ἐπειδὴ τὴν κατ' αὐτῆς ἔφοδον ἔγνω τοῦ βασιλέως, δύναμιν ἀθροίσας ἧκεν ἐς τὰς παρόδους, εἶρξαι βουλόμενος τὸν βασιλέα τῆς διαβάσεως. (5) Βασιλεὺς δὲ τοῦτο μαθὼν, ἐκεῖνον μὲν αὐτοῦ μετὰ τῆς στρατιᾶς αὐτοῦ χαίρειν εἴασεν, αὐτὸς δὲ ἄλλην ὁδὸν ἀτριβῆ καὶ τραχεῖαν καὶ πάντη δύσπορον καὶ ἀνάντη εὐθὺ φέρουσαν Τιγρανοκέρτων τῶν βασιλείων Χασάνεω ἔτεμε· καὶ πρῶτον μὲν στρατιὰν ἱκανὴν ἐκπέμψας εὐζώνων τε καὶ κούφως ὡπλισμένων ἀνδρῶν τοξοτῶν τε καὶ πελταστῶν μετὰ Μαχουμούτεω τοῦ πασία προκατέσχε τοὺς ἐπικαιροτάτους τῶν λόφων τά τε στενὰ καὶ δυσδιεξίτητα τῶν παρόδων καὶ τὰς δυσχωρίας ἁπάσας. (6) Μετὰ δὲ καὶ ψιλοὺς ἄνδρας ὅτι γε πλείστους ἐκπέμπει ὑλοτομοῦντάς τε καὶ ἐξομαλίζοντας τά τε σκληρὰ καὶ δυσάντη τά τε δασέα καὶ λάσια τῶν χωρίων καὶ δρυμῶνας καὶ λόχμας, δι' ὧν ἔμελλε ποιεῖσθαι τὴν πάροδον, εὐρυτέραν τε αὐτῷ καὶ λειοτέραν κατασκευάζοντας τὴν διάβασιν. (7) Τὸ γὰρ ὄρος τοῦτο ὁ Ταῦρος εἷς μὲν λέγεται εἶναι, ἔχει δὲ ὄρη πολλὰ ἐν ἑαυτῷ δυσδιάβατά τε καὶ δυσδιεξίτητα καὶ κορυφὰς ὑπερνεφεῖς τε καὶ ἠλιβάτους καὶ πάγους ὑπερυψήλους καὶ ἀποτόμους καὶ φάραγγας βαθείας τε καὶ κρημνώδε καὶ σκοπέλους καὶ δυσχωρίας καὶ λόχμας καὶ βάραθρα ἀνάντη τε καὶ κατάντη, δυσάντη τε καὶ προσάντη πολλὰ, ἃ πάντα δυσχολωτάτην τε καὶ δυσχερεστάτην καὶ λίαν ἐπίπονόν τε καὶ κινδυνώδη ποιεῖται τὴν διάβασιν· (8) τὸ δὲ δὴ μεῖζον ὅτι καὶ πολλῶν ἡμερῶν ὁδὸς ἡ διὰ τῶν τοιούτων τε καὶ τοσούτων δυσχερειῶν τε καὶ ἀνοδιῶν φέρουσα, ἣν μόλις ἄνδρες κούφως ὡπλισμένοι καὶ εὐσταλεῖς καὶ οὗτοί γε δὴ ξὺν πόνῳ πολλῷ διαβαῖεν ἂν ἐν ὀκτὼ καὶ δέκα ταῖς ὅλαις ἡμέραις, μὴ ὅτι γε στρατιὰ τοσαύτη ἱππική τε καὶ πεζικὴ μεθ' ὅπλων τε βάρους καὶ ἀποσκευῆς ὅσης οὐδ' ἂν εἴποι τις, ἔτι δὲ ἵππων τε καὶ ὑποζυγίων καὶ καμήλων καὶ ἡμιόνων πάντων ἀχθοφορούντων πολύ τι χρῆμα· ἀλλ' ὅμως ταῦτα πάντα παρ' οὐδὲν θέμενος ὁ βασιλεὺς διαβαίνειν ἐπειρᾶτο. (9) Ἐκτάξας οὖν καλῶς καὶ ὁπλίσας πᾶσαν τὴν στρατιὰν διέβαινε, τὸ μὲν πεζὸν ἔμπροσθεν ἐπὶ κέρως ἔχων ἀεὶ πορευόμενον, τὰ σκευοφόρα δ' ἐν τῷ μέσῳ, τὴν δὲ ἵππον ὄπισθεν τάξας ξὺν οὐραγοῖς τε καὶ ὀπισθοφύλαξιν· αὐτὸς δὲ τὸ μέσον ἐπέχων τοῦ πεζοῦ ξὺν ὀλίγοις ἱππόταις, ὅταν μὲν ἐν στενοπόροις διέβαινεν, ἐς ὀξὺ τὸ κέρας ξυνέστελλεν· ἔστι δ' ὅτε καὶ μετωπηδὸν ἐπὶ κέρως προῄει· (10) ὅτε δ' εὐρυτέρας ἐτύγχανε τῆς διόδου, κατὰ μικρὸν ἀνέπτυσσε τὸ κέρας ἐς φάλαγγα καὶ κατὰ μέτωπον ἦγεν ἐν πλαισίῳ, ἔχων καὶ τοὺς ἐξ ἑκατέρου μέρους τῶν πλαγίων ξυντάξει προϊόντας μετωπηδὸν, τοξότας τε καὶ ὁπλίτας, τοὺς μὲν τὰ τόξα διὰ χειρὸς ἔχοντας ἐντεταμμένα ταῖς νευραῖς ξὺν τοῖς βέλεσι, καὶ τούτους ἐναλλὰξ τοῖς μέρεσιν, τοὺς μὲν ἀριστερῶς βάλλοντας ἐπὶ τὰ δεξιὰ, τοὺς δεξιῶς δ' ἐπὶ τὰ ἀριστερὰ, τοὺς δὲ ὁπλίτας τὰ δόρατα φέροντας ἐπὶ τῶν ὤμων καὶ περιάγοντας ἀεὶ ἔνθεν κἀκεῖθεν καὶ πάλλοντας. (11) Καὶ ἡμέρας μὲν οὕτω ἐπορεύετο, νυκτὸς δὲ στρατοπεδευόμενος πυρά τε πολλὰ ἔκαιε πρὸ τοῦ στρατοπέδου μικρὸν ἀπωτέρω καὶ φυλακὰς εἶχεν ἰσχυρὰς ἐν κύκλῳ καὶ σκοποὺς συχνοὺς πανταχόθεν καὶ προδρόμους, οὓς ἔταττεν ἡμέρας ἐν τοῖς ἐπικαιροτάτοις τῶν χωρίων, πάντοθεν ἀσφαλιζόμενος τὸ στρατόπεδον.

V. Ἐν τούτοις δὲ καί τι ξυνέβη παράλογον, ὅπερ οὐ μικρῶς ἠνίασε τόν τε βασιλέα καὶ τοὺς ἐν τέλει καὶ πᾶσαν τὴν στρατιάν. Ἐχθρὸς γάρ τις ἀνὴρ καὶ δύσνους καὶ βάσκανος, μηδενὸς ὅλως ἔχων αἰτιᾶσθαι, μᾶλλον μὲν οὖν καὶ προσοφείλων χάριτας, ἰδίᾳ δὲ μόνον βασκανίᾳ καὶ κακουργίᾳ κινούμενος ἐπεβούλευε Μαχουμούτει τῷ πασίᾳ. (2) Δραξάμενος οὖν ἐπιτηδείου πρὸς κακουργίαν καιροῦ, καὶ θαρρήσας τῇ δυσχωρίᾳ καὶ ἐλπίσας διαλαθεῖν, λάθρα τε καὶ μηδενὸς εἰδότος ἢ ὑφορωμένου τὸ ξύνολον, ἐντείνας τὸ τόξον βέλος ἀφίησι κατ' αὐτοῦ, καὶ τυγχάνει μὲν αὐτοῦ κατὰ τοῦ μετώπου, οὐ μήν γε καιρίαν ἔσχε πλῆξαι, ξυγχυθείς τε τὸν λογισμὸν τῷ παραλόγῳ τοῦ ἔργου καὶ τὰς χεῖρας ἐκλυθεὶς τῇ ξυγχύσει· ἄλλως δὲ πρὸς θάνατον ἂν ἦν ἡ πληγή. (3) Θορύβου δὲ καταστάντος ἐπὶ τούτῳ μεγίστου, καὶ τοῦ τε βασιλέως καὶ τῶν ἐν τέλει καὶ δὴ καὶ τῆς στρατιᾶς ἁπάσης ξυγχυθέντων οὐ

διαβὰς τὸν Φάσιδα χώρας τὰς μὲν εἷλε, τὰς δὲ παρέδραμε, καὶ τὰ Καυκάσια ὄρη μετὰ πολλοῦ κόπου καὶ τῆς ὑστερήσεως τῶν ἀναγκαίων ἀναβὰς κατῆλθεν ἐς Κολχοὺς, καὶ δὴ ἐς Τραπεζοῦντα ἀνελθὼν κτλ. Quibus fingendis ansam fortassis dedit Phasis ille (*Pasin-Sou*), qui pone *Erzeroum* in Araxem influit. || — Ἀλέξανδρον] Sane Taurum Alexander trajecit, at non illum, de quo Critobulus loquitur. || — § 3. χρόνοις] add. margo. || — Τόμιρις] i. e. Timur. cf. lib. 1, 14, 16. || — § 6. λειοτέραν] sic margo, εὐμαρεστέραν text. || — § 7. καὶ βάραθρα] supra versum adscripta sunt. || — § 8. ξὺν πόνῳ] συμπόνῳ cod. || — βάρους] βάρρους cod.

V. § 1. μόνον] add. margo. || — καιρίαν] καιρίως supra versum adscriptum. || — §. 3 τῆς τόλμης] supra versum ad-

μικρῶς τῷ παραλόγῳ τοῦ γεγονότος, καὶ ὥσπερ ἂν εἰ ἐπίασιν οἱ πολέμιοι αἴφνης, ξυλλαμβάνεται μὲν εὐθὺς ὁ κάκιστος καὶ δύστροπος ἐκεῖνος ἀνὴρ, καὶ πρὶν ἢ λόγου καὶ ἀπολογίας τυχεῖν δίδωσι δίκην τῆς τόλμης τὴν ἀξίαν, κατακοπεὶς ὑπὸ τῆς στρατιᾶς ἀνοικτὶ μεληδὸν, μόνον οὐ πάντων ἀπογευσαμένων τῶν αὐτοῦ σαρκῶν καὶ τοῦ αἵματος. (4) Βασιλεὺς δὲ ξυσχεθεὶς ἀμέτρῳ λύπῃ καὶ ἀγωνίᾳ καὶ φόβῳ τῷ περὶ αὐτὸν, εἰ ζημιωθήσεται ἄνδρα τηλικοῦτον καὶ μάλιστα ἐν τοιούτῳ τῆς ἀνάγκης καὶ τῶν πραγμάτων καιρῷ καὶ τόπῳ, καλεῖ μὲν παραυτίκα Ἰαγούπην τὸν αὐτοῦ ἰατρὸν, ἄνδρα σοφὸν καὶ τὰ πρῶτα τῆς τέχνης φέροντα, ὅση περί τε τὸ πρακτικὸν καὶ φαινόμενον ἔχει, καὶ ὅση περὶ τὸ θεωρητικὸν καὶ δογματικὸν, καὶ δὴ καὶ μέγα δυνάμενον παρ' αὐτῷ, καὶ πυνθάνεται περὶ τοῦ τραύματος. (5) Μαθὼν δ' ἐπιπόλαιον εἶναι καὶ μὴ πρὸς κίνδυνον φέρον, ἀνέπνευσέ τε καὶ τῆς λύπης ὑφεῖκε, καὶ πλεῖστα τούτῳ δωρησάμενος ἐκέλευσεν ἐπιμελεῖσθαι πάσῃ σπουδῇ. Καὶ ὁ μὲν ἐπιμελείας τῆς προσηκούσης τυχὼν ταχέως τοῦ τραύματος ἀπαλλάττεται.

VI. Βασιλεὺς δὲ ἡμέρας ἑπτὰ πρὸς ταῖς δέκα προελαύνων ἀεὶ, καὶ φάραγγας βαθείας καὶ κρημνοὺς ἀποτόμους καὶ δυσχωρίας μεγίστας καὶ τόπους δυσβάτους καὶ ἀποκρότους καὶ πολλὰ τοιαῦτα προσάντη καὶ δυσχερῆ μόλις που καὶ ξὺν πόνῳ πολλῷ διελθὼν, καὶ μεγίστας ὑπομείνας ταλαιπωρίας ἐν ὅπλοις αὐτός τε καὶ πᾶσα ἡ στρατιὰ διαβαίνει τὸν Ταῦρον, καὶ καταβὰς ἐς τὸ πεδίον στρατοπεδεύεται οὐ πόρρω Τιγρανοκέρτων. (2) Χασάνης δὲ τὴν ἀθρόαν ἔφοδον τοῦ βασιλέως μαθὼν, καὶ ὡς δυσχωρίαν τοσαύτην καὶ ὁδὸν ἀτριβῆ καὶ πλείστην καὶ τὸ ὅλον ἄβατον ἐς δεῦρο οὕτως εὐκόλως διέβη καὶ μετὰ τοσαύτης στρατιᾶς τε καὶ ὅπλων (καὶ) ἀποσκευῆς, καὶ πρὸς αὐτοῖς ἤλασε τοῖς βασιλείοις αὐτοῦ, ἐξεπλάγη τε τῷ παραλόγῳ τοῦ γεγονότος, καὶ οἷόν τινι βέλει τῶν ἐξ οὐρανοῦ πληγεὶς ἐς ἀμηχανίαν δεινὴν καὶ φόβον ἐνέπεσε, μὴ ἔχων ὅ τι καὶ δράσειε· καὶ τέλος ἐς ἀνάγκην μεγίστην καταστὰς ἐκπέμπει τὴν αὐτοῦ μητέρα πρέσβιν ὡς βασιλέα μετὰ δώρων ὅτι πολλῶν, ἀπολογούμενός τε ὑπὲρ ὧν ἔδοξε δρᾶσαι, καὶ ξυγγνώμην αἰτῶν, καὶ ἅμα δεόμενος ξύμμαχος εἶναι καὶ φίλος τοῦ βασιλέως. (3) Ὁ δὲ δέχεται ταύτην φιλίως καὶ τιμᾷ ταῖς πρεπούσαις τιμαῖς, καὶ λαλήσας εἰρηνικὰ μετ' αὐτῆς σπένδεται καὶ δέχεται φίλον καὶ ξύμμαχον εἶναι Χασάνεα· οὐ μὴν ἀπέπεμψέ γε ταύτην εὐθὺς, ἀλλ' ἔχων μεθ' ἑαυτοῦ ἐπορεύετο. Καὶ ὁ μὲν βασιλεὺς οὕτως.

VII. Οἱ δὲ τοῦ στόλου ἡγεμόνες καταπλεύσαντες ἐς Τραπεζοῦντα προσέσχον τοῖς λιμέσιν αὐτῆς, καὶ ἀποβάντες ξυνάπτουσι πόλεμον Τραπεζουντίοις ἐπεξελθοῦσι πρὸ τῆς πόλεως· καὶ τρεψάμενοι τούτους ξυνωθοῦσι βίᾳ καὶ κατακλείουσιν ἐντὸς τοῦ ἄστεος. (2) Κρατήσαντες δὲ τῆς ἔξω χώρας ἁπάσης καὶ τῆς παρόδου τῆς πρὸς τὴν πόλιν, καὶ κύκλῳ περισχόντες αὐτοὺς τῷ στρατῷ κατὰ γῆν καὶ κατὰ θάλασσαν ταῖς ναυσὶν ἐπολιόρκουν, παραφυλάττοντες ἰσχυρῶς τοῦ μή τι τῶν ἔνδον ἐξαγαγεῖν ἢ τῶν ἔξωθεν ἐσκομίσασθαι. (3) Ἡμέραι μὲν οὖν παρῆλθον ἑξῆς ὀκτὼ πρὸς ταῖς εἴκοσι πολιορκουμένοις, ἐν αἷς ἐκδρομαί τινες ἐγίνοντο τῶν ἀπὸ τῆς πόλεως πρὸς τοὺς ἔξω, κἀν ταύταις οὐδὲν ἔλαττον εἶχον οὗτοι τῶν πολεμίων, ὅμως γε μὴν ξυνελαυνόμενοι βίᾳ ὀλίγοι ὑπὸ πολλῶν αὖθις ἐσωθοῦντο καὶ κατεκλείοντο ἐς τὸ ἄστυ. (4) Μετὰ δὲ ταῦτα παραγίνεται Μαχουμούτης ὁ πασίας ξὺν τῇ κατὰ γῆν στρατιᾷ, προλαβὼν ἡμέρᾳ μιᾷ τὸν βασιλέα, καὶ στρατοπεδευσάμενος οὐ πόρρω τοῦ ἄστεος, πέμψας ἄγγελον Θωμᾶν τὸν Καταβοληνοῦ, λόγους προσφέρει τοῖς ἐν τῇ πόλει καὶ βασιλεῖ τούτων ξυμβατηρίους περὶ ἐνδόσεως ἑαυτῶν τε καὶ τῆς πόλεως, βέλτιον εἶναι λέγων αὐτοῖς καὶ τῶν κατὰ πολὺ ξυμφερόντων καταπιστεῦσαι ἑαυτούς τε καὶ τὴν πόλιν τῷ μεγάλῳ βασιλεῖ μετά γε ξυμβάσεων καὶ ὅρκων βεβαίων καὶ πίστεως· τοῦτο γὰρ ἔσται πρὸς καλοῦ καὶ ἐπωφελοῦς αὐτοῖς τε κοινῇ τῷ τε βασιλεῖ ἰδίᾳ καὶ παισὶ τοῖς αὐτοῦ καὶ τοῖς γε περὶ αὐτὸν πᾶσι, τῷ μὲν, τυχόντι προνοίας παρὰ τοῦ μεγάλου βασιλέως, χώρας τε πολλῆς καὶ προσόδων ἱκανῶν ἔς τε διατροφὴν αὐτοῖς καὶ ἀνάπαυσιν καὶ πᾶσαν ἄλλην χρείαν τε καὶ αὐτάρκειαν, τοῖς δὲ, καθῆσθαι ξὺν γυναιξὶ καὶ τέκνοις ἀπαθέσιν ὅλως κακῶν, ἔχουσι τήν τε πατρίδα καὶ τὰ ὑπάρχοντα. (5) Εἰ δὲ προκαλουμένου νῦν ἐπὶ ξυμβάσεις τοῦ μεγάλου βασιλέως παρακούσειαν, οὐκέτι ἕξουσι τοῦ λοιποῦ πρὸς αὐτὸν ξυμβάσεών τε καὶ ξυνθηκῶν ὅλως μνησθῆναι, ἅπαξ ὀργῇ καὶ θυμῷ καταστάντος ἐς τὸ πολεμεῖν, ἀλλὰ κριθήσονται τὰ κατ' αὐτοὺς ὅπλοις μᾶλλόν τε καὶ σιδήρῳ, καὶ ἁλόντες πολέμῳ ὑποστήσονται φόνον τε καὶ διαρπαγὴν καὶ δουλείαν καὶ ὅσα πολέμου καὶ ἁλώσεως πάθη. Καὶ ὁ μὲν οὕτως. (6) Οἱ δὲ ἐν τῇ πόλει καὶ βασιλεὺς αὐτῶν ἀκούσαντες ταῦτα ἐδέξαντό τε τοὺς λόγους ἡσύχως, καὶ τοῦ μεγάλου βασιλέως ἔφασαν παραγενομένου

scriptum. || — ἀπογευσαμένων] sic supra lineam m. 2, ἀπογευόμενον m. 1. || — § 4. Ἰαγούπην τοῦ αὐτοῦ] add. mgo, sicut mox verba ἄνδρα σοφὸν etc... μέγα δυνάμενον. || — § 5. πάσῃ σπουδῇ add. mgo.

VI. § 1. ξὺν πόνῳ] συμπόνῳ cod. || — § 2. ἔφοδον ... μαθὼν] sic m. 2 in marg., διάβασιν ... ἰδὼν m. 1. || — μεγίστην] add. mgo. || — § 3. δέχεται τ. φιλίως] Cf. Chalc. p. 491. Seadedd. p. 204.

VII. § 3. ἑξῆς] add. mgo. || — § 3. ὀκτὼ πρὸς ταῖς εἴκοσι] λϐ' sec. Chalc. p. 494, 6. || — § 4. οὐ πόρρω τοῦ ἄστεος] ἐν τῇ λεγομένῃ Σκυλολίμνῃ Chalc. p. 494, 13. || — Καταβοληνοῦ] Cf. supra lib. 3, 20, 5. || — ὑπάρχοντα] οἰκεῖα mgo. || — τὸν Θωμᾶν] m. 2, τὸν αὐτὸν m. 1. Apud Chalcoc. p. 394, 13 Machumutes Georgium (cujus mater erat soror matris Machumutis. V. Fallmerayer. p. 278), Davidis regis protovestiarium, amandavit ut de tradendo regno verba perferret.

ξυμβήσεσθαι. Τῇ δ' ὑστεραίᾳ παραγίνεται καὶ οὗτος, καὶ στρατοπεδεύεται πρὸ τῆς πόλεως, καὶ κήρυκα πέμψας τὸν Θωμᾶν, προκαλεῖται καὶ αὐτὸς ἐπὶ ξυμβάσεις αὐτοὺς ἐπὶ τοῖς αὐτοῖς καὶ ὁμοίοις, ἐφ' οἷσπερ καὶ Μαχουμούτης. (7) Οἱ δὲ τοῦ κήρυκος ἀκούσαντες, δῶρά τε πλεῖστα καὶ κάλλιστα ἑτοιμάσαντες εὐθὺς, καὶ ἄνδρας τοὺς ἀρίστους σφῶν ἀπολεξάμενοι καὶ πίστεις δόντες αὐτοῖς ἐκπέμπουσιν. Οἱ δὲ ἀφικόμενοι προσκυνοῦσί τε τὸν βασιλέα καὶ ξυνθήκας ποιοῦνται, καὶ ὅρκους δόντες καὶ λαβόντες παραδιδόασι τήν τε πόλιν καὶ ἑαυτοὺς βασιλεῖ, καὶ ἀνοίξαντες τὰς πύλας δέχονται Μαχουμούτεα μετὰ τῆς στρατιᾶς, καὶ παραλαμβάνει Μαχουμούτης τὴν πόλιν. (8) Ἔξεισι δὲ καὶ βασιλεὺς Τραπεζοῦντος ξύν γε παισὶ καὶ τοῖς περὶ αὐτὸν ἅπασιν ἐς προσκύνησιν τοῦ βασιλέως. Ὁ δὲ δέχεται τοῦτον ἡμέρως καὶ φιλανθρώπως, καὶ δεξιωσάμενος καὶ τιμήσας τὰ εἰκότα, δωρεῖται πολυτρόπως αὐτόν τε καὶ τοὺς παῖδας καὶ τοὺς ξὺν αὐτῷ πάντας.

VIII. Καὶ μετὰ τοῦτο ἐσέρχεται ἐς τὴν πόλιν ὁ βασιλεὺς, καὶ περιερχόμενος κατεθεᾶτο τήν τε θέσιν αὐτῆς καὶ ἀσφάλειαν καὶ τὴν ἄλλην ἐπιτηδειότητα τῆς τε χώρας καὶ αὐτῆς, ἔτι δὲ τήν τε οἴκησιν καὶ τὸ πλῆθος τῶν ἐν αὐτῇ. Ἄνεισι δὲ ἔς τε τὴν ἀκρόπολιν καὶ τὰ βασίλεια, καὶ εἶδε καὶ ἐθαύμασε τήν τε ἐχυρότητα τῆς ἄκρας καὶ τὰς οἰκοδομὰς τῶν βασιλείων καὶ τὴν λαμπρότητα, καὶ λόγου ἀξίαν διὰ πάντων τὴν πόλιν ἀπέφαινε. (2) Μετὰ δὲ τοῦτο κελεύει τὸν βασιλέα καὶ τοὺς περὶ αὐτὸν ἅπαντας καὶ δή καί τινας τῶν ἐν δυνάμει ὄντων τῆς πόλεως καὶ πλοῦτον κεκτημένων ξὺν γυναιξὶ καὶ παισὶ καὶ τοῖς ὑπάρχουσι πᾶσιν ἐξελθόντας ἐμβῆναι ἐς τὰς τριήρεις. Ἐκλέγεται δὲ καὶ παῖδας τῶν ἐφήβων ἀπό τε τῆς πόλεως καὶ τῆς ἔξω χώρας ἁπάσης περὶ πεντακοσίους που μάλιστα καὶ χιλίους, καὶ αὐτοὺς ἐμβιβάζει ἐς τὰς τριήρεις. (3) Καὶ δωρησάμενος πολλὰ τοῖς ἡγεμόσι τῶν νεῶν, τριηράρχαις τέ φημι καὶ ναυάρχαις, ἔτι δὲ κυβερνήταις καὶ κελευσταῖς καὶ τοῖς ἄλλοις, ἐκέλευσεν ἀποπλεῖν. Καὶ οἱ μὲν ἀνήγοντο, αὐτὸς δὲ παρακατασχὼν τὸν ἕνα τῶν ἡγεμόνων τοῦ στόλου, Κασίμην τὸν σατράπην Καλλιουπόλεως, δίδωσιν αὐτῷ τὴν σατραπείαν Τραπεζοῦντος, δίδωσι δὲ καὶ τῶν ἀπὸ τῆς ἰδίας αὐλῆς ἄνδρας ἐπιλέκτους τετρακοσίους ἐς φυλακήν. (4) Διαγαγὼν δὲ οὐ πολλὰς ἡμέρας αὐτοῦ καὶ τὰ ἐν τῇ πόλει καταστησάμενος πάντα, ὡς ἦν αὐτῷ κατὰ νοῦν, ἄρας ἐκεῖθεν ᾔει τὴν αὐτὴν αὖθις ἐπ' οἴκου. Γενόμενος δὲ κατὰ τὴν Χασάνεω χώραν, ἀποπέμπει τὴν μητέρα αὐτοῦ, πολλὰ δωρησάμενος καὶ τιμήσας, ἐκπέμπει δὲ καὶ πρέσβεις ξὺν αὐτῇ ἐς Χασάνεα τὸν υἱὸν, σπονδάς τε ἀνανεῶν καὶ φίλον καὶ ξύμμαχον, ᾗ πρόσθεν ἔφην, ἔχειν βουλόμενος. (5) Ὁ δὲ καὶ αὐτὸς ἀντιπέμπει πρέσβεις ἐς βασιλέα δῶρά τε φέροντας καὶ ξυγχαίροντας αὐτῷ τῶν κατορθωμάτων καὶ χάριν ὁμολογοῦντας τῆς ἐς τὴν μητέρα τιμῆς, καὶ φιλίαν καὶ ξυμμαχίαν βεβαιοῦντας. Βασιλεὺς δὲ ἐκεῖθεν ὁρμηθεὶς καὶ ἀεὶ σπουδῇ ἐλαύνων ἐπὶ τὰ πρόσω, διαβαίνει τε τὸν Ταῦρον ἀσφαλῶς καὶ πᾶσαν τὴν μεταξὺ διελθὼν ἐν ὀκτὼ καὶ εἴκοσι ταῖς ὅλαις ἡμέραις ἀφικνεῖται ἐς τὴν Προυσίου, καὶ τὴν στρατιὰν διαφεὶς διαναπαύει αὐτόν τε καὶ τοὺς μετ' αὐτοῦ ἐνταῦθα ἡμέρας οὐ συχνὰς, καὶ μετὰ τοῦτο, φθινοπώρου λήγοντος ἤδη, παραγίνεται ἐς τὸ Βυζάντιον. Καὶ ἔννατον καὶ ἑξηκοστὸν ἔτος πρὸς τοῖς ἐνναkοσίοις καὶ ἑξακισχιλίοις τοῖς ὅλοις ἠνύετο, ἑνδέκατον δὲ τῆς ἀρχῆς τῷ βασιλεῖ.

IX. Τὰ μὲν οὖν κατὰ Σινώπην καὶ Τραπεζοῦντα, πόλεις λόγου ἀξίας καὶ τῶν ὀνομαστῶν ἐν τοῖς νῦν καιροῖς, τοῦτον ἔσχε τὸν τρόπον. Βασιλεὺς δὲ Μεχεμέτης τὴν Κωνσταντίνου καταλαβὼν, πρῶτα μὲν προὔργου τι ποιεῖται τὴν θεραπείαν τοῦ βασιλέως Τραπεζοῦντος, καὶ δίδωσιν αὐτῷ καὶ τοῖς ξὺν αὐτῷ χώραν ἱκανὴν ἐς διατροφὴν περί που τὸν Στρύμονα ποταμὸν, ὥστε ἀποφέρεσθαι δασμὸν ἐκεῖθεν ἐτήσιον ἀργύρου κέρμα νενομισμένον μυριάδας τριάκοντα. (2) Ἦν δὲ καί τις ἀνὴρ τῶν μετὰ βασιλέως Γεώργιος Ἀμηρούκης τοὔνομα, φιλοσοφίαν ἄκρος, ὅση περί τε τὸ φυσικὸν ἔχει καὶ δογματικὸν τό τε μαθηματικόν τε καὶ γεωμετρικὸν καὶ τὰς ἀναλογίας τῶν ἀριθμῶν, καὶ ὅση τῶν ἀπὸ τοῦ Περιπάτου καὶ τῆς Στοᾶς, προσέτι δὲ καὶ πλήρης πάσης ἐγκυκλίου παιδείας, ῥητορικῆς τέ φημι καὶ ποιητικῆς. (3) Περὶ τούτου μαθὼν ὁ βα-

VIII. § 1. Καὶ εἶδε] add. margo. || — ἀπέφαινε] mgo, ἔκρινε text. || — § 2. Chalc., p. 497 9 : ἐπιλεξάμενος παῖδας ὀκτακοσίους ἐς τὴν τῶν νεηλύδων τάξιν ἐτάξατο. Cf. Seadedd. p. 206. || — § 3. καὶ οἱ μὲν ἀνήγοντο] add. mgo. || — Κασίμην τὸν σατρ. Καλλιπ.] Chalc. p. 496, 5 : Τὴν μὲν οὖν πόλιν ἐπέτρεψε τῷ ναυάρχῳ τῆς Καλλιπούλεως σατράπῃ. || — § 4. ἀποπέμπει] mgo; ἀπολύει text. De re cf. Seadedd. p. 206. || — 5. ὁρμηθεὶς] mgo, ἰὼν text. || — φθινοπώρου λήγοντος παρ. ἐς τὸ Βυζ.] Sec. Ducam. p. 343, 17 vere demum anni 1462 reversus esset, anno integro in expeditione exacto : ἐπανεστράφη χρόνον τέλειον πληρώσας ἐς τὴν ἀποδημίαν αὐτήν. || — ἔννατον καὶ ἑξη literæ et mox ἑνδέκατον in rasura scriptæ.

IX. § 1. περὶ τὸν Στρύμονα π.] sc. Serrarum urbem, ut refert Spandugino Cantacuscino (*Della origine de' principi turchi*), citante Zinkeisenio 2, p. 342, qui fidem hujus testimonii ob reliquorum historicorum silentium in dubium vocavit. In Phrantze p. 414, 2 hæc leguntur : τῷ δὲ τῆς Τραπεζοῦντος βασιλεῖ τῷ Κομνηνῷ κὺρ Δαβὶδ χωρία τινὰ δώσας ἐπὶ τὸ Μαῦρον ὄρος κατῴκισεν αὐτόν· ὃν δὴ καὶ μετά τινος χρόνου μικροῦ παραδρομὴν, εὑρὼν τάχα κατ' αὐτοῦ αἰτίαν τινὰ οὐκ ἀληθῆ, πάντα τὰ ἑαυτοῦ ἀφείλετο, κἀκεῖνον πνιγμῷ ἐτελείωσε. Num Μαῦρον ὄρος in Strymonica regione fuerit, necne, nescio. Fallmerayer p. 282, citato Phrantze, Davidi regionem prope Adrianopolim assignatam esse dicit. Ceterum de interitu familiæ regiæ vid. plura ap. Chalcoc. p. 497 sq. || — § 2. Γεώργιος Ἀμηρούκης] Lemma in margine scriptum ita habet : περὶ Γεωργίου τοῦ Ἀμηρούα, ὅπως ἐδέξατο αὐτὸν ὁ βασιλεύς. *Amyrutzem* inter doctos Trapezuntios una cum Bessarione et Manuele commemorat Fallmerayer l. l. p. 322. || — ἀποδεῖξαι] φῆναι mgo.

σιλεὺς μετακαλεῖται τὸν ἄνδρα καὶ πεῖραν ἱκανὴν ἔκ τε τῆς ξυντυχίας καὶ ὁμιλίας λαβὼν τῆς τε παιδείας καὶ σοφίας αὐτοῦ, θαυμάζει τε τοῦτον διαφερόντως καὶ χώρας τῆς προσηκούσης ἀξιοῖ παρ' αὐτῷ καὶ συχναῖς ὡς αὐτὸν εἰσόδοις καὶ ὁμιλίαις τιμᾷ, δόγματα τῶν παλαιῶν αὐτῷ προτιθεὶς καὶ φιλοσόφους ἀπορίας καὶ συζητήσεις καὶ λύσεις· ἔστι γὰρ τῶν ἄκρως φιλοσόφων ὁ βασιλεύς. (4) Μετὰ δὲ τοῦτο τῶν κατὰ τὴν πόλιν αὖθις φροντίδων γίνεται, τοῦ τε ξυνοικισμοῦ αὐτῆς ἄγαν ἐπιμελόμενος, τοῦ τε κόσμου ξύμπαντος καὶ τῆς ἄλλης καλλονῆς καὶ κατασκευῆς, νεώς τε ἀνεγείρων καὶ νεώρια οἰκοδομῶν καὶ θέατρα καὶ ἀγορὰς καὶ ὅσα τοιαῦτα, προσέτι δὲ καὶ πάσας τέχνας καὶ ἐπιστήμας ἐσάγων αὐτῇ, πανταχόθεν ἀγείρων τε καὶ μετακομίζων τοὺς τούτων ἐπιστήμονας καὶ τεχνίτας και κατοικίζων αὐτῇ, μηδεμιᾶς δαπάνης ἢ ἀναλωμάτων πρὸς τοῦτο φειδόμενος. Ἐσπούδαστο γὰρ αὐτῷ διὰ τέλους αὐτάρκη τοῖς ὅλοις ἀποδεῖξαι τὴν πόλιν, μηδαμοῦ προσδεομένην ἑτέρου τινὸς τῶν ἔξωθεν ἔς τε φιλοτιμίαν καὶ χρείαν καὶ κόσμον ὁμοῦ καὶ λαμπρότητα.

X. Ἐν τούτοις τοίνυν ὄντι τῷ βασιλεῖ ἀγγέλλεται Δράκουλιν, τὸν ἡγεμόνα Γετῶν, νεωτέρων ἐπιθυμήσαντα νεοχμῶσαι, καὶ στρατιὰν ξυλλεξάμενον ἱκανὴν καὶ ἵππους καὶ ὅπλα ἀνταῖραι τῷ βασιλεῖ, ὃς ἦν αὐτῷ πρώην ταύτην παρασχὼν τὴν ἀρχήν. (2) Ἀπελαθέντας γὰρ αὐτόν τε καὶ τὸν ἀδελφὸν ὑπὸ τοῦ τῶν Παιόνων τε καὶ Δακῶν ἡγεμόνος Ἰωάννου τοῦ Γέτου μετὰ δυνάμεως ἐπελθόντος καὶ τὸν σφῶν ἀποκτείναντος πατέρα, καὶ τὴν ἀρχὴν παραδόντος ἑτέρῳ, ἐδέξατο τούτους φυγάδας ὁ τοῦ βασιλέως πατὴρ ἐς αὐτὸν καταφυγόντας, καὶ ἔτρεφεν ἐν τοῖς βασιλείοις ἄγαν φιλοτίμως παῖδας ὄντας ἔτι, καὶ τελευτῶν κατέλιπεν αὐτοὺς τῷ βασιλεῖ καὶ υἱεῖ· καὶ ὃς εἶχε καὶ ἔτρεφεν αὐτοὺς ἐν πολλῇ θεραπείᾳ τε καὶ τιμῇ παρ' ἑαυτῷ καὶ προνοίᾳ βασιλικῇ. (3) Νεωτέρων δὲ ξυμβάντων περὶ τὴν ἀρχὴν τὴν Γετῶν, καὶ τοῦ ταύτην ἔχοντος ἀπελαθέντος κακῶς, κατήγαγε τοῦτον ὁ βασιλεὺς χειρὶ πολλῇ καὶ δαπάνῃ, παραδοὺς αὐτῷ πᾶσαν τὴν ἀρχὴν τὴν Γετῶν, καὶ ξυνθήκαις καὶ ὅρκοις ξυνδήσας αὐτὸν ἦ μὴν φυλάξειν ἄδολον καὶ καθαρὰν τὴν πρὸς τὸν βασιλέα στοργὴν καὶ εὔνοιαν καὶ τὰς γενομένας πίστεις τε καὶ ξυνθήκας. (4) Ὁ δὲ βραχὺν χρόνον ἐμμείνας τούτοις, ἔπειτα πάντων ἀμνηστίαν λαβὼν καὶ κακὸς φανεὶς περὶ τὸν πιστεύσαντα, ἐπανέστη κατὰ τοῦ βασιλέως. Καὶ πρῶτα μὲν λάθρα διαβὰς τὸν Ἴστρον ξὺν δυνάμει καὶ στρατιᾷ οὐκ ὀλίγῃ κατατρέχει πᾶσαν τὴν ὅμορον αὐτῷ χώραν τοῦ βασιλέως, λέγω δὴ τὰ περὶ Νικόπολιν καὶ Βιδήνην, καὶ λείαν ἐλάσας ὅτι πολλὴν καὶ φόνον ἐργασάμενος οὐκ ὀλίγον πάλιν διαβὰς ἐπανῆκεν ἐς τὴν αὑτοῦ. (5) Μετὰ δὲ τοῦτο πρέσβεις ὡς αὐτὸν ἀποστείλαντος τοῦ βασιλέως σπονδῶν τε ἀναμνήσοντας καὶ λαλήσοντας εἰρηνικὰ καὶ τὴν αἰτίαν πευσομένους τῆς ἀποστάσεως, ὅδε πρὶν ἢ μαθεῖν ἐφ' ἃ ἧκον, ξυλλαβὼν τούτους ἀνεσκολόπισε, πολλὰ καὶ βλάσφημα ἀπειλήσας ἐς βασιλέα. (6) Βασιλεὺς δὲ τὴν ὕβριν ταύτην βαρέως ἐνεγκὼν θυμῷ δικαίῳ ληφθεὶς στρατιὰν ὅτι πλείστην εὐθὺς ἀγείρει, καὶ καλῶς παρασκευασάμενος χειμῶνος, ἅμα ἦρι διαβαίνει τὸν Ἴστρον καὶ διαβὰς κατατρέχει μὲν ἐν οὐ πολλαῖς ἡμέραις πᾶσαν σχεδὸν τὴν Γετῶν, πορθῶν καὶ δῃῶν αὐτήν, καὶ χειμάρρου δίκην ἐπερχόμενός τε καὶ παρασύρων πάντα τὰ ἐν ποσὶ καὶ φρούρια χειρούμενος καὶ κώμας διαρπάζων καὶ λείαν ὅτι πλείστην ἀπάγων. (7) Ὁ δὲ θρασὺς ἐκεῖνος καὶ ἀλαζὼν τὴν ἀθρόαν ἔφοδον τοῦ βασιλέως μὴ ἐνεγκών, φυγὰς εὐθὺς ᾤχετο, καὶ καταλαβὼν τὰ ἐρυμνότατα τῆς χώρας καὶ τῶν βουνῶν διῆγε τὸ τέλος ἀποσκοπῶν τῶν γινομένων. Βασιλεὺς δὲ ἦγε καὶ ἔφερε τὴν αὐτοῦ, καὶ τέλος ἡγεμόνα Γετῶν τὸν αὐτοῦ ἀδελφὸν ἀποδείκνυσι Ῥάδον· εἶχε γὰρ τοῦτον μεθ' ἑαυτοῦ. (8) Δράκουλις δὲ ἤδη τῶν αὐτοῦ πραγμάτων ὅλως ἀπογνοὺς καὶ μηδεμίαν ἔχων ἐλπίδα τοῦ λοιποῦ τῆς ἀρχῆς, ἔγνω θανατῶν δράσας τι τοὺς ἐχθροὺς κακῶς καὶ παθεῖν αὐτός· καὶ δὴ τοῦτο δόξαν ἀνοήτως αὐτῷ, νυκτὸς ἐπιθέσθαι βούλεται τῷ στρατοπέδῳ· καὶ περὶ μέσας νύκτας ανα-

X. Expeditionem contra Wallachiæ voivodam Wladum (Βλάδον Chalc.) sive Wladislaum IV, qui ob sævitiam *Dracul* (diabolus) et *Tchepelpuch* (carnifex) et turcice *Kasikluwoda* (voivoda palis homines infigens) cognominabatur, uberius et accuratius quam Critobulus narrat Chalcocondylas p. 499-518. Paucis verbis ejus meminit Phrantzes p. 414, 7-9; paullo fusius, sed parum recte de eadem agit Ducas p. 343, 9-345, 30. Cum his cf. Seadeddinus 2, p. 209-215. Alios auctores turcicos laudat Hammer 2, p. 309-215. Ex recentioribus vide Engel *Geschichte der Wallachei*, Hammer l. l. et Zinkeisen 2, p. 160-177.

§ 1. Νεοχμῶσαι] νεωχμ. cod., pro more. || — § 4. Βιδήνην] Βιδίνην vocat Chalc. p. 505, 18; nunc vulgo *Widin*. || — § 5. πρὶν μαθεῖν ἐφ' ἃ ἧκον] Aliter Ducas p. 344, 6 : Οἱ δὲ (legati) ἐλθόντες καὶ τῷ Βλάχῳ τὰ μηνυθέντα δηλώσαντες, πρῶτον αὐτοὺς ἐν πάλοις καθίησιν, θάνατον ἀπάνθρωπον, ὀδυνηρὸν καὶ ἀσχήμονα· εἶτα περάσας σὺν δυνάμει κατέδραμεν ἐν τοῖς μέρεσι Δύστρας. Ibi pro Δύστρας Zinkeisen. p. 168 Ἴστρας (*Danubii fl.*) corrigi vult, quod ferri nequit. Legas Δρύστας vel Δρίστας; sic enim medio ævo vocabatur vetus Durostorus, hodierna *Silistria*. Princeps legationis fuit Catabolinus scriba (Chalc. p. 501, 12), cujus filium Thomam supra commemoravit Critobulus. || — βαρέως ἐνεγκὼν] sic mgo, μὴ ἐ. text. || — § 6. ὅτι πλείστην] 150,000 | sec. Ducam p. 344; 250,000 sec. Chalc. p. 505, 5. || — § 7. Ῥάδον] Ὀράδον in epistola; v. p. 52. *Darulo* ap. Seadedd., p. 215. Aliis *Radul*. Falso Δρακούλης ap. Chalc. p. 516, 15. || — καὶ τέλος ἡγεμόνα... μεθ' ἑαυτοῦ] add. margo. || — § 8. De nocturna hac Draculis irruptione multus est Chalc. p. 511 sq.; ab hoc et a Critobulo mirum quantum recedit Ducas p. 345, qui ista nocte Walachorum ducem tanta Turcos clade affecisse narrat, ut Mechemetes κατησχυμένος, trajecto Danubio, Adrianopolim recessisset. || — § 8. ἀναλαβὼν τοὺς ἑαυτοῦ add. mgo. || — § 9. ὡς ἔγνω τὴν προσβολὴν] mgo; προσβαλόντες text. || — § 10. ἐξαρτίσας] ἐξαρτήσας text.

λαβὼν τοὺς αὐτοῦ, ἄκρᾳ τινὶ προσβάλλει τοῦ στρατοπέδου ἀτάκτως τε καὶ ξὺν οὐδενὶ κόσμῳ, καὶ φόνον ἐργάζεται ζώων πολὺν, καμήλων τε καὶ ἵππων καὶ ἡμιόνων· οὐ γὰρ ἐνέτυχεν ἀνδράσι. (9) Βασιλεὺς γὰρ εὐθὺς ὡς ἔγνω τὴν προσβολὴν, ἐξεπίτηδες κελεύει μικρὸν ἀναχωρῆσαι τοὺς στρατιώτας, ἵν' ἐπὶ μᾶλλον προέλθῃ, ὡς ἂν εὐχείρωτος γένηται. Μετὰ δὲ τοῦτο τῇ στρατιᾷ ξύνθημα δοὺς κελεύει πανταχόθεν αὐτῷ προσβάλλειν. Οἱ δ' ὁρμήσαντες ξὺν ἀλαλαγῇ καὶ ῥύμῃ καὶ προθυμίᾳ πολλῇ πάντας αὐτοῦ κατακόπτουσι, πλὴν ὅσους ζῶντας ἐζώγρησαν, εὐαριθμήτους πάνυ. Δράκουλις δὲ διαλαθὼν αὐτοῦ που καὶ διαδρὰς φυγὰς ᾤχετο ἐς Παίονας, οἱ δὲ ξυλλαβόντες αὐτὸν καθεῖρξαν ἐν φυλακῇ. (10) Βασιλεὺς δὲ, ᾗπερ ἔφην, ἄρχοντα καὶ ἡγεμόνα Γετῶν ἀποδείκνυσι Ῥάδον, παραδοὺς αὐτῷ πᾶν τὸ σφῶν κράτος καὶ τὴν ἀρχὴν, τὰ πιστὰ λαβὼν παρ' αὐτοῦ, αὐτὸς δὲ λείαν ἐλάσας ὅτι πολλὴν ἀνδραπόδων τε καὶ βοσκημάτων καὶ τῇ στρατιᾷ διαδοὺς, πάλιν διαβαίνει τὸν Ἴστρον, καὶ καταλαβὼν τὴν Ἀδριανοῦ θέρους, μικρὸν διαναπαύει τὴν στρατιὰν αὐτοῦ, καὶ μετὰ τοῦτο μετακαλεσάμενος τοὺς ἡγεμόνας τοῦ στόλου, κελεύει διακοσίων νεῶν στόλον ἐξαρτίσαι τῇ Λέσβῳ.

XI. Νικορέζος γὰρ ὁ τοῦ Δωριέως υἱὸς, κληρονόμος καὶ αὐτὸς μετὰ τοῦ ἀδελφοῦ Δομινίκου καταλειφθεὶς τῆς πατρῴας ἀρχῆς, τελευτήσαντος αὐτοῖς τοῦ πατρὸς, καὶ σπονδὰς ἔχων μετὰ τοῦ βασιλέως καὶ φόρου ὑποτελὴς ὢν, πρῶτα μὲν κακῶς βουλευσάμενος καὶ ἀνόσια δρῶν ξυλλαμβάνει τὸν ἀδελφὸν καὶ ἐς εἱρκτὴν ἐμβαλὼν ἀναιρεῖ δόλῳ· ἔπειτα οὔτε τὸν φόρον ἀπεδίδου προθύμως τῷ βασιλεῖ, οὔτε μένειν ἀδόλως ἤθελεν ἐπὶ τῶν σπονδῶν, ἀλλὰ κοινολογούμενος κρύφα τοῖς Ἰταλοῖς καὶ ξυνθήκας ποιῶν μετ' αὐτῶν, ὡς καὶ πρότερόν μοι εἴρηται, παρεσπόνδει τὸν βασιλέα ἐν ἄλλοις τε πολλοῖς καὶ δὴ καὶ τὰς κατάρσεις δεχόμενος τῶν πειρατικῶν νεῶν καὶ αὐτὸς ἑτέρας ἀντιπληρῶν καὶ ἡγεμόνας τῶν χωρῶν καὶ λιμένων καὶ τόπων παρέχων αὐτοῖς ἐκάκου λάθρα πᾶσαν τὴν προσεχῆ τῇ Λέσβῳ παραλίαν τοῦ βασιλέως, οὐ μόνον δὲ, ἀλλὰ καὶ Χερρόνησον αὐτὴν καὶ τὴν ἀντιπέρας Θρᾴκης τε καὶ Μακεδονίας. (2) Ἃ πυνθανόμενος πολλάκις ὁ βασιλεὺς πέμπων ἐκέλευε μὴ τοιαῦτα δρᾶν ἐν σπονδαῖς καὶ εἰρήνῃ (οὐ γὰρ λανθάνει κακουργῶν τὰ τοιαῦτα), ἀλλὰ ἐμμένειν ἀδόλως ταῖς σπονδαῖς καὶ τὸν φόρον ἀποδιδόναι προθύμως ἢ πόλεμον ποιήσειν αὐτῷ. (3) Ὁ δὲ τὰ μὲν ἀρνούμενός τε καὶ λανθάνειν νομίζων, τὰ δὲ καὶ ματαίας ἐλπίδας ἔχων ἐν Ἰταλοῖς, βραχὺ τῶν βασιλέως ἐφρόντιζεν. Ὁ δὲ πολλάκις ἀπειλήσας αὐτῷ καὶ δὴ καὶ στόλον ἐκπέμψας, ᾗ πρόσθεν ἔφθην εἰπὼν, καὶ μέρος τι τῆς Λέσβου καταδραμὼν, ὥστε σωφρονίσαι αὐτόν· ὁ δ' οὐδὲν μᾶλλον ἠφίει, ἀλλὰ πρὸς καιρὸν μὲν ἐδόκει ποιεῖν φόβῳ τοῦτο καὶ τῶν τοιούτων ἀπέχεσθαι, οὐδὲν δὲ ἧττον αὖθις ἔμενεν ἐπὶ τῶν αὐτῶν. (4) Ὀργισθεὶς οὖν ἐπὶ τούτοις ὁ βασιλεὺς τὴν ἐκστρατείαν κατ' αὐτοῦ ἐποιεῖτο. Παρασκευασάμενος οὖν ὅτι τάχος τὸν στόλον καὶ ὁπλίσας καλῶς, καὶ ὁπλίτας πολλοὺς καὶ ὅπλα παντοῖα ἐπιβιβάσας ταῖς ναυσὶ καὶ μηχανὰς πετροβόλους καὶ ἀφετήρια, καὶ στρατηγὸν αὐτοκράτορα καὶ ἡγεμόνα τοῦ στόλου παντὸς ἑλόμενος Μαχουμούτεα τὸν πασίαν ἐκπέμπει, αὐτὸς δὲ ξὺν τῇ κατὰ γῆν στρατιᾷ διαβὰς τὸν Ἑλλήσποντον ἐπορεύετο διὰ τῆς κάτω Φρυγίας. (5) Καὶ ἀφικόμενος ἐς τὸ Ἴλιον κατεθεᾶτο τά τε ἐρείπια τούτου καὶ τὰ ἴχνη τῆς παλαιᾶς πόλεως Τροίας καὶ τὸ μέγεθος καὶ τὴν θέσιν καὶ τὴν ἄλλην τῆς χώρας ἐπιτηδειότητα, καὶ ὡς ἔκειτο γῆς καὶ θαλάσσης ἐν ἐπικαίρῳ, προσέτι δὲ καὶ τῶν ἡρώων τοὺς τάφους ἱστορεῖ, Ἀχιλλέως τέ φημι καὶ Αἴαντος καὶ τῶν ἄλλων, καὶ ἐπήνεσε καὶ ἐμακάρισε τούτους τῆς τε μνήμης καὶ τῶν ἔργων καὶ ὅτι ἔτυχον ἐπαινέτου Ὁμήρου τοῦ ποιητοῦ· (6) ὅτε λέγεται καὶ μικρὸν ξυγκινήσας τὴν κεφαλὴν εἰπεῖν·

XI. De expeditione in Lesbum (c. 11-13) gravissimus testis est Ducas, Dominici principis domesticus, p. 345-346 et p. 582. Narratio ejus in μειούρῳ codice Parisino, ex quo editiones nostræ fluxerunt, manca est, sed suppleri potest ex vetere versione italica, quam Venetus quidam sec. integriorem codicem elaboravit, Bekkerus vero ad calcem Ducæ ed. Bonn. repetendam curavit. Chalcocondylas p. 518-521 et p. 523-527 de nonnullis rebus Duca uberior est. Phrantzes p. 414, 9 verbo rem absolvit His addatur Seadeddinus 2, p. 216-217. Critobulus a Duca et Chalc. in nonnullis dissentit; novi nihil affert nisi quæ de rege Ilium visente c. 11, 5 interponuntur. Ceterum expeditio hæc initio anni sequentis 6971 (Sept. 1462) assignanda erat, siquidem mense Septembri classis Turcorum in Lesbum venit, teste Duca p. 345, 21 : ἐν δὲ τῷ ,ϛϡοά ἔτει στόλον ἀπαρτίσας τριήρεων καὶ διήρεων ξ' καὶ νῆας ζ' κατῆλθεν ἐν τῇ νήσῳ Λέσβῳ Σεπτεβρίῳ μηνὶ, καὶ αὐτὸς διὰ ξηρᾶς σὺν δυνάμει. Quanquam cum Critobulo facit Seadeddin. p. 216 : *Il re quel medesimo anno che soggiogò la Vallachia, sen' andò a Gallipoli con animo di soggiogar l'isola di Metelino.* Itemque Chalc. p. 518, 8 : Βασιλεὺς τοῦ αὐτοῦ θέρους, φθινοπώρου ἐπιγινομένου, ἐστέλλετο ἐπὶ Λέσβον, et p. 529, 3 : τὸν μὲν ἐνιαυτόν τοῦτον δὶς αὐτὸς ἐκστρατευσάμενος βασιλεὺς τὴν μὲν ἐπὶ Δάκας ἔλευσιν ἐποιήσατο, τὴν δὲ ἐπὶ Λέσβον.

§ 1. Νικορέζος ... Δωριέως] Νικόλαος ... Δορίνου sec. Ducam. Apud Chalc. p. 520, 7 pro Nicolao perperam nominatur Dominicus. || — αὐτοῖς] mgo, αὐτῶν text. || — φόρου] Tributum erat 2000 staterum, sec. Chalc. || — ὡς καὶ πρότερόν μοι εἴρηται] add. mgo. || — ἀντιπέρας] m. 2, ἀντιπέραν m. 1. || — § 2. ἐμμένειν] μένειν cod. || — § 3. νομίζων] mgo, ἐθέλων text. || — ἀπειλήσας ... ἐκπέμψας] Participia pro temporibus finitis. || — τῶν τοιούτων ἀπέχεσθαι] add. mgo. || — § 4. παντοῖα] add. mgo. || — § 6. ἐκδικητήν] Cf. Chalc. p. 403, 15 de Constantinopolis expugnatione loquens : Δοκεῖ δὲ ἡ ξυμφορὰ αὕτη... τῇ τοῦ Ἰλίου παραπλησία γεγονέναι [καὶ] δίκη γενέσθαι τοῦ Ἰλίου ὑπὸ τῶν βαρβάρων τοῖς Ἕλλησι πασσυδὶ ἀπολομένοις, καὶ οὕτω τοὺς Ῥωμαίους οἴεσθαι ξυμβῆναι τὴν τίσιν ἀφῖχθαι τοῖς Ἕλλησι τῆς πάλαι ποτὲ γενομένης Ἰλίου ξυμφορᾶς. || — καὶ Μακεδόνιοι] add. mgo. || — τοσαύταις ἐς ὕστερον περιόδοις ἐνιαυτῶν νῦν ἐμοὶ, et deinde verba ἡμᾶς καὶ et ὕστερον add. mgo.

« Ἐμὲ τῆς πόλεως ταύτης καὶ τῶν αὐτῆς οἰκητόρων ἐν τοσαύταις περιόδοις ἐτῶν ἐκδικητὴν ἐταμιεύετο ὁ θεός· ἐχειρωσάμην γὰρ τοὺς τούτων ἐχθρούς, καὶ τὰς πόλεις αὐτῶν ἐπόρθησα, καὶ Μυσῶν λείαν τὰ τούτων πεποίημαι. Ἕλληνες γὰρ ἦσαν καὶ Μακεδόνιοι καὶ Θετταλοὶ καὶ Πελοποννήσιοι οἱ ταύτην πάλαι πορθήσαντες, ὧν οἱ ἀπόγονοι τοσαύταις ἐς ὕστερον περιόδοις ἐνιαυτῶν νῦν ἐμοὶ τὴν δίκην ἀπέτισαν, διά τε τὴν τότε ἐς τοὺς Ἀσιανοὺς ἡμᾶς καὶ πολλάκις ὕστερον ὕβριν αὐτῶν. »

XII. Ὁρμηθεὶς οὖν ἐκεῖθεν ἀφίκετο ἐπὶ Λεκτὸν, κἀκεῖθεν ἄρας στρατοπεδεύεται ἐπὶ τῆς ἀντιπέραν ἠπείρου τῆς Λέσβου, καταντικρὺ Μιτυλήνης. Μαχουμούτης δὲ ἀναχθεὶς ἐκ Καλλιουπόλεως παντὶ τῷ στόλῳ, ναυσὶ διακοσίαις, τριταῖος καταίρει ἐς Μιτυλήνην καὶ ἀποβιβάσας τὴν στρατιὰν, στρατόπεδον τίθησιν οὐ πόρρω τῆς πόλεως. (2) Μιτυληναῖοι δὲ τότε πρῶτον ἐπεκδρομὴν ποιησάμενοι καὶ μηδὲν δράσαντες πάλιν ξυνελαθέντες ὑπὸ τῶν ὁπλιτῶν βίᾳ ἐς τὴν πόλιν, κλείσαντες τὰς πύλας ἔμενον. Μαχουμούτης δὲ λόγους προσφέρει πρῶτον αὐτοῖς καὶ τῷ σφῶν ἡγεμόνι, εἰ βούλοιντο παραδόντες ἑαυτοὺς καὶ τὴν πόλιν ξυμβῆναι τῷ βασιλεῖ· ὡς δ' οὐκ ἔπειθε, πρῶτα μὲν ἔκειρε τὰ ἔξω τῆς χώρας καὶ ἐδῄωσε πάντα, ἔπειτα περισταυρώσας τὴν πόλιν καὶ κύκλῳ περιλαβὼν τῷ στρατῷ καὶ μηχανὰς ἐπιστήσας ἐπολιόρκει, καὶ τοῦ μὲν τείχους ἐν ἓξ ἢ ἑπτὰ ταῖς ὅλαις ἡμέραις κατέσεισε καὶ κατέρριψεν οὐκ ὀλίγον ταῖς μηχαναῖς. (3) Οἱ δὲ ἐν τῇ πόλει ὡς εἶδον τὸ τεῖχος κατερριμμένον, κεραίας μεγάλας ἐπαγαγόντες καὶ περισταυρώσαντες αὐτὸ ἔσωθέν τε καὶ ἔξωθεν, καὶ γῆν καὶ ὕλην ἄλλην ἔνδον ἐπιφορήσαντες ἐμάχοντο ἐπ' αὐτοῦ. (4) Βασιλεὺς δὲ, πέραν ἀπὸ τοῦ στρατοπέδου τὰ δρώμενα σκοπῶν, οὐκέτι μέλλειν ᾤετο δεῖν, ἀλλ' ὡς τάχιστα παρασκευαστέα οἱ εἶναι παντὶ τῷ στρατῷ καὶ πάσῃ δυνάμει προσβαλεῖν τῇ πόλει, ὡς αὐτοβοεὶ ταύτην αἱρήσων· καὶ αὐτίκα κελεύει διαβιβάζειν ἐς τὴν νῆσον τὴν στρατιὰν καὶ τὸ ὁπλιτικὸν ἅπαν ὅτι τάχιστα. Καὶ οἱ μὲν διέβαινον. (5) Βασιλεὺς δ' ἐμβὰς ἐς τριήρη περαιοῦται καὶ αὐτὸς ἐς τὴν νῆσον, καὶ ξυγγενόμενος Μαχουμούτει πυνθάνεται περὶ πάντων· ἔπειτα παριππεύων κατεσκόπει τὴν πόλιν, τά τε ἐπίμαχα καὶ ἀπόμαχα ταύτης κατὰ γῆν τε καὶ θάλασσαν, καὶ κελεύει τὴν στρατιὰν ἐκτάττεσθαι πᾶσαν καὶ τὰς τριήρεις ὁπλίζεσθαι, ὡς ἀπὸ θαλάσσης προσβαλούσας ἐκ τοῦ λιμένος. (6) Ἐν τούτῳ δὲ οἱ ἐν τῇ πόλει καὶ ὁ τούτων ἡγεμὼν, ὡς εἶδον τόν τε βασιλέα περαιωθέντα καὶ τὴν στρατιὰν παρασκευαζομένην κατὰ γῆν τε καὶ θάλασσαν αὐτοῖς προσβαλεῖν, δείσαντες μὴ εὐθὺς ἀνάρπαστοι γένωνται βίᾳ τοῖς ὅπλοις ἁλόντες (τό τε γὰρ τεῖχος ἑώρων κατερριμμένον ταῖς μηχαναῖς, τοῦ τε στρατοῦ τὸ πλῆθος ἄπειρόν τε καὶ ῥωμαλέον καὶ κατάφρακτον ἅπαν τήν τε τοῦ βασιλέως ὁρμὴν ἀνένδοτον οὖσαν, ὡς οὐδ' ἂν, εἴ τι καὶ γένοιτο, τῆς νήσου ἀποστῆναι, εἰ μὴ ταύτην αἱρήσει τελείως), πέμπουσι κήρυκα, ἐνδιδόντες ἑαυτοὺς καὶ τὴν πόλιν τῷ βασιλεῖ, καὶ ἅμα δεόμενοι ξυγγνώμης τυχεῖν, ὅτι μὴ εὐθὺς προσεχώρησαν καλούμενοι. (7) Καὶ ὁ βασιλεὺς δέχεται τούτους καὶ δίδωσι αὐτοῖς τὰ πιστά· οἱ δὲ Μιτυληναῖοι ἐξίασι τῆς πόλεως μετὰ τοῦ σφῶν ἡγεμόνος καὶ προσκυνήσαντες τὸν βασιλέα παραδιδόασι ταύτην αὐτῷ. Ὁ δὲ δέχεται τούτους ἡμέρως καὶ δωρεῖται φιλοτίμως· ἔπειτα ἐσελθὼν ἐς τὴν πόλιν ἐθεάσατο πᾶσαν καλῶς, καὶ ἔδοξεν αὐτῷ ἀρίστη τε ἅμα καὶ καλλίστη. Ἥκουσι δὲ καὶ οἱ ἀπὸ τῶν ἄλλων φρουρίων καὶ πολισμάτων, ἐνδιδόντες ἑαυτοὺς καὶ τὰ φρούρια. (8) Βασιλεὺς δὲ τέσσαρας ὅλας ἡμέρας ἐν τῇ νήσῳ διαγαγὼν καὶ θεασάμενος αὐτὴν καὶ τὰ ἐν αὐτῇ πάντα, καὶ θαυμάσας τό τε μέγεθος καὶ κάλλος αὐτῆς καὶ τὴν ἄλλην τῆς γῆς ἀρετὴν καὶ κατασκευὴν, αὖθις ἐμβὰς ἐς τριήρη περαιοῦται ἐς τὸ στρατόπεδον, καταλιπὼν Μαχουμούτεα διαθέσθαι τὰ κατὰ τὴν πόλιν καὶ τὴν νῆσον, ὡς προσετάχθη. (9) Ὁ δὲ πάντας τοὺς ἐν τῇ πόλει ξυναγαγὼν, ἄνδρας τέ φημι καὶ γυναῖκας καὶ παῖδας, διεῖλεν ἐς μοίρας τρεῖς, καὶ τὴν μὲν πρώτην εἴασε μένειν ἐπὶ τῆς πόλεως καὶ κατοικεῖν αὐτὴν, ἔχοντας καὶ νεμομένους τὰ ἑαυτῶν, καὶ τὸν εἰθισμένον ἐτη-

XII. § 1. Ἐπὶ τῆς ἀντιπέραν] ad Ajasma, ut Ducas et Seadedd. || — διακοσίαις] classe triremium 25, aliarum navium fere centum, sec. Chalc. c. 523, 7. Ducæ numeros vide in not. ad cap. 11. || — τὴν στρατιὰν] m. 2, τὸν στρατὸν m. 1. || — § 2. ἓξ ἢ ἑπτὰ etc.] Aliter rem narrat Ducas. Sec. hunc Mechemetes in insulam trajecit ante cœptam obsidionem. Περάσας οὖν, inquit, ὁ τύραννος ἀπὸ τοῦ Ἁγιασματίου καὶ ζητήσας τὴν πόλιν σὺν τῇ νήσῳ, ἀπεκρίνατο ὁ Νικόλαος « Οὐκ ἔστι δυνατὸν παραδοῦναι τὴν πόλιν καὶ τὴν νῆσον, εἰ μὴ πρῶτον αὐτοὶ πολεμικῷ νόμῳ κτανθήσονται. » Τότε πάλιν τὴν περαίαν διαβὰς ὁ τύραννος ἀφῆκε τὸν αὐτοῦ βεζύριν Μαχμοὺτ τοῦ πολιορκεῖν Μιτυλήνην. Καὶ δὴ τὰς πετροβόλους σκευὰς ἀντικρὺ παραστήσας καὶ πετροβολῶν τὸ ἓν μέρος τῆς πόλεως τὸ λεγόμενον Μελανούδιον κατὰ γῆς ἔρριψεν, ὁμοίως καὶ ἐξ ἄλλων μερῶν τοὺς προμαχῶνας καὶ πύργους (Reliqua in græcis desunt). *Et havendo zà buttato per terra li merli delle mure et delle torre, uscì fora Luchino Cataluso et con esso in compagnia el vicario della terra, li quali incominzarono ad tramare la traditione della città con Maomet Basia, mostrandoli tutti li lochi più debeli, li quali havesse ad bombardare, combattere et scalare. Et data cognitione delli mancamenti della terra, tornarono dentro in la città, et cominzarono con persuasione false inclinare el signore ad l'accordio, salvando le teste el l'havere. Et cosi concludendo mandarono per el signor alli Asmati* (i. e. Ἁγιάσματι), *el qual venne. El signor Nicoloso uscì fora con tutti li principali, con le chiave in mano.* Similiter rerum seriem exhibet Chalcocondylas, qui murum urbis per 27 dies tormentis quassatum esse refert. || — § 6. ῥωμαλέον] ῥωμαλαῖον cod. || — § 7. Μιτυληναῖοι] add. mgo. || — § 9. ἀπήγαγεν ... κατῴκισεν] ἀπαγαγεῖν .. Κατοικίσαι codex. Fortassis tamen excidit ἐκέλευσε vel tale quid. || — ἀπανδραποδίσα.] mgo, αἰχμα-

σίως καταβάλλοντας φόρον, τὴν δὲ δευτέραν ἀπήγαγεν ἐν Κωνσταντινουπόλει καὶ κατῴκισε, τὴν δὲ τρίτην ἀνδραποδίσας διέδωκε τοῖς στρατιώταις· ὅσους δὲ εὗρε μισθοφόρους τῶν Ἰταλῶν ἐν αὐτῇ, πάντας ἀπέκτεινε. (10) Τὰ δὲ ἐν τῇ νήσῳ ἄλλα φρούρια καὶ πολίσματα τότε μὲν εἴασε μένειν ὡς εἶχε πρὸς καιρόν· μετὰ δὲ ταῦτα καί τινα τούτων ἐξεῖλε καὶ κατέσκαψε καὶ τοὺς ἄνδρας καὶ παῖδας καὶ γυναῖκας ἀπῴκισεν ἐν Κωνσταντινουπόλει. (11) Οὕτω δὲ διαθεὶς τὰ κατὰ τὴν Μιτυλήνην καὶ τὴν Λέσβον ἅπασαν ὁ Μαχουμούτης, καὶ φρουρὰν ἱκανὴν ἐγκαταστήσας τῇ τε πόλει καὶ τοῖς ἄλλοις φρουρίοις, καὶ σατράπην ταύτῃ καταλιπὼν ἄνδρα τῶν ὀνομαστῶν παρ' αὐτοῖς καὶ πάνυ γνωρίμων ἐπ' ἀνδρείᾳ καὶ στρατηγίᾳ καὶ τῇ λοιπῇ ἀρετῇ Σάμιον Ἀλὴν τοὔνομα, περαιοῦται καὶ αὐτὸς ἐς βασιλέα. (12) Οἱ δὲ τοῦ στόλου ἡγεμόνες παραλαβόντες μεθ' ἑαυτῶν τόν τε Λεσβίων ἄρχοντα καὶ πάντας τοὺς ξὺν αὐτῷ τούς τε ἄνδρας καὶ παῖδας καὶ γυναῖκας σφῶν, τοὺς ἐπὶ ξυνοικισμῷ τῆς πόλεως, καὶ λείαν ὅτι πλείστην ἄλλην ἐνθέμενοι ταῖς ναυσὶν, ἀπέπλευσαν ἐπ' οἴκου ἔς τε Καλλιούπολιν καὶ Βυζάντιον, καὶ διέλυσαν τὸν στόλον. (13) Βασιλεὺς δὲ τὴν στρατιὰν διαφεὶς, αὐτὸς ξὺν τῇ ἰδίᾳ αὐλῇ, φθινοπώρου φθίνοντος ἤδη, ἀφικνεῖται ἐς τὸ Βυζάντιον. Καὶ ἑβδομηκοστὸν ἔτος πρὸς τοῖς ἐνναкοσίοις τε καὶ ἑξακισχιλίοις τοῖς ὅλοις ἠνύετο, δεύτερον δὲ καὶ δέκατον τῆς ἀρχῆς τῷ βασιλεῖ.

XIII. Λέσβος μὲν οὖν οὕτως ὑπὸ βασιλέως ἑάλω καὶ Μιτυλήνη, χρόνους ἤδη πεντήκοντα καὶ ἑκατὸν ἐν τοῖς καθ' ἡμᾶς τοῖσδε καιροῖς ἐνευδαιμονήσασά τε καὶ ἐπὶ μέγα δόξης ἀρθεῖσα καὶ δυναστείας καὶ πλούτου, ἐξ ὅτου δὴ τὸ πρῶτον ἔσχε ταύτην παρὰ τοῦ βασιλέως Ῥωμαίων ἐς ἰδίαν ἀρχὴν Νικορέζος ἐκεῖνος ὁ πρῶτος Γατελιούζων, ἀνὴρ Ἰταλὸς καὶ τῶν εὖ γεγονότων· (2) ὃς ἄγαν ξυνετὸς ὢν καὶ πεπαιδευμένος καὶ ψυχῆς ἀνδρείαν πλουτῶν τοῖς τε ἄλλαις κατὰ σῶμα προτερήμασι κομῶν καὶ καλῶς εἰδὼς ἄριστα καὶ κάλλιστα διέπειν ἀρχὴν, ἐς τοσοῦτον αὐτὴν ἐπῆρε καὶ τοῖς ὅλοις ἀπέφηνε κρείττω ταῖς παρ' ἑαυτοῦ κατὰ μικρὸν ἐπιδόσεσι καὶ προσθήκαις, ὡς ἁμιλληθῆναι σχεδὸν ἐν πᾶσι τῇ παλαιᾷ ταύτης εὐδαιμονίᾳ. (3) Οὐ μόνον γὰρ τὰ ξύνεγγυς καὶ περὶ αὐτὴν ἔσχε κατήκοα, ἀλλὰ καὶ Συρία πᾶσα καὶ Αἴγυπτος αὐτὴν ἐδεδίει καὶ φόρον ἐτήσιον κατέβαλε, μισθοῦ τὴν εἰρήνην ὠνουμένη παρὰ τοῦ ταύτης κρατοῦντος· ναυτικόν τε γὰρ εἶχε καὶ ἔτρεφε λόγου ἄξιον, καὶ τριήρεις ἐκέκτητο πλείστας, τὰς μὲν πλοΐμους, τὰς δὲ καὶ ἐν νεωρίοις, δι' ὧν οὐ μόνον τὴν κατ' αὐτὴν θάλασσαν, ἀλλὰ καὶ τὴν κατ' Αἴγυπτον καὶ Συρίαν καὶ δὴ καὶ Λιβύην εἶχε δουλωσαμένη· πᾶσαν γὰρ αὐτὴν ἐληΐζετο καὶ ἐπόρθει λῃστείαις, ἕως, ἐς τοὺς ἐξ ἐκείνου τῆς ἀρχῆς μεταπεσούσης κατὰ διαδοχὴν καὶ κατὰ μικρὸν ἐλασσουμένης τῷ χρόνῳ, τῶν τε τοῦ βασιλέως προγόνων, ἀλλὰ δὴ καὶ αὐτοῦ τοῦ βασιλέως, τὸ κράτος ἤδη τῆς καθ' αὐτοὺς θαλάσσης σχόντων καὶ πάντα τὰ ταύτῃ δουλωσαμένων, κατέστη καὶ αὕτη μετὰ τῶν ἄλλων κατήκοος βασιλεῖ καὶ φόρου ὑποτελὴς καὶ νῦν ἐδουλώθη τελείως. Καὶ ταῦτα μὲν οὕτω.

XIV. Βασιλεὺς δὲ τὴν Κωνσταντίνου καταλαβὼν Μιτυληναίους μὲν ἐν ἑνὶ χώρῳ καθίζει τῆς πόλεως, δοὺς αὐτῶν τοῖς μὲν οἰκίας, τοῖς δὲ χῶρον κατ' οἰκοδομὴν οἴκων, τοῖς δὲ ἄλλο τι ὧν ἔχρῃζον· Νικορέζον δὲ τὸν τούτων ἡγεμόνα τότε μὲν καθεῖρξε ἐν φυλακῇ, μικρὸν δὲ ὕστερον ἀπέκτεινε δι' αἰτίας. Αὐτὸς δὲ κελεύει τὸ τάχος πρὸς ταῖς οὔσαις ναυσὶ καὶ ἑτέρας οὐκ ὀλίγας ναυπηγεῖσθαι, καὶ ναυτικὸν ἐκλέγειν ὅτι πολὺ πρὸς ταύτην καὶ μόνην τὴν ὑπηρεσίαν ἐκτεταγμένον ἐκ πάσης τῆς αὐτοῦ. (2) Τῆς γὰρ θαλάσσης τὸ κράτος μέγα ὁρῶν, καὶ τὸ τῶν Ἰταλῶν ναυτικὸν πολὺ ὂν καὶ ταύτης ἐπικρατοῦν, τῶν τε ἐν Αἰγαίῳ νήσων ἁπασῶν ἄρχον καὶ βλάπτον τὴν αὐτοῦ παραλίαν οὐ μικρῶς, Ἀσιανήν τε καὶ Εὐρωπαίαν, καὶ μάλιστα δὴ τὸ τῶν Ἐνετῶν, ἐβούλετο τοῦτο κωλῦσαι τρόπῳ παντὶ, καὶ ξυμπάσης μὲν, εἴ γε δύναιτο, τῆς θαλάσσης ἐγκρατῶς ἄρξαι, εἰ δ' οὔ, ἐκείνους κωλῦσαι κακουργεῖν τὴν αὐτοῦ. Διά τοι τοῦτο ναυτικόν τε ἔσπευδε ξυστήσασθαι μέγα καὶ τῆς θαλάσσης τὸ κράτος σχεῖν. (3) Μετὰ δὲ τοῦτο ἔδοξεν αὐτῷ σκοπουμένῳ κράτιστον εἶναι καὶ τῶν σφόδρα ἀναγκαίων τόν τε τοῦ Ἑλλησπόντου καὶ Χερρονήσου πορθμὸν φρουρίοις ἐρυμνοτάτοις διαλαβεῖν ἑκατέρωθεν, καὶ τὰς ἠπείρους ἀμφοτέρας ξυνάψαι, Ἀσίαν τε καὶ

λωσίᾳ παραδοὺς text. || — § 11. Σάμιον Ἀλὴν] Chalcocond. p. 526, 17 : ἐγκαθίστη... ἄρχοντα αὐτῶν τοῦ Σαμλιάτεω παῖδα, ἄνδρα ἐπίσημον, οὗ τὸν πατέρα ἐν ταῖς βασιλέως θύραις ἀκούειν δικαιοσύνης ἄριστον ἐπυθόμεθα, καὶ δίκας δικάσαντα ἄριστον πάντων δὴ ὧν ἡμεῖς ἴσμεν. Ni fallor, nomen viri tum apud Critobulum tum apud Chalcocondylam corruptum est. In Critobulo corrigendum fuerit Βεστάμιον Ἀλὴν, apud Chalc. vero : ἄρχοντα αὐτῶν [Ἀλὴν] τὸν Βεσταμιάτεω. Intelligendus *Ali Bestami*, vir juris aliarumque scientiarum cognitione celeberrimus, multorumque scriptorum auctor, cujus sententiæ innitens Mechemetes Bosniorum regem contra datam a Machumute fidem supplicio affecit. Ceterum *Bestami* nomine non pater sed patria indicatur; scilicet oriundus vir erat e *Beste* oppido *Herat* provinciæ. V. Hammer 2, p. 77 et 551. || — § 12. τὴν στρατιὰν] mgo, τὸν στρατόν text.

XIII. § 2. Κομῶν] mgo, βρίθων text. || — § 3. νῦν] mgo, τέλος text.

XIV. § 1. Νικορέζον... δι' αἰτίας] add. margo. De causis necis v. Chalcoc. p. 528. || — κελεύει ναυπηγεῖσθαι etc.] Chalcoc. p. 529, 6 : Καὶ τὸν μὲν χειμῶνα (1462) ἐν Βυζαντίῳ διατρίβων ναυτικόν τε ἐξηρτύετο, καὶ ἐς τὸν Εὔξεινον πόντον ἐναυπηγεῖτο τριήρεις ἀμφὶ τὰς τριάκοντα, καὶ οἰκοδομῶν ναούς τε καὶ βασίλεια ἐπενόει τὴν Βυζαντίου πόλιν αὐτῷ εἰς τὰ ναυτικὰ εὐπορίαν παρέξεσθαι, ὥστε ἄξιον λόγου ναυτικὸν ἐς τὴν θάλασσαν ἐξαρτύεσθαι· τῇ γὰρ θαλάσσῃ λογιζόμενος εὕρισκεν ὡς εἰ ἐπικρατήσει, ῥᾷον αὐτῷ παραχωρήσειν καὶ τὰ τῶν πολεμίων. || — § 2. καὶ μάλιστα τὸ τῶν Ἐνετῶν] Cf. Chalcoc. p. 530, 10. || — § 3. De re cf. Chalc. p. 529, 19 sqq., Hammer. 2, p. 73. || — Ἀσίαν τε καὶ Εὐρώπην] add.

Εὐρώπην, καὶ πᾶσαν τὴν ἄνω θάλασσαν τοῦ τε Εὐξείνου πόντου καὶ Ἑλλησπόντου, φημὶ, ἔσω ποιήσασθαι καὶ ἀσφαλίσασθαι ταύτην καλῶς, κλείσαντι τὸν πορθμὸν, ἵνα μὴ ἡ ταύτης παραλία τοῖς πολεμίοις ἐπερχομένοις ληστεύηται, ὥσπερ δῆτα καὶ πρώην κἂν τῷ Βοσπόρῳ πεποίηκεν. (4) Οὕτω δὴ διανοηθεὶς ὁ βασιλεὺς εὐθὺς πέμπει τοὺς κατασκεψομένους τὸν χῶρον καὶ ἀναμετρήσοντας τὰ στενότατα τοῦ πορθμοῦ καὶ ῥοώδη. Οἱ δὲ παραγενόμενοι καὶ ἀναμετρήσαντες εὗρον ὅτι στενώτατόν τε καὶ ῥοωδέστατον τοῦ πορθμοῦ [τὸ κατὰ] τὴν μεταξὺ Μαδύτου καὶ Ἐλεοῦντος ἄκραν πρὸς τὴν ἀντιπέρας ἤπειρον τῆς Ἀσίας, ἣ Δαρδανία καλεῖται, στάδιά που μάλιστα ὀκτὼ, ἐν ᾗ καί τι καὶ πύργου παλαιοῦ ἐρείπιον ἐτύγχανεν ὂν, ἀλύσει βουληθέντος τινὸς τῶν πρότερον βασιλέων, ὡς λέγεται, κλεῖσαι τὸν πορθμὸν, καὶ μὴ δυνηθέντος, τῇ βίᾳ τοῦ πολλοῦ ῥοῦ ξυνελισσομένης τε καὶ ξυστρεφομένης καὶ ξυγκλωμένης ῥᾳδίως τῆς ἀλύσεως. (5) Ἐπανελθόντες οὖν ἀνήγγειλαν τοῦτο τῷ βασιλεῖ. Ὁ δὲ μετακαλεσάμενος ὅτι τάχιστα Ἰαγούπην τὸν σατράπην Καλλιουπόλεώς τε καὶ Χερρονήσου καὶ ἡγεμόνα τοῦ στόλου παντὸς καὶ τῆς παραλίας ἁπάσης, ἀνατίθησιν αὐτῷ τὸν τειχισμὸν τῶν φρουρίων ὅτι τάχος ποιεῖν καὶ τὴν ἄλλην τούτων πᾶσαν φροντίδα καὶ ἐπιμέλειαν, μηδὲν σπουδῆς ἀνιέντι. Καὶ ὃς οὐδὲν μελλήσας εὐθὺς ἐτείχιζε, χειρὶ πολλῇ καὶ προθυμίᾳ καὶ δαπάνῃ χρώμενος ἐς τὸ ἔργον.

XV. Βασιλεὺς δὲ τοῦ χειμῶνος τούτου παρεσκευάζετο ὡς ἅμα ἦρι στρατιὰν ἐλάσων κατὰ Παιόνων τῶν ἐντὸς Σάου ποταμοῦ, οὓς καὶ Δαλμάτας καλοῦσιν, οἱ δὲ νεώτεροι Βόστρους, ἔθνος μέγα τε καὶ πολὺ καὶ μεγάλην ἔχον ἀρχὴν καὶ χώραν ὅτι πλείστην νεμόμενόν τε καὶ καρπούμενον ἀγαθὴν δυσχωρίαις τε μεγίσταις κατωχυρωμένην καὶ ὄρεσι δυσβάτοις καὶ ἀποκρότοις καὶ τόποις τραχέσι καὶ ἀποκρήμνοις, προσέτι δὲ φρούριά τε ἔχουσαν ἐρυμνὰ καὶ πολίσματα ἰσχυρὰ καὶ δυσάλωτα καὶ ἡγεμόνας τῶν εὐδαιμόνων καὶ δυνατῶν. (2) Ἔχουσι δὲ καὶ φιλίαν ἀεὶ καὶ ξυμμαχίαν μετὰ τοῦ βασιλέως Παιόνων καὶ ὁμαιχμίαν τε καὶ πίστεις ἰσχυρὰς, ἢ μὴν, ἤν τις κατ' αὐτῶν ἐπίῃ, ἀλλήλοις βοηθεῖν· οἷς πᾶσι θαρρουντες ουτε σπονδὰς ἔχειν ἤθελόν ποτε μετὰ τοῦ βασιλέως, οὔτε δασμὸν αὐτῷ καταβάλλειν ἐτήσιον, ὥσπερ οἱ ἄλλοι ὅμοροι Ἰλλυριοί τε καὶ Τριβαλλοὶ, οὐδ' ὅλως κατακούειν αὐτοῦ, ἀλλὰ καὶ πολλάκις ἐς σπονδὰς σφᾶς προκαλουμένου βασιλέως, ἀπηξίουν αὐτοὶ καὶ οὐ κατεδέχοντο σπένδεσθαι, αὐτόνομοί τε καὶ ἐλεύθεροι καὶ ἔκσπονδοι πάντῃ εἶναι βουλόμενοι. (3) Διά τοι τοῦτο καὶ πολλάκις στρατιὰν πέμπων ὁ βασιλεὺς ἐληΐζετο τὴν αὐτῶν, κατατρέχων τε καὶ λείαν ὅτι πλείστην ἀπάγων ἀνδρῶν τε καὶ παίδων καὶ γυναικῶν καὶ βοσκημάτων. Οἱ δὲ οὐδὲν μᾶλλον τῆς ἐξ ἀρχῆς γνώμης ὑφεῖντο, ἀλλὰ τοῖς ἅπαξ δεδογμένοις ἐνέμενον, ἐπὶ τῷ σφετέρῳ μέντοι κακῷ. (4) Ἐπὶ τούτοις οὖν ὀργισθεὶς ὁ βασιλεὺς τὴν ἐκστρατείαν κατ' αὐτῶν ἐποιεῖτο, καὶ δὴ καλῶς παρασκευασάμενος καὶ ὅπλα πολλὰ καὶ μηχανὰς παντοίας καὶ στρατιὰν ὅτι πλείστην ξυναγαγὼν ἱππικήν τε καὶ πεζικὴν, ἔαρος ἐπιλάμποντος ἤδη, ἔξεισι κατ' αὐτῶν χειρὶ πολλῇ καὶ δυνάμει. (5) Ἄρας οὖν ἐκ τῆς Ἀδριανοῦ παντὶ τῷ στρατῷ ἱππικῷ τε καὶ πεζικῷ καὶ ἀεὶ σπουδῇ ἐλαύνων ἐπὶ τὰ πρόσω, διαβαίνει τε τὴν αὐτοῦ ταχέως καὶ γενόμενος ἐν τοῖς μεθορίοις τῶν Βόστρων, στρατοπεδεύεται αὐτοῦ μικρὸν, καὶ μετὰ τοῦτο προσβάλλει τῇ χώρᾳ τούτων ἰσχυρῶς, καὶ κατατρέχει ταύτην, σκηπτοῦ δίκην ἐμπίπτων καὶ ἐμπιπρῶν πάντα καὶ διαφθείρων καὶ ἀφανίζων καὶ φρούρια ἐξαιρῶν, ἐς ἃ δὲ καὶ φρουρὰς ἐσάγων καὶ λείαν ἀπάγων καὶ πᾶσαν ἤδη τὴν ἐν ποσὶ χειρούμενος, μηδενὸς ὅλως ἀνθισταμένου. (6) Διελάσας δὲ τὸ πλεῖστον τῆς χώρας ἐν οὐ πολλαῖς ἡμέραις τε καὶ καταδραμὼν, καὶ φρούρια πολλὰ καὶ πολίσματα, ἧπερ ἔφην, τὰ μὲν ἐξ ἐπιδρομῆς βίᾳ τοῖς ὅπλοις, τὰ δὲ καὶ προσχωρήσει ἑλὼν, γίνεται πρὸς τὸ ἄστυ, ἐν ᾧ ἦν καταφυγὼν ὁ τούτων ἡγεμών. (7) Ἦν γὰρ ἐρυμνότατον τοῦτο Ἰαΐτζα καλούμενον τῇ ἐπιχώρῳ φωνῇ· καὶ κατακλείει τοῦτον ἐντὸς, καὶ προσφέρει λόγους τοῖς ἐν αὐτῷ περὶ (τε) ἐνδόσεως ἑαυτῶν τε καὶ τοῦ ἄστεος· ὡς δὲ οὐκ ἔπειθε πανταχόθεν περισταυρώσας τὸ ἄστυ καὶ κύκλῳ περιλαβὼν τῷ στρατῷ καὶ μηχανὰς ἐπιστήσας ἐπολιόρκει, καὶ τοῦ μὲν τείχους ἐν οὐ πολλαῖς ἡμέραις πολύ τι

margo. || — § 4. τὰ στενώτατα τ. π. καὶ ῥοώδη] τὰ στενῶτα codex; fort. leg. τὰ στενωπά. || — τὸ κατὰ] addidi. Dein Μαδήτου codex. Pro Ἐλεοῦντος præstaret Ἐλαιοῦντος. V. Steph. Thes. s. v. Tum ὃ Δαρδ. codex.

XV. De expeditione contra Stephanum Bosniorum regem et vicinos Bosniæ principes ampliorem narrationem præbet Chalcocondylas p. 530-544. Cf. Seadeddin. 2 p. 217-222 et quos laudant Hammer 2, p. 73 et Zinkeisen 2, p. 140 sqq. Critobulus nonnisi summa rerum momenta verbose sed parum recte tradidit. || — § 1. Δαλμάτας... Βόστρους] Infra § 11 et lib. 5, 4, 1 legitur τὴν Δαλματῶν καὶ Βόστρων, quod ex nostri loci ratione esse deberet Δαλματῶν [τῶν] καὶ Βόστρων. Chalcocondylas Bosnios Illyriorum nomine comprehendit. Critobuli codex ubique præbet Βόστρους pro Βοσνίους vel Βόσνους. || — § 2. Βασιλέως Παιόνων] Mathiæ Corvini. || — ἢ μὴν] add. margo. || — § 4. στρατιὰν πλείστην] ἐς πεντεκαίδεκα μυριάδας ἱππέων, Chalc. p. 535, 21. || — § 5. Expeditionis ratio e Chalcocondyla aliisque haurienda. Mechemetes a Scopiis (*Uskub*) profectus per Wucitarnam (hod. *Wuchitra* inter *Uskub* et *Pristhina* opp.), venit ad fluvium Serviam a Bosnia disterminantem, quem Chalc. p. 534, 15 Δοβοβίκην (p. 534, 11 Δοροβίκην) vocat; hinc perrexit ad Illyrium fluvium eoque trajecto Δοβοβίκην urbem (hod. *Babitcha-Otchak* ad *Krivaja* fl.) obsidione cinxit, eaque (die 10 m. Maii 1463) potitus est [Ceterum in Chalc. fluviorum istorum nomina confundi suspicor. Δοβοβίκης fl. cum Δοβοβίκῃ urbe jungendus, et Βοβοβίκης et Βοβοβίκη scribendum fuerit, adeo ut in Serviæ et Bosniæ confiniis sit Illyrius fluvius, cujus nominis haud dubie corrupti vestigium superest in

μέρος κατέσεισε ταῖς μηχαναῖς καὶ κατέβαλεν, ἔπειτα παρεσκευάζετο πάσῃ δυνάμει προσβαλεῖν αὐτῷ. (8) Οἱ δὲ ἐντὸς τοῦ ἄστεος ὁρῶντες τό τε πολὺ τοῦ τείχους κατερριμμένον καὶ τὸν βασιλέα ὅσον οὐκ ἤδη προσβαλοῦντα αὐτοῖς ἰσχυρῶς, καὶ δείσαντες μὴ βίᾳ ληφθέντες τοῖς ὅπλοις ἀπόλωνται, ἐπικηρυκεύονται κρύφα τοῦ σφῶν ἡγεμόνος τῷ βασιλεῖ, ἐνδιδόντες ἑαυτοὺς καὶ τὸ ἄστυ. Ὁ δὲ τούτων ἡγεμὼν αἰσθόμενος τοῦτο, νυκτὸς λαθὼν ἐξέρχεται τοῦ ἄστεος, λάθρα φυγάς. Οἱ δὲ τοῦ στρατοπέδου τὴν φυλακὴν ἔχοντες, γνόντες τοῦτον καταδιώκουσιν ἰσχυρῶς, καὶ καταλαβόντες ζωγροῦσι καὶ ἀπάγουσιν ὡς βασιλέα. Ὁ δὲ τοῦτον εὐθὺς ἀπέκτεινεν. (9) Οἱ δὲ τοῦ ἄστεος ἐξελθόντες παραδιδόασιν ἑαυτούς τε καὶ τὸ ἄστυ τῷ βασιλεῖ· καὶ ὃς δέχεται τούτους ἡμέρως, καὶ δωρησάμενος πολυτρόπως δίδωσιν αὐτοῖς κατοικεῖν τὸ ἄστυ ξὺν γυναιξὶ καὶ τέκνοις καὶ τοῖς ὑπάρχουσι πᾶσι σῶς καὶ κακῶν ἀπαθεῖς, τὸν ξυνήθη μέντοι γε καὶ μόνον δασμὸν ἀποφέροντας ἐτησίως. (10) Μετὰ τοῦτο ἐσέρχεται καὶ αὐτὸς ἐς τὸ ἄστυ καὶ θεᾶται τοῦτο καλῶς, καὶ ἔδοξεν αὐτῷ πάνυ ἰσχυρὸν, καὶ ἀναγκαία ἡ τούτου κατάσχεσίς τε καὶ φυλακὴ, καὶ πρὸς τὸν προκείμενόν οἱ σκοπὸν σφόδρα χρήσιμος· κεῖται γὰρ ἐν ἐπικαίρῳ τῆς χώρας, ὅμορον ὂν τῇ Παιόνων, καὶ δύναται στρατιὰν δεχόμενον ἱκανὴν μεγάλα βλάπτειν αὐτήν. (11) Διὰ τοῦτο καὶ προὔργου τὴν τούτου κατάσχεσιν ὁ βασιλεὺς ἐποιεῖτο· φρουρὰν οὖν ἱκανὴν ἐγκαταστήσας αὐτῷ καὶ φρούραρχον ἕνα τῶν οἰκείων καταλιπὼν, τὴν στρατιὰν ἀναλαβὼν αὐτὸς ἐπὶ τὰ λοιπὰ τῆς χώρας ἐτράπετο, καὶ πρὶν τὸ θέρος ὅλον ἐξήκειν, καταστρέφεται πᾶσαν τὴν Βόστρων καὶ Δαλματῶν καὶ ληΐζεται καὶ χειροῦται φρούρια ὀλίγῳ ἐλάσσω τριακοσίων, ξυλλαμβάνει δὲ καὶ τέσσαρας τῶν αὐτῆς ἡγεμόνων.

XVI. Τοῦ δ' αὐτοῦ θέρους καὶ Ἐνετοὶ λύσαντες τὰς μετὰ βασιλέως σπονδὰς, πόλεμον ἐξήνεγκαν αὐτῷ, ἔχοντες ἐγκλήματα δι' αἰτίας τοιάσδε. Ἀμάρης γὰρ ὁ Πελοποννήσου καὶ τῆς ἄλλης Ἑλλάδος σατράπης, ἐκ πάνυ μικρῶν αἰτιῶν ὁρμηθεὶς, μᾶλλον δὲ οὐδὲ τούτων, ἀλλ' ὀργὴν ἔχων τοῖς Ἐνετοῖς, ὅτι γε οὐ προσεῖχον αὐτῷ φιλικῶς, οὐδὲ χάριτας παρεῖχον ὡς σατράπῃ καὶ γειτονοῦντι καὶ δυναμένῳ βλάπτειν αὐτοὺς, ἀλλὰ νομίζων ὑπερορᾶσθαι καὶ βουλόμενος ἀμύνασθαι τούτους, καιρὸν φυλάξας ἀπροσδοκήτοις ἐπέρχεται τοῖς ἐν τῇ Ναυπάκτῳ καὶ κατατρέχει Ναύπακτόν τε καὶ τὰ περὶ αὐτὴν καὶ λείαν ὅτι πλείστην ἀπάγει ἀνδρῶν τε καὶ βοσκημάτων καὶ παίδων καὶ γυναικῶν· ἅτε γὰρ αἴφνης ἐπεσπεσὼν καὶ μηδέν τι τοιοῦτον προσδεχομένοις μηδὲ προσδοκοῦσιν ὅλως αὐτοῖς ἐν εἰρήνῃ τε καὶ σπονδαῖς, μεγάλα ἔβλαψε, μᾶλλον δὲ ὀλίγου ἐδέησε καὶ αὐτὸ τὸ ἄστυ λαβεῖν· οὐ μόνον δὲ, ἀλλὰ καὶ τὰς ἐν Πελοποννήσῳ πόλεις αὐτῶν Κορώνειαν καὶ Μεθώνην καὶ τὰς λοιπὰς κακῶς ἐποίει, προφάσεις ἐπάγων ἀεὶ καὶ αἰτίας κενάς. (2) Ἔδοξεν οὖν βαρὺ τοῦτο λίαν τοῖς Ἐνετοῖς καὶ μεγίστη πρόφασις ἐς τὸ πολεμεῖν καὶ ἄλλως ὠδίνουσι τὸν πρὸς βασιλέα πόλεμον, ἐξ ὅτου δὴ τὴν Πελοπόννησον ἐχειρώσατο· ἀεὶ γάρ ποτε προσεδόκων ἕξειν αὐτὴν οὗτοι, καὶ νομίζοντες ἰδίαν οὖσαν ἀποβαλεῖν, καιρὸν ἐζήτουν καὶ προφάσεις τινὰς πόλεμον ἐξενεγκεῖν βασιλεῖ καὶ στρατεῦσαι ἐπ' αὐτήν. (3) Δραξάμενοι οὖν τῶν αἰτιῶν τούτων, εὐθὺς καὶ ἄνευ πρεσβείας ἡστινοσοῦν καὶ τοῦ λόγοις μᾶλλον ἐθελῆσαι τὰ διάφορα λῦσαι, στρατιὰν μεγάλην καὶ στόλον διαπόντιον ἐξαρτύουσι τῇ Πελοποννήσῳ τριήρεων ἑβδομήκοντα καὶ ὁλκάδων μεγάλων. (4) Πληρώσαντες οὖν αὐτὰς ἐπιβατῶν, καὶ ὁπλίτας ἐπιβιβάσαντες ὅτι πολλοὺς καὶ στρατιώτας καταφράκτους τε καὶ μαχίμους ἐκ τῶν ἰδίων καταλόγων καὶ τάξεων, ἀλλὰ δὴ καὶ ξένους μισθοφόρους ὡς πλείστους καὶ ὅπλα παντοῖα ἐνθέμενοι καὶ μηχανὰς πετροβόλους καὶ ἀφετήρια, ἔτι δὲ καὶ σίδηρον πολὺν καὶ ξύλα καὶ ἄσβεστον καὶ τεχνίτας καὶ οἰκοδόμους καὶ ἐργαλεῖα τὰ ἐς οἰκοδομὴν ἐπιτήδεια καὶ ὅσα τοιαῦτα ἐπιφορτίσαντες καὶ καλῶς ἐξαρτύσαντες διὰ πάντων, καὶ στρατηγὸν αὐτοκράτορα ἑλόντες ἄνδρα τὸν παρ'

---

hodierno *Ibar*, qui a Scupis proficiscenti in confiniis istis occurrit]. A *Balitcha* Machumutes cum parte exercitus versus Iaitzam (Γαϊτίαν Chalc.) regiam ad *Werbam* fluvium profectus est; ibi enim Stephanum degere acceperat. Adveniens autem quum urbem a rege jam relictam offenderet, ultro perrexit ad *Kljutch* (Κλιτίαν Chalc.) urbem *Sannæ* fluvio appositam, in quam Stephanus se receperat. Interea Mechemetes a *Babitcha* Iaitzam movit, cujus incolæ appropinquanti obviam profecti ultro urbem dediderunt. Machumutes vero post brevem obsidionem *Kljutch* urbe potitus est. Stephanus captus et ad Sultanum adductus supplicio afficitur, quanquam vitam ei salvam fore Machumutes promiserat. Post hæc rex contra vicinos principes se convertit, captosque necavit. || — ταχέως] add. margo. || — § 11. τὴν στρατιὰν ἀναλαβὼν] add. mgo || — ξυλλαμβάνει] mgo. ζωγρεῖ text. Dein αὐτῆς m. 2 additum.

XVI. De expeditione contra Venetos vid. Chalcocondylas p. 545-564, Phrantzes p. 415, Seadeddin. 2, p. 229-234 et præ ceteris *Lettera d'un segretario del signor Sigismondo Malatesta, delle cose fatte nella Morea per Maometh II* in Sansovini Collectione (Venet. 1582) p. 220 sqq.; Sabellico Historiæ rerum Venetiarum in *Istorici delle cose Veneziane* (*Venezia* 1713), t. I, p. 718; Mar. Sanuto l. l. p. 1172. Cf. Hammer p. 79, Zinkeisen p. 295 sqq. || — § 1. δι' αἰτίας] καὶ αἰτ. cod. || — Ἀμάρης] Omar, Turchanis f., ob rem in bello Bosnico strenue gestam Thessaliæ præfecturam nuper obtinuerat, teste Chalc. p. 515, 21. || — Ναύπακτόν τε] margo, ταύτην text. De re v. Chalcoc. p. 545, 6 sqq. Phrantzes p. 414, 11. || — αὐτοῖς ante ἐν εἰρήνῃ add. mgo. || — ὀλίγου] man. 2, ὀλίγον m. 1. || — § 3. μᾶλλον] supra lineam adscriptum. || — τριήρεων ο' καὶ ὁλκάδων] Chalc. p. 555, 16: πληρώσαντες τριήρεις λε' καὶ ναῦς τε ἅμα ὑψηλὰς β' ἔπλεον ἐπὶ Πελοπόννησον. || — § 4. ἐξαρτύσαντες] mgo, ὁπλίσαντες text. || — § 5. ἐπικειμένων] add. mgo. Dein 'Ροῖον et Κρησαῖον codex. || — § 6. τὸν ἰσθμὸν] Cœptum opus d.

αὐτοῖς δοκιμώτατον καὶ τῶν ὀνομαστῶν ἐπ' ἀνδρίᾳ καὶ στρατηγικῇ ἀρετῇ κατὰ γῆν τε καὶ θάλασσαν, ἐκπέμπουσι τὸν στόλον. (5) Ἄραντες οὖν ἐκ τῆς αὐτῶν δυνάμει τε πολλῇ καὶ παρασκευῇ τῇ πάσῃ καὶ περιφανεῖ στρατιᾷ καὶ λαμπραῖς ἐλπίσιν, ἔπλεον τὸν Ἀδρίαν τε καὶ Ἰόνιον, παραπλεύσαντες δὲ Κέρκυράν τε καὶ Λευκάδα διὰ τῶν ἐπικειμένων νήσων Ἰθάκης τε καὶ Κεφαλληνίας, προσίσχουσι τῇ Ἤλιδι ἄκρᾳ τῆς Πελοποννήσου, κἀκεῖθεν γίνονται κατὰ τὸ Ῥίον τὸ Ἀχαϊκὸν, καὶ διαβαλόντες τὸν Κρισαῖον καταίρουσι ἐς τὴν Κορινθίαν ἐν τῷ Ἰσθμῷ, καὶ ἀποβάντες τῶν νεῶν στρατοπεδεύονται αὐτοῦ· τοῦτον γὰρ ἐβούλοντο πρῶτον τειχίσαι καὶ προκαταλαβεῖν, ἔπειτα τῇ ὅλῃ Πελοποννήσῳ ἐπιχειρῆσαι. (6) Ἐκφορήσαντες οὖν πᾶσαν ἀποσκευήν τε καὶ χρείαν καὶ διαλαβόντες τὸν ἰσθμὸν ἀπ' ἄκρου ἐς ἄκρον πάσῃ τῇ στρατιᾷ, ἐτείχιζον χειρὶ πολλῇ καὶ δυνάμει, ἔτι δὲ καὶ σπουδῇ καὶ προθυμίᾳ τῇ πάσῃ χρώμενοι. Ἀπέστησαν δὲ τότε εὐθὺς καί τινα τῶν φρουρίων καὶ πολισμάτων τοῦ βασιλέως ἔν τε τῇ μεσογείᾳ καὶ παραλίᾳ, καὶ προσέθεντο αὐτοῖς, ἐν οἷς καὶ φρουροὺς ἐγκατέστησαν· οὐ μόνον δὲ, ἀλλὰ καὶ ἡ ἄλλη πᾶσα Πελοπόννησος μετέωρος ἦν, ἀποσκοποῦσα τὸ μέλλον, ὥστε καὶ αὐτὴ ἀποστῆναι τοῦ βασιλέως. (7) Ἀμάρης δὲ ξυναγαγὼν πάντας τοὺς ὑπ' αὐτὸν καί τινας τῶν ἐκ Πελοποννήσου Ἰλλυριῶν προσλαβόμενος καὶ στρατιὰν οὐ πολλὴν ἀθροίσας, ἐκάθητο ἐν Κορίνθῳ, φυλάσσων τε αὐτὴν, καὶ στρατιὰν ἐκδεχόμενος παρὰ βασιλέως· ἤδη γὰρ ἦν πέμψας ἄγγελον ὡς αὐτὸν, εὐθὺς καταχθέντος τοῦ στόλου, ἀγγελοῦντα τὴν ἔφοδον τούτου, καὶ ἅμα καιρὸν ἐπιτήδειον παραφυλάττων ἐπιθέσθαι αὐτοῖς. Καὶ ὁ μὲν οὕτως. (8) Βασιλεὺς δὲ πυθόμενος τὴν ἐς Πελοπόννησον ἐκστρατείαν τῶν Ἐνετῶν καὶ τὸν τοῦ ἰσθμοῦ τειχισμὸν, οὐκέτι ἐν ἀναβολαῖς τὸ πρᾶγμα ἐτίθει, ἀλλ' εὐθὺς μετακαλεσάμενος Μαχουμούτεα τὸν πασίαν καὶ στρατιὰν αὐτῷ δοὺς ἱκανὴν ὁπλιτῶν τε καὶ τοξοτῶν καὶ τῶν ἀπὸ τῆς ἰδίας αὐλῆς τοὺς μαχιμωτάτους τε καὶ εὐοπλωτάτους, ἐκπέμπτει ἐς Πελοπόννησον. (9) Αὐτὸς δὲ καταστησάμενος πάντα τὰ ἐν τοῖς Βόστροις καλῶς τε καὶ ὡς ἦν αὐτῷ κατὰ νοῦν, φρουρούς τε καὶ φρουράρχας τῇ τε Ἰαΐτζῃ καὶ τοῖς ἄλλοις τῶν φρουρίων ἐγκαταστήσας ὅσα μὴ κατέσκαψε, σατράπην τε ξὺν στρατιᾷ ἱκανῇ τῇ χώρᾳ καταλιπὼν ἄνδρα τῶν ὀνομαστῶν παρ' αὐτῷ ἐπ' ἀνδρίᾳ καὶ στρατηγίᾳ, καὶ λείαν ἐλάσας ὅτι πολλὴν αὐτός τε καὶ τῇ στρατιᾷ διαδοὺς, ἐπάνεισιν ἐς τὴν Ἀδριανοῦ, φθινοπώρου λήγοντος ἤδη. Καὶ ἓν δὴ καὶ ἑβδομηκοστὸν ἔτος πρὸς τοῖς ἐνακοσίοις τε καὶ ἑξακισχιλίοις τοῖς ὅλοις ἠνύετο, τρίτον δὲ καὶ δέκατον τῆς ἀρχῆς τῷ βασιλεῖ.

1 Sept. 1463, finitum 15 dierum spatio. Murus 12 pedes altus et 136 turribus instructus, ut Veneti tradunt. Sec. Phrantz. p. 415, 3 Aloysius Loredano ᾠκοδόμησε τὸν ἰσθμὸν, κακῶς δὲ διὰ τὴν συντομίαν. Sec. Critob. non finitus est murus. || — ἐν Κορίνθῳ ἐκάθητο] Imo, Omares initio belli erat Leontii, teste Chal. p. 556, 14; Corinthi præsidio tum præerat Sinanbeg, ut ait Seadedd. p. 231. || — § 7. ὡς αὐτὸν] m. 2, ἐς αὐτ. m. 1. || — παραφυλάττων] m. 2, φυλάττων m. 1. || — § 8. ξὺν στρατιᾷ ἱκανῇ] καὶ στρατιὰν ἱκανὴν codex. Possis etiam στρατιάν τε ἱκανὴν καὶ σατράπην καταλιπών. || — § 8. καὶ ἓν] ἓν in rasura. Exspectabas πρῶτον, at illud ex more Nostri.

ΚΡΙΤΟΒΟΥΛΟΥ

ΞΥΓΓΡΑΦΗΣ ΙΣΤΟΡΙΩΝ ΠΕΜΠΤΗ.

Περιέχει ἥδε τόν τε πόλεμον Ἐνετῶν καὶ τὴν ἐς Βόστρους δευτέραν προσβολὴν τοῦ βασιλέως, ἔτι δὲ καὶ τὴν ἐς Ἰλλυριοὺς πρώτην καὶ δευτέραν ἐκστρατείαν τοῦ βασιλέως καὶ ὡς ὑπηγάγετο ταύτην καὶ πόλιν ἐτείχισεν ἐν αὐτῇ. Χρόνου πλῆθος ἔτη τέσσαρα.

Μαχουμούτης δὲ ἀφικόμενος ἐς Πελοπόννησον στρατοπεδεύεται ἐκτὸς τοῦ Ἰσθμοῦ πρὸς τῇ ὑπωρείᾳ τοῦ Κιθαιρῶνος, καὶ πέμψας ἄγγελον κρύφα κοινολογεῖται Ἀμάρῃ, δηλῶν τε τὴν αὐτοῦ ἄφιξιν καὶ τῆς στρατιᾶς καὶ πυνθανόμενος τὰ ἐν τῷ Ἰσθμῷ πάντα καὶ τὰ τῶν πολεμίων ὡς ἔχει. Καὶ ξυνθέμενοι τὴν ἐπίθεσιν ἐς ἡμέραν ῥητὴν μετά γε ξυνθήματος ἡσύχαζον. (2) Ἐνετοὶ δὲ σπουδῇ τε πολλῇ καὶ προθυμίᾳ καὶ πολυχειρίᾳ χρώμενοι ἐς τὸ ἔργον, ἐπετέλουν αὐτὸ ταχέως· καὶ γὰρ ἅπαν τὸ τεῖχος ἐξήνυσαν, πλὴν τριῶν ἢ τεττάρων σταδίων, οὐ μέντοι γε ἐς ὕψος ἱκανὸν ἦραν αὐτὸ, ἀλλ' ὅσον ἐκ τούτου ἀπομάχεσθαι ἀσφαλῶς. Ἐν τούτῳ δὲ Ἀμάρης καιρὸν φυλάξας ἐς ἐπίθεσιν, σημαίνει τῷ Μαχουμούτει, καὶ ἀπὸ ἑνὸς ξυνθήματος ὁρμηθέντες ἄμφω προσβάλλουσι τῷ στρατοπέδῳ τῶν πολεμίων, ὁ μὲν ἐντὸς, ὁ δὲ ἐκτὸς ἐπιθέμενοι, βοῇ τε πολλῇ καὶ κραυγῇ καὶ ἀλαλαγμῷ χρωμένων τῶν στρατιωτῶν· καὶ γίνεται ἀγὼν ἐνταῦθα μέγας καὶ ὠθισμὸς καὶ μάχη καρτερὰ ξυσταδὸν καὶ φόνος πολύς· ἐν ᾗ μικρὸν μὲν χρόνον ἀντέσχον οἱ Ἐνετοὶ δεξάμενοι τοὺς ὁπλίτας, ἔπειτα τραπέντες ἔφευγον ἀνὰ κράτος ἀτάκτως τε καὶ ξὺν οὐδενὶ κόσμῳ, οἱ δὲ ὁπλῖται ἐπέκειντο κτείνοντες ἀφειδῶς καὶ ζωγροῦντες σφᾶς, ἕως ἀφίκοντο ἐς τὴν θάλασσάν τε καὶ τὰς ναῦς. (3) Ἐνταῦθα δὴ βίᾳ τε πολλῇ καὶ μόγις ἐσβάντες ἐς τὰς τριήρεις οἱ Ἐνετοὶ ἀνήχθησαν ἐπὶ μετεώρου μικρὸν ἀνακωχεύσαντες, ὅσον ἐκτὸς βέλους εἶναι, καὶ ἐδέχοντο τοὺς ἀπὸ θαλάσσης νηχομένους· πολλοὶ γὰρ βιαζόμενοι ὑπὸ τῶν πολεμίων, ῥίπτοντες τὰ ὅπλα ἔπιπτον ἐς τὴν θάλασσαν, οἱ δὲ καὶ ξὺν ὅπλοις, καὶ ἀπενήχοντο οἱ μὲν ἐς τὰς ναῦς, οἱ δὲ καὶ ἀπεπνίγοντο βάρει τῶν ὅπλων. Ἀπέθανον δὲ ἐν τῇ μάχῃ πλῆθος πολὺ τῶν πολεμίων, ἀστῶν τε καὶ ξένων, καὶ αὐτὸς ὁ στρατηγὸς, ἀνὴρ ἀγαθὸς γενόμενος, ἐλήφθησαν δὲ καὶ ζῶντες ὀλίγῳ ἐλάσσους τριακοσίων. (4) Οἱ δὲ δὴ στρατιῶται διαρπάζουσι τὸ στρατόπεδον ὅλον. Εὑρέθη δὲ ἐν αὐτῷ χρήματά τε πολλὰ καὶ ἔπιπλα καὶ ἐκπώματα καὶ ἄλλη τις οὐκ ὀλίγη ἀποσκευή τε καὶ χρεία, ἐλήφθη δὲ καὶ ὅπλα πολλὰ, τὰ μὲν ἀπὸ σκύλων τῶν νεκρῶν, τὰ δὲ καὶ ἀποκείμενα, καὶ μηχαναὶ παντοῖαι καὶ ὅσα τοιαῦτα.

II. Μαχαμούτης δὲ μετὰ τοῦτο ἀναλαβὼν τὴν στρατιὰν ἔσεισιν ἐς τὴν μεσόγειαν Πελοποννήσου μετὰ τοῦ Ἀμάρεος ἐπὶ τὰ ἀποστάντα τῶν φρουρίων καὶ τοὺς ἄλλως νεωτερήσαντας Πελοποννησίων καὶ ἐν οὐ πολλαῖς ἡμέραις χειροῦται τά τε φρούρια καὶ τὰ ἄλλα πάντα, τὰ μὲν βίᾳ τοῖς ὅπλοις, τὰ δὲ καὶ πειθοῖ προσαγόμενος. (2) Μετὰ δὲ τοῦτο ἀφικνεῖται ἐς Ἄργος, πόλιν τῶν Ἐνετῶν, καὶ στρατοπεδεύεται πρὸ τοῦ ἄστεος, καὶ προσφέρει λόγους τοῖς ἐν αὐτῷ περὶ ἐνδόσεως ἑαυτῶν τε καὶ τοῦ ἄστεος. Οἱ δὲ Ἀργεῖοι ὁρῶντες τό τε πλῆθος τῆς στρατιᾶς περιστοιχίσαν τὴν πόλιν κύκλῳ, τό τε σφῶν τεῖχος ἀσθενὲς καὶ ἐπίμαχον ὅλον, ἐπικουρίαν τε μηδεμίαν ποθὲν ἢ ἔχοντες ἢ ὅλως ἕξειν ἐλπίζοντες, μὴ ἐκ προσβολῆς βίᾳ ληφθῶσι τοῖς ὅπλοις καὶ ἀπόλωνται, παραδιδόασιν ἀμαχὶ ἑαυτούς τε καὶ τὴν πόλιν Μαχουμούτει, τὰ πιστὰ λαβόντες. (3) Ὁ δὲ πάντας αὐτοὺς ἀποικίζει ἐς τὸ Βυζάντιον ξὺν γυναιξὶ καὶ τέκνοις καὶ τοῖς ὑπάρχουσι πᾶσι σῶς καὶ κακῶν ἀπαθεῖς, τὴν δὲ πόλιν κατέσκαψε. Διαθέμενος δὲ τὰ ἐν Πελοποννήσῳ πάντα καλῶς τε

I. Quod in sqq. narratur de Omare et Machumute in Isthmo utrinque Venetos simul adortis et acri prœlio in naves repellentibus, commentum scriptoris esse videtur, ut e ceteris testibus colligas. Veneti Corinthum obsidentes prœlio Octobris die vicesimo commisso insignem cladem passi erant simulque intempestivæ hiemis frigore acerbissimo male afficiebantur. Itaque soluta obsidione partim sub Isthmi murum, partim Naupliam se receperunt. Deinde (d. 4 Nov.) quum nuntius afferretur de instante Machumutis adventu, etiam Isthmum, relictis impedimentis, deseruerunt et in naves aufugerunt, adeo ut Machumutes murum defensoribus vacuum offendens absque prœlio in Peloponnesum invadere posset.

§ 1. Κιθαιρῶνος] De itinere Machumutis plura habes ap. Chalc. p. 560. || — § 2. σφᾶς] add. mgo. || — § 3. οἱ Ἐνετοὶ et deinde ἀνακωχεύσαντες et βάρει τῶν ὅπλων add. mgo.

II. § 1. Ἐς τὴν μεσόγειαν τοῦ Πελ.] mgo, Πελοπόννησον text. || — τά τε φρούρια καὶ τὰ ἄλλα πάντα] margo, τὰ φρούρια text. || — § 2. Ἀργεῖοι] add. margo. || — § 4. Περιβλέπτῳ] De hoc monasterio Deiparæ sacro v. Ducang. in Const. Christ. lib. 4 p. 94 sq.

καὶ ὡς ἦν αὐτῷ κατὰ νοῦν καὶ φρουροὺς τοῖς φρουρίοις πᾶσι ἐγκαταστήσας ἄνδρας τῶν ἀπὸ τῆς βασιλικῆς αὐλῆς τοὺς μαχιμωτάτους, τά τε ἄλλως νεωτερήσαντα διορθωσάμενός τε καὶ παραδοὺς Ἀμάρει πάντα, αὐτὸς λαβὼν μεθ' ἑαυτοῦ τούς τε ζωγρηθέντας ἄνδρας ἐν τῷ Ἰσθμῷ καὶ οὓς εὗρεν ἐν τοῖς φρουρίοις τῶν Ἐνετῶν, ἀλλὰ δὴ καὶ τοὺς νεωτερήσαντας Πελοποννησίων καὶ λείαν τινὰ οὐ πολλὴν, ἐπάνεισιν ἐς τὴν Κωνσταντίνου, χειμῶνος μεσοῦντος ἤδη. (4) Βασιλεὺς δὲ τοὺς μὲν Ἀργείους πάντας κατοικίζει ἐν τῇ μονῇ τῇ Περιβλέπτῳ καλουμένῃ, δοὺς αὐτοῖς καὶ οἰκίας καὶ ἀμπέλους καὶ ἀγροὺς, τοὺς δὲ ληφθέντας ἄνδρας οὓς ἔφην τῶν πολεμίων τούς τε ἐν τοῖς φρουρίοις ἁλόντας τούς τε νεωτερήσαντας Πελοποννησίων πάντας ἀπέκτεινεν.

III. Ἐν δὲ ταῖς αὐταῖς ἡμέραις καὶ Ἰαγούπης ὁ σατράπης Καλλιουπόλεως τὰ ἐν Ἑλλησπόντῳ φρούρια ἐξετέλεσε καὶ φρουρὰν ἐγκατέστησε τούτοις καὶ ὅπλα ἐσήνεγκε πλεῖστα καὶ μηχανὰς ἐπέστησε πετροβόλους καὶ ἀφετήρια, δι' ὧν ἔμελλε τὸν ἔσπλουν ἀεὶ καὶ ἔκπλουν κωλύειν τῶν ἀναπλεόντων ἢ καταπλεόντων σκαφῶν, ὅτε καὶ ὧν βούλοιτο, τά τε ἄλλα πάντα πεποίηκε κατὰ τὴν τοῦ βασιλέως ὑφήγησιν· (2) καὶ ἀπετελέσθη ἔργον μέγα καὶ πάντων ἐξῃρημένον καὶ λόγου πολλοῦ καὶ θαύματος ἄξιον, ὅπερ οὔτε τῶν παλαιῶν Ἑλλήνων τις οὔτε τῶν πάλαι μεγάλων βασιλέων καὶ στρατηγῶν, Ῥωμαίων τέ φημι καὶ Περσῶν, ἐπὶ νοῦν ἐβάλλετό ποτε, οὔτε ἐδυνήθη βαλὼν, διαστῆσαί τε τὴν ἄνω θάλασσαν τῆς κάτω θαλάσσης καὶ τελείως ἀπεῖρξαι καὶ ὅλως ἄβατόν τε καὶ ἄπλωτον καταστῆσαι τοῖς ἀναπλεῖν ἢ καταπλεῖν βουλομένοις πᾶσι, πλὴν οἷς βούλοιτο, ὥσπερ πύλας ἑκατέρωθεν τὰ φρούρια ἐπιθεὶς, καὶ μηχανὰς ἐπιστήσας πετροβόλους, δι' ὧν πόρρωθεν ἀνασοβοῦνται καὶ τριήρεις καὶ ὁλκάδες αἱ μέγισται καὶ ἄλλο πᾶν καὶ μικρὸν καὶ μέγα ἀκάτιον, εὐθὺς δὴ καὶ μόνον πλησιάσαντα καταγνύμενά τε καὶ ἀπολλύμενα τοῖς ἐκ τῶν μηχανῶν ἀφιεμένοις παμμεγέθεσι λίθοις, ὥσπερ τῇ Σκύλλῃ ξυμπλακέντα καὶ τῇ Χαρύβδει. (3) Ξέρξης μὲν γὰρ ἔζευξε πάλαι τὸν Ἑλλήσποντον τοῦτον, ἀλλὰ σχεδίᾳ καὶ γεφύρᾳ ξυλίνῃ, ἥτις οὔτε πρός τε τὰς τῶν ἀνέμων καὶ τῆς θαλάσσης ἐμβολὰς ἐπὶ πολὺ ἂν ἀντίσχειν ἐδυνήθη, καὶ μέντοι γε οὐδὲ ἀντέσχε, καὶ ἐχθρῶν ἐπελθοῦσα δύναμις ῥᾳδίως ἂν αὐτὴν βίᾳ διέλυσεν· ἐνταῦθα δὲ οὐδέν τι τοιοῦτον ὅλως οὔτε ἔστιν οὔτε γενέσθαι δύναται· οὔτε γὰρ θαλάσσης τε καὶ ἀνέμων ἐμβολαὶ καὶ ἐπίρροιαι οὔτε ἐχθρῶν καὶ πολεμίων ἐπελθοῦσα δύναμις δύνανται ταύτην παραβλάψαι τὸ ξύνολον ἢ καὶ ὁπωσοῦν βιάσασθαι· οὕτως ἀνάλωτός τε καὶ ἰσχυρὸς ὁ δεσμὸς οὗτος ἐγεγόνει καὶ ἡ σχεδία αὕτη.

IV. Τοῦ δ' αὐτοῦ χειμῶνος καὶ βασιλεὺς ὁ Παιόνων τε καὶ Δακῶν ἐστράτευσεν ἐπὶ τὴν Δαλματῶν καὶ Βόστρων χώραν, ἣν πρώην ἐχειρώσατο βασιλεὺς, ὅπως, εἰ δύναιτο, κατάσχῃ ταύτην καὶ τὰ ἐν αὐτῇ φρούρια ἐξέλῃ καὶ μάλιστα δὴ τὴν Ἰάϊτζαν, ἐξελάσας τοὺς βασιλέως φρουρούς· (2) δεινότατον γάρ οἱ πάντων ἐδόκει εἶναι καὶ τῆς αὐτοῦ χώρας τε καὶ ἃ χῆς βλάβη τε μεγίστη καὶ κατάλυσις προφανὴς ἡ τῆς χώρας ταύτης καὶ τῶν ἐν αὐτῇ φρουρίων παρὰ τοῦ βασιλέως κατάσχεσις, ἐν ἐπικαίρῳ τε τῆς αὐτοῦ κειμένης καὶ πάντοθεν ὁμόρου τῇ Παιόνων οὔσης καὶ πρὸς καταδρομὴν ταύτης ἐπιτηδείας. (3) Προσβαλὼν οὖν αὐτῇ μετὰ στρατιᾶς ἱκανῆς καὶ παρασκευῆς, ἀφιστᾷ μὲν εὐθὺς τὰ πλείω τῶν φρουρίων ἀπὸ τοῦ βασιλέως, τὰ μὲν πειθοῖ καὶ λόγοις προσαγόμενος, τὰ δὲ φόβῳ καὶ ἀπειλαῖς, ἔστιν ἃ δὲ καὶ τοῖς ὅπλοις καταστρεψάμενος. Ἐς δὲ τὴν Ἰάϊτζαν ἐλθὼν, αἱρεῖ καὶ ταύτην ἀπόνως, τῶν ἔνδον στασιασάντων τε καὶ σφαγὰς ἐργασαμένων ἀλλήλων καὶ προσχωρησάντων ἑκουσίως αὐτῷ. Διαγαγὼν δὲ οὐ πολλὰς ἡμέρας αὐτοῦ καὶ φυλακὰς καταστησάμενος ἰσχυρὰς ἐν αὐτῇ τε καὶ τοῖς ἄλλοις τῶν φρουρίων ἄνδρας καταφράκτους τε καὶ μαχίμους καὶ ὅπλα καὶ σῖτον ὅτι πλεῖστον ἐσαγαγὼν ἀνεχώρησεν ἐπ' οἴκου. Καὶ ὁ μὲν οὕτως.

V. Βασιλεὺς δὲ τοῦτο πυθόμενος καὶ βαρέως διατεθεὶς πρὸς τὴν ἀκοὴν, παρεσκευάζετο εὐθὺς ἐκστρατεῦσαι χειρὶ πολλῇ καὶ δυνάμει, οὐ μόνον κατὰ τῆς Βόστρων καὶ τῶν ἀποστάντων φρουρίων, ἀλλὰ δὴ καὶ ἐς αὐτὴν τὴν Παιόνων ἐσβάλλειν. Στρατιὰν τοίνυν ὅτι πλείστην ἀγείρας ἱππικήν τε καὶ πεζικὴν καὶ ὅπλα πολλὰ καὶ μηχανὰς πετροβόλους καὶ ἀφετήρια ξυναγαγὼν καὶ καλῶς παρασκευασάμενος πᾶσι τοῖς ὑπάρχουσι χειμῶνος, εὐθὺς ἦρος ἀρχομένου ἔξεισι κατ' αὐτῶν. (2) Ἄρας οὖν ἐκ τῆς Ἀδριανοῦ παντὶ τῷ στρατῷ

III. § 1. Τὰ... φρούρια] V. supra lib. 4, c. 14. || — ἀεὶ] add. man. 2. || — § 2. παμμεγέθεσι] add. man. 2. || — § 3. παραβλάψαι] παραβάψαι cod.

IV. De altera hac in Bosniam expeditione vid. Seadeddinus 2, p. 234-238, Mathiæ Corvini regis epistolæ ad Pium II pontificem et ad Fridericum imp. apud Catonam tom. 14, p. 652 sqq. et p. 723 sqq., Thworz in Chron. Hungar. part. 4. c. 65. || — § 1. ἐξέλῃ] margo, αἱρήσῃ text. || — φρουρούς] add. m. 2. || — § 2. Ἰάϊτζαν.. αἱρεῖ] Iaitzam Mathias Corvinus post trium fere mensium obsidionem cepit die 16 mens. Decembris an. 1463. In. Epist. ad Pium II (Jan. 27 an. 1464) p. 672 rex ita scripsit : *Hoc itaque modo et ordine redditis et acceptis castro et oppido Iaicza, mox multorum aliorum castrorum deditio secuta est. Jam circiter triginta manibus meis reddita sunt, et totidem vel paulo plura in obedientiam et deditionem accepi; habebamque spem indubiam de ceteris, quod ad hoc usque tempus vel nulla vel pauca apud manus hostium contineri potuissent, si tempestas hiberna, majoribus intensa frigoribus, ampliores mihi labores non interdixisset.* Citat hæc Zinkeisen. l. l. p. 160. || — § 3. καὶ ὁ μὲν οὕτως] add. margo.

V. § 1. Διατεθεὶς πρὸς τὴν ἀκοὴν] margo, ἐνεγκὼν τὸ πρᾶγμα text. || — στρατιὰν ὅτι πλείστην] triginta millia ho-

ἱππικῷ τε καὶ πεζικῷ, ξυνεπαγόμενος ἅμα οἷ καὶ τὰς μηχανὰς καὶ χαλκὸν καὶ σίδηρον ὅτι πολὺν, γίνεται κατὰ τὴν χώραν τῶν Βόστρων. Καὶ γενόμενος ἐν αὐτῇ πρῶτα μὲν ἔγνω δεῖν ἐς Ἰάϊτζαν ἐλθεῖν καὶ ἐπιχειρῆσαι ταύτῃ, εἴ γε δύναιτο παραστήσασθαι ἢ ὁμολογίᾳ ἢ τοῖς ὅπλοις βίᾳ, ἔπειτα καὶ πρὸς τὰ ἄλλα χωρῆσαι. (3) Προσελάσας οὖν αὐτῇ καὶ στρατόπεδον βαλλόμενος πρὸ τοῦ ἄστεος, λόγους προσφέρει πρῶτον τοῖς ἐν αὐτῇ περί (τε) ἐνδόσεως ἑαυτῶν τε καὶ τοῦ ἄστεος τὰ πιστὰ λαβοῦσιν· ὡς δ' οὐκ ἔπειθε, πρῶτα μὲν τὰ ἔξω τῆς χώρας ἐδῄωσε καὶ ἐνέπρησε πάντα, ἔπειτα χάρακα πρὸ τοῦ ἄστεος βαλλόμενος καὶ κύκλῳ περιλαβὼν τῷ στρατῷ καὶ μηχανὰς ἐπιστήσας ἐπολιόρκει, καὶ ἡμέρας μέν τινας οὐ πολλὰς κατέσειε τὸ τεῖχος καὶ κατερρίπτει ταῖς μηχαναῖς· ὡς δ' ἱκανὸν ἐδόκει αὐτῷ τὸ καταρριφθὲν, παρεσκευάζετο προσβάλλειν τῷ τείχει πάσῃ χειρὶ καὶ δυνάμει. (4) Καλῶς οὖν ἐκτάξας τε καὶ ὁπλίσας τὴν στρατιὰν προσέβαλλε πανταχόθεν, ἐπὶ δὲ τὸ κατερριμμένον τοῦ τείχους ἔταξεν ἑαυτὸν ξὺν τῇ ἰδίᾳ αὐλῇ καὶ τῷ ἀκραιφνεῖ τοῦ στρατοῦ, ὁπλίταις τέ φημι καὶ τοξόταις καὶ σφενδονήταις καὶ τουφακοφόροις τὰ μάλιστα. Εὐθὺς οὖν λαβόντες οἱ στρατιῶται τὸ ξύνθημα, μέγα καὶ φοβερὸν ἀλαλάξαντες ὁρμῇ πολλῇ καὶ σπουδῇ ἐχώρουν δρόμῳ ἐπὶ τὸ κατερριμμένον τοῦ τείχους, καὶ ἐπιβαίνειν ἐπειρῶντο βίᾳ. (5) Οἱ δὲ δὴ Παίονες ἀντεπίασι καὶ αὐτοὶ μάλα θρασέως τε καὶ εὐρώστως μετὰ κραυγῆς ἀσήμου καὶ βοῆς· καὶ ξυνίσταται δὴ μάχη καρτερὰ ξυσταδὸν καὶ μέγας ἀγὼν ἐνταῦθα καὶ ὠθισμὸς πολὺς καὶ βοὴ ξυμμιγὴς παρ' ἀμφοτέρων καὶ βλασφημία καὶ φόνος οὐκ ὀλίγος, καὶ ἀμφοτέρων ἀνδρῶν ἀγαθῶν γινομένων, τῶν μὲν βιαζομένων ἐσελθεῖν καὶ λαβεῖν τὸ ἄστυ, τῶν δὲ ἀπεώσασθαι τούτους καὶ φυλάξαι τὰ ὄντα, παῖδάς τέ φημι καὶ γυναῖκας καὶ τὰ τιμιώτατα. (6) Καὶ ποτὲ μὲν βιαζόμενοι οἱ ὁπλῖται τοὺς Παίονας ἐπεκράτουν καὶ ἐπέβαινον τοῦ τείχους, ποτὲ δὲ πάλιν ὠθούμενοι ὑπὸ τῶν Παιόνων ἐξηλαύνοντο βίᾳ, καὶ ἀπέθνησκον αὐτοῦ οὐκ ὀλίγοι μαχόμενοί τε καὶ πίπτοντες. Καὶ τοῦτο ἐφ' ἱκανὸν χρόνον ἐγίνετο, μαχομένων ἀμφοτέρων γενναίως· ἔπειτα ἐπεκράτουν πολλῷ οἱ Παίονες καὶ οἱ ὁπλῖται πιεζόμενοι σφόδρα ἐκακοπάθουν, πίπτοντες αὐτοῦ πολλοὶ γενναῖοι καὶ ἀγαθοὶ ἄνδρες. (7) Βασιλεὺς δὲ ὁρῶν οὕτω κακοπαθοῦντας καὶ ἀπολλυμένους τοὺς ἄνδρας βαρέως ἔφερε σφόδρα, καὶ τότε μὲν ἀναχώρησιν σημήνας ἐκέλευσεν ἔξω γενέσθαι βελῶν· καὶ ἀνεχώρουν· μετὰ δὲ ταῦτα πάλιν, ἐν οὐ πολλαῖς ἡμέραις, διαναπαύσας τε τὴν στρατιὰν καὶ ὁπλίσας καὶ ἐκτάξας καλῶς, προσέβαλλεν ἰσχυρῶς τῷ πολίσματι, καὶ ἡγεῖτο πρῶτος αὐτὸς, ἆθλά τε προκηρύξας, τὰ δὲ καὶ προθεὶς πλεῖστα καὶ μέγιστα καὶ τιμὰς καὶ χάριτας οὐκ ὀλίγας τοῖς πρώτοις ἐπιβᾶσι τοῦ τείχους, προσέτι δὲ καὶ διαρπαγὴν καὶ σκυλμὸν προσημήνας πάντων τῶν ἐν τῷ ἄστει. (8) Καὶ οἱ στρατιῶται μέγα καὶ φοβερὸν ἀλαλάξαντες εὐθὺς οἷά τινες πτηνοὶ ὁρμῇ πολλῇ καὶ δρόμῳ ἀτάκτως τε καὶ ξὺν οὐδενὶ κόσμῳ καὶ λογισμῷ χωροῦσιν ἐπὶ τὸ τεῖχος καὶ ἐπιβαίνειν ἐπειρῶντο αὐτοῦ, οἱ μὲν κλίμακας ἐπιτιθέντες, οἱ δὲ σχοίνους ἐξαρτῶντες, οἱ δὲ πασσάλους ἐγκαταπηγνύντες τῷ τείχει, οἱ δὲ ἄλλῳ τῳ τρόπῳ δυνατῷ βιαζόμενοι ἐσελθεῖν, ἅτε γὰρ τοῦ βασιλέως παρόντος καὶ θεωμένου τὰ δρώμενα καὶ τὴν ἑκάστου καὶ ὁρμὴν καὶ σπουδὴν καὶ ῥώμην καὶ ἀνδρίαν καὶ τάξιν, καὶ ἆθλα μέγιστα προσδοκῶντες ἐκ τούτου λήψεσθαι οὐ μικρὰ ἐφρόνουν, ἀλλ' ἕκαστος πρῶτος αὐτός τε εἶναι ἐβούλετο καὶ ὁ τοῦ τείχους ἐπιβὰς καὶ ὁ Παίονα κτείνας καὶ ὁ τὴν σημαίαν τῷ τείχει καὶ τῇ ἐπάλξει προσαγαγών. (9) Οἱ δὲ δὴ Παίονες εὐρώστως μάλα καὶ μετὰ θράσους ὅτι πολλοῦ καὶ ὁρμῆς καὶ τάχους ξὺν βοῇ ἀσήμῳ ἀπήντων τε καὶ ἐδέχοντο τούτους γενναίως καὶ ἰσχυρῶς· καὶ ξυνίσταται μάχη τις ἐνταῦθα καρτερὰ καὶ φρικώδης, καὶ οἵαν οὐδεὶς οὔτ' εἶδεν οὔτ' ἤκουσεν ἐπὶ τειχομαχίᾳ γεγενημένην ποτὲ, καὶ μάλιστα δὴ περὶ τὸ κατερριμμένον τοῦ τείχους· μεθυσθέντες γὰρ τῷ πολέμῳ καὶ ὅλους δι' ὅλων ἑαυτοὺς ἐκδόντες ὀργῇ καὶ θυμῷ, καὶ σχεδὸν τὴν φύσιν ἠγνοηκότες, κατέκαινον ἀλλήλους καὶ κατέκοπτον ἀνοικτὶ, βάλλοντες, βαλλόμενοι, τιτρώσκοντες, τιτρωσκόμενοι, φονεύοντες, φονευόμενοι, βοῶντες, ὑβρίζοντες, βλασφημοῦντες, μηδενὸς ἐπαισθανόμενοι τῶν παρόντων ὅλως ἢ τῶν δρωμένων, ὥσπερ οἱ μαινόμενοι. (10) Ἔπιπτον οὖν πολλοὶ καὶ ἀγαθοὶ ἄνδρες μαχόμενοι τῶν τε ὁπλιτῶν καὶ τῶν ἀπὸ τῆς βασιλικῆς αὐλῆς μάλιστα, ἀφειδοῦντές τε ἑαυτῶν καὶ αἰσχυνόμενοι τῷ πρὸ ὀφθαλμῶν ὁρᾶν τὸν βασιλέα· ξὺν αὐτοῖς γὰρ ἦν ἀγωνιζόμενος. Οἱ δὲ Παίονες ἐπεκράτουν πολλῷ πανταχοῦ, ἄνωθέν τε μαχόμενοι καὶ ἐξ ὑπερδεξίων βάλλοντες καὶ μάλα εὐρώστως ἀγωνιζόμενοι· ἦσαν γὰρ ἅπαντες ἀγαθοὶ καὶ μάχιμοι ἄνδρες, ἀριστίνδην ἐξειλεγμένοι. (11) Βασιλεὺς δὲ ὁρῶν τοὺς ἄνδρας φθειρομένους παρὰ πολὺ, τό τε ἔργον οὐδαμοῦ προχωροῦν ἔτι, ἀλλ' ἐς ἀδύνατα σχεδὸν καθιστάμενον τὸ πολέμῳ καὶ ὅπλοις ἐκ προσβολῆς βίᾳ τὸ ἄστυ ἑλεῖν, λιμῷ δὲ μόνον καὶ πολιορκίᾳ μακρᾷ, ἀναχώρησιν ἐσήμηνε τῇ στρατιᾷ· καὶ ἐγένοντο ἔξω βελῶν. (12) Ἀναχωρήσας οὖν ἐς τὸ στρατόπεδον ὁ βασιλεὺς παρεσκευάζετο ἐς μὲν τὸ ἄστυ στρατιὰν ἱκανὴν ἀπολιπεῖν πολιορκοῦσάν τε καὶ φυλάσσουσαν τοῦ μή τι τῶν ἔνδον ἐξαγαγεῖν ἢ τῶν ἔξωθεν ἐσκομί-

---

minum sec. Mathiam ap. Caton. p. 723, ubi memorabilis illa obsidio fuse describitur. || — § 3. τοῖς ἐν αὐτῇ] add. margo. || — § 6. ἀμφοτέρων] add. margo. Dein αὐτοῦ manu 2 inter versus additum. || — § 7. σημάνας et mox προσημάνας cod. || — § 8. ἐπειρῶντο αὐτοῦ] ἐπ. τάτου cod. Deinde πασάλους codex. || — ἐκ τούτου] add. margo. || — § 9. σχεδὸν] add. m. 2.

σασθαι, αὐτὸς δὲ ξὺν τῇ λοιπῇ στρατιᾷ ἔς τε τὴν ἄλλην χώραν ἐσβαλεῖν ἐπὶ τὰ ἀποστάντα τῶν φρουρίων, ἀλλὰ δὴ καὶ ἐς τὴν Παιόνων.

VI. Ἐν τούτῳ δὲ ἧκεν ἀγγελία φράζουσα τὸν βασιλέα Παιόνων στρατιὰν ὅτι πλείστην ἀγείραντα ὅσον οὐκ ἤδη ἐπιέναι αὐτῷ. Οὗτος γὰρ εὐθὺς ὡς ἔγνω τὴν ἐς τὴν Βόστρων ἐσβολὴν τοῦ βασιλέως καὶ τὴν τοῦ ἄστεος Ἰαΐτζης πολιορκίαν, στρατιὰν μεγάλην ἀθροίσας καὶ πᾶσιν οἷς εἶχεν ἱκανῶς παρασκευασάμενος ἐξῄει ἐναντία τῷ βασιλεῖ, νομίσας οὕτως ἢ λύσειν τὴν πολιορκίαν τοῦ ἄστεος, τρέψαντα ἐς ἑαυτὸν τόν τε βασιλέα καὶ τὴν στρατιάν, ἢ δίχα διαιρεθείσης τῆς στρατιᾶς ἔς τε πόλεμον καὶ πολιορκίαν, ἀσθενεστέρῳ χρήσεσθαι προσπολεμῆσαι τῷ βασιλεῖ· ἀλλ' ἐσφάλη τῆς γνώμης. (2) Βασιλεὺς γὰρ τοῦτο μαθών, αὐτὸς μὲν ἐς Ἰαΐτζαν μένειν ἐγνώκει δεῖν πολιορκῶν καὶ μηδαμοῦ ταύτης ἀπαναστῆναι, Μαχουμούτεα δέ, δοὺς αὐτῷ στρατιὰν ἱκανὴν ἱππικήν τε καὶ πεζικὴν καὶ μέρος οὐκ ὀλίγον τῆς ἰδίας αὐλῆς, ἐξέπεμψεν ἐναντία τῷ βασιλεῖ Παιόνων· οὐ γὰρ αὐτός γε ἠξίου διὰ μάχης τούτῳ ἰέναι. (3) Μαχουμούτης δὲ τὴν στρατιὰν ἀναλαβὼν ἤλαυνε κατὰ σπουδήν· καὶ γενόμενος ἔγγιστά που τῶν πολεμίων στρατοπεδεύεται αὐτοῦ. Ἦν δὲ τὸ μεταξὺ τοῖν στρατοπέδοιν στάδιά που μάλιστα πέντε καὶ εἴκοσιν, ὥστε ἀλλήλους ὁρᾶν· διεῖργε δὲ αὐτοὺς μέσος ἀπ' ἀλλήλων Ἐρυγὼν ποταμός, ὃς τῇ ἐπιχωρίῳ φωνῇ νῦν Βρῦνος καλεῖται· ἐνταῦθα γὰρ ἦν ἐστρατοπεδευκὼς πέραν τοῦ ποταμοῦ ὁ τῶν Παιόνων βασιλεύς. (4) Μαχουμούτης μὲν οὖν ἐβούλετο διαβὰς τὸν ποταμὸν ξυμμίξαι τοῖς Παίοσι, βασιλεὺς δὲ πέμπων διεκώλυεν αὐτόν, μηδεμίαν ἀνάγκην εἶναι λέγων, τό γε νῦν ἔχον, τῆς τοῦ ποταμοῦ διαβάσεως, ἀλλ' ἀρκεῖν μένοντα αὐτόθι ἐφεδρεύειν τοῖς τῶν πολεμίων πράγμασι. Μαχουμούτης μὲν οὖν ἔμενεν ἡσυχάζων καὶ τὰ τῶν πολεμίων ἀποσκοπῶν. (5) Ὁ δὲ τῶν Παιόνων ἡγεμών, ὡς ἔγνω τόν τε βασιλέα πολιορκοῦντα τὸ ἄστυ καὶ μηδαμοῦ τούτου ἀπανιστάμενον, καὶ τὸν Μαχουμούτεα μετὰ στρατιᾶς ὅτι πλείστης ἐφεδρεύοντα αὐτῷ, ἀπογνοὺς ὅλως τοῦ φανερῶς δύνασθαι βοηθῆσαι τῷ ἄστει, πέμψας ἄγγελον κρύφα διελέχθη τοῖς ἐν αὐτῷ ἀντέχειν τε καὶ μηδαμοῦ ἐνδιδόναι, ὡς ταχείας τε οὔσης τῆς τοῦ βασιλέως ἀναχωρήσεως πάλιν, καὶ αὐτὸς δὲ οὐ περιιδεῖν, ἀλλὰ καιροῦ καλοῦντος καὶ χρείας ἀναγκαίας κατεπειγούσης, βοηθήσειν τὰ δυνατά, ἐγγὺς αὐτοῦ που τυγχάνων. Κἀκείνοις μὲν ταῦτα. Αὐτὸς δὲ τὸ στρατόπεδον ἐμπρήσας νυκτὸς ἀπάρας ᾤχετο ξὺν τῇ στρατιᾷ. (6) Μαχουμούτης δ' ὡς ᾔσθετο, κατὰ τάχος διαβὰς τὸν ποταμὸν ἤλαυνε κατὰ σπουδὴν διώκων, καὶ καταλαβὼν αὐτούς, ξυμβάλλει τοῖς ὄπισθεν, μέρος οὖσι τῆς στρατιᾶς οὐκ ὀλίγον ἐς φυλακὴν τῶν σκευοφόρων, καὶ τρεψάμενος ἐδίωκε μέχρι τῆς ἄλλης στρατιᾶς· οἱ δ' ἐπεσπεσόντες ἄφνω, διετάραξάν τε αὐτὴν καὶ τὸν βασιλέα, καὶ φυγὴ γίνεται καρτερά, πάντων ὁμοῦ φευγόντων ἀτάκτως τε καὶ ξὺν οὐδενὶ κόσμῳ καὶ λογισμῷ. (7) Μαχουμούτης δὲ εἵπετο κτείνων τε καὶ φονεύων σφᾶς ἀνοικτί, διώξας δὲ μέχρι πολλοῦ καὶ φόνον πολὺν ἐργασάμενος καὶ πολλοὺς ζωγρήσας ἀνεχώρησε καὶ ἧκεν ἐς βασιλέα, λαβὼν πᾶσαν αὐτῶν τὴν ἀποσκευὴν καὶ τὰς ἁμάξας καὶ ὅπλα καὶ ἵππους καὶ τοὺς σκευοφόρους αὐτούς. Ἀπέθανον δὲ τῶν πολεμίων πλεῖστοι, ἐλήφθησαν δὲ καὶ ζῶντες ὀλίγῳ ἐλάσσους διακοσίων, οὓς ὕστερον ἀγαγὼν ἐν Βυζαντίῳ πάντας ἀπέκτεινεν ὁ βασιλεύς. (8) Αὐτὸς δὲ ἡμέρας οὐ πολλὰς ἐπιμείνας τῇ πολιορκίᾳ καὶ πολυτρόπως πειράσας τοῦ ἄστεος, ὡς οὐδὲν ἤνυεν, ἀπογνοὺς τὴν αἵρεσιν τούτου, ἀναλαβὼν τὴν στρατιὰν τρέπεται πρὸς τὰ λοιπὰ τῶν φρουρίων, καὶ παραστησάμενος ταῦτα ἐν οὐ πολλαῖς ἡμέραις, τοῖς μέν, ὅσα γε ἐδόκει αὐτῷ, φρουρὰς ἐγκαθίστησιν ἰσχυράς, ἔστιν ἃ δὲ καὶ κατέσκαψε· τοὺς δὲ ἄνδρας ἀπέκτεινε, παῖδας δὲ καὶ γυναῖκας ἠνδραποδίσατο. (9) Καταδραμὼν δὲ καὶ τῆς ἄλλης χώρας τὸ πλεῖστον, ἀλλὰ δὴ καὶ τῆς Παιόνων οὐκ ὀλίγον, καὶ λείαν ἐλάσας ὅτι πολλὴν αὐτὸς καὶ τῇ στρατιᾷ διαδοὺς καὶ σατράπην τῇ χώρᾳ καταλιπών, θέρους λήγοντος ἤδη ἐπάνεισιν ἐς τὴν Κωνσταντίνου, καὶ διέλυσε τὴν στρατιάν. Καὶ ὁ μὲν βασιλεὺς οὕτως.

VI. § 1. Verba οὗτος γὰρ εὐθὺς etc. usque ad ἐσφάλη τῆς γνώμης adduntur in margine. || — χρήσασθαι] χρήσαιτο cod. || — § 2. γὰρ post voc. βασιλεὺς add. man. 2. || — ἐς Ἰαΐτζαν] Deb ἐπ' vel saltem ἐν (*ad*). Ceterum prætor verum Critobulus narrat Mechemetem, dimissa contra Mathiam exercitus parte, Iaitzæ obsidionem continuasse et deinde, quum nihil proficeret, reliqua Bosniæ castella in potestatem redegisse ac tum demum Constantinopolim esse reversum. Ex melioris notæ scriptoribus constat Mechemetem, nuntiato Mathiæ adventu, obsidionem statim solvisse ac relictis bombardis ceterisque impedimentis e Bosnia decessisse, Hungaros vero *Serbernik* castello potitos esse et *Zwornik* urbem Drinæ fluvio appositam cinxisse obsidione; hanc autem Turcorum præsidio tam egregie esse defensam, ut per duos menses obsidio incassum traheretur, et Hungari commeatus inopia et appropinquantis hiemis tempestate summopere laborare cœpissent. Interea Machumutem quadraginta hominum millia ex Europæ provinciis collegisse et mense Novembri obsessis adduxisse auxilio. Quibus accedentibus territos Hungaros versus Savum fugisse in eaque fuga ab insequente hoste gravissima strage affectos esse. Vid. Catona l. l. p. 728-733. Cf. Seadeddinus p. 235, qui Mechemetem dicit voluisse quidem ab Iaitza urbe contra *Zwornik* exercitum ducere, sed propter viæ difficultates a consilio desistentem Sophiam abiisse ibique hiemasse, Alexandrum autem, Turcici præsidii in *Zwornik* urbe præfectum, strenue obsidionem tolerasse usque ad adventum Machumutis. || — § 3. Ἐρυγὼν ... νῦν Βρῦνος] Voluit Ἐριγὼν ... νῦν Δρῖνος (hod. *Drina*), in quibus Erigonem veteris geographiæ fluvium (hod. *Kara*-sou) cum Drino composuit inepte. || — § 5 τῷ ἄστει] add. margo. || — § 6. ξυμβάλλει] m. 2 προσβάλλει m. 1. || — § 9. λήγοντος] margo, μεσοῦντος text.

VII. Ἐνετοὶ δὲ τοῦ αὐτοῦ θέρους ἐστράτευσαν ἐπὶ Λέσβον καὶ Μιτυλήνην τριήρεσι ἑβδομήκοντα καὶ ὁλκάσι μεγάλαις καὶ τρισχιλίοις ὁπλίταις, οὓς εἶχον ἐπὶ τῶν καταστρωμάτων, ἔφερον δὲ καὶ ὅπλα πολλὰ ἐν ταῖς ὁλκάσι καὶ μηχανὰς πετροβόλους καὶ ἀφετήρια καὶ κλίμακας καὶ πᾶσαν ἄλλην κατασκευὴν τῶν ἐς τειχομαχίαν ἐπιτηδείαν. (2) Καὶ ἀφικόμενοι ἐς Λέσβον κατῆραν ἐς τὸν λιμένα Μιτυλήνης, καὶ ἀποβάντες στρατόπεδον τιθέασι πρὸ τῆς πόλεως, καὶ προσφέρουσι λόγους τοῖς ἐν τῇ πόλει περὶ ἐνδόσεως ἑαυτῶν τε καὶ τῆς πόλεως. Οἱ δὲ οὐκ ἐδέξαντο· ἦσαν γὰρ ἐν αὐτῇ φρουροὶ ἄνδρες λογάδες κατάφρακτοι τετρακόσιοι τῶν ἀπὸ τῆς βασιλικῆς αὐλῆς. (3) Οἱ δὲ πρῶτον μὲν ἔκειραν μέρος τι τῆς γῆς· οὐ γὰρ ἐβούλοντο πᾶσαν δῃῶσαι, προσδοκῶντες αὐτὴν λήψεσθαι· μετὰ δὲ τοῦτο περισχόντες ἐν κύκλῳ πᾶσαν τὴν πόλιν τῷ στρατῷ κατὰ γῆν τε καὶ κατὰ θάλασσαν ταῖς ναυσὶ, καὶ μηχανὰς ἐπιστήσαντες ἐπολιόρκουν. (4) Καὶ τοῦ μὲν τείχους αὐτοὶ μὲν κατέσειον ἡμέρας τι μέρος μικρὸν ταῖς μηχαναῖς καὶ κατερρίπτουν· οἱ δὲ ἐν τῇ πόλει πάλιν ἀνώρθουν αὐτὸ νυκτὸς, λίθους τε καὶ ξύλα καὶ χοῦν ἐπιφοροῦντες, προσέτι δὲ καὶ κεραίας μεγάλας ἐπάγοντες περιεσταύρουν τὸ τεῖχος, τὰς δὲ καὶ ἐξαρτῶντες ἁλύσεσιν, ἐξεκαύλιζον τὴν φορὰν τῶν λίθων, καὶ οὐδὲν τοσοῦτον ἐβλάπτοντο. (5) Ἐγίνοντο δὲ καὶ καθ' ἡμέραν ἀκροβολισμοί τινες καὶ ἐπεκδρομαὶ ἐπεξιόντων τῶν βασιλείων τοῖς Ἐνετοῖς· οὐ μὴν καὶ ἀπέθνησκόν τινες, ἀλλ' ἐτιτρώσκοντο μόνον πολλοί. Ὑπώρυττον δὲ καὶ τὸ τεῖχος ἔστιν οὗ, ὑπονόμους πρὸς τὴν πόλιν ποιοῦντες, καὶ κλίμακας ἐπήγνυσαν, καὶ μηχανὰς παντοίας ἐξήρτυον. (6) Προσεχώρησαν δὲ αὐτοῖς καὶ τῶν ἄλλων πολισμάτων δύο, καὶ ἦσαν ἐν ἐλπίσιν ἤδη μεγίσταις καὶ Μιτυλήνην ἑλεῖν καὶ τὴν ἄλλην πᾶσαν Λέσβον κατασχεῖν καὶ χειρώσασθαι. Καὶ οἱ μὲν ἐν τούτοις ἦσαν. (7) Βασιλεὺς δὲ μαθὼν τὴν ἐς Μιτυλήνην ἔφοδον τοῦ στόλου τῶν Ἐνετῶν καὶ τὴν πολιορκίαν αὐτῆς, καὶ ὡς κινδυνεύει παρ' αὐτῶν ἁλῶναι, εἰ μὴ τάχιστα τύχοι βοηθείας, εὐθὺς θᾶττον ἢ λόγος πληρώσας τριήρεις δέκα καὶ ἑκατὸν, καὶ ὁπλίτας ἐπιβιβάσας ὅτι πολλοὺς καὶ ὅπλα παντοῖα καὶ ἀφετήρια, καὶ πᾶσιν οἷς εἶχεν ἐξαρτύσας τε καὶ ὁπλίσας καλῶς, παραδίδωσι Μαχουμούτει τῷ πασίᾳ τὸν στόλον, κελεύσας πλεῖν τὴν ταχίστην καὶ ξυμβαλεῖν ταῖς τῶν πολεμίων ναυσὶν, ὅπου ἂν τύχωσιν οὖσαι. (8) Ὁ δὲ ἀναχθεὶς ἀπὸ τοῦ Βυζαντίου ἔπλεε τὸν Ἑλλήσποντον καὶ καταίρει δευτεραῖος ἐς Καλλιούπολιν, κἀκεῖ μαθὼν τέσσαρας τριήρεις τῶν πολεμίων προσκόπους ἐφορμούσας τῷ λιμένι Τενέδου, αἳ δὴ καὶ μέχρι τοῦ στόματος τοῦ πορθμοῦ διαπλέουσαι ἐς κατασκοπὴν πάλιν ὑπέστρεφον, μηδὲν μελλήσας εὐθὺς νυκτὸς ἀναχθεὶς ἀπὸ Καλλιουπόλεως παντὶ τῷ στόλῳ, ἵνα μὴ ἔκπυστος γένηται θεαθεὶς, καὶ πνεύμασιν αἰσίοις χρησάμενος, ἅμα ἡμέρᾳ κατήχθη ἐς Τένεδον. (9) Καὶ καταλαμβάνει δὴ τὰς τριήρεις ἐν τῷ λιμένι ὁρμούσας, καὶ τὰς μὲν δύο αὐτάνδρους λαμβάνει πρὸς τῷ στόματι τοῦ λιμένος· οὐ γὰρ ἔφθησαν προεκπεπλευκυῖαι· αἱ δὲ ἕτεραι δύο προαναχθεῖσαι μόγις διέφυγον· ἦσαν δὲ τῶν ἄριστα πλεουσῶν, καὶ σπεύσασαι τάχιστα ἀφικνοῦνται ἐς Μιτυλήνην καὶ ἀπαγγέλλουσι τοῖς στρατηγοῖς τὸν ἐπίπλουν τοῦ στόλου τοῦ βασιλέως καὶ τὴν ἅλωσιν τῶν δύο νεῶν. (10) Οἱ δ' εὐθὺς ἀκούσαντες ὥσπερ σκηπτῷ τινι βληθέντες τῇ ἀγγελίᾳ, πάντα καταλιπόντες αὐτοῦ καὶ μηχανὰς καὶ ὅπλα καὶ πᾶσαν ἄλλην ἀποσκευὴν, ἐσβάντες ἐς τὰς τριήρεις ἀτάκτως τε καὶ ξὺν οὐδενὶ κόσμῳ καὶ λογισμῷ, λαβόντες τε μεθ' ἑαυτῶν καὶ τοὺς ἄνδρας καὶ γυναῖκας καὶ παῖδας τῶν προσχωρησάντων φρουρίων αὐτοῖς, ἀνήχθησαν πρὸ τοῦ τὸν στόλον τοῦ βασιλέως καταρῆραι ἐς Μιτυλήνην, διάστημα ὡσεὶ ὡρῶν ὀκτὼ, ὡς λέγεται· (11) Μαχουμούτης δὲ ἀφικόμενος ἐς Μιτυλήνην καὶ μαθὼν προαναχθέντας πρὸ ὀλίγου αὐτοὺς, ἐδίωκε κατὰ σπουδὴν, καὶ γενόμενος ἐπὶ μετεώρου πελάγιος, μόλις καθορᾷ αὐτὰς προσισχούσας τῇ Λήμνῳ. Ἀπογνοὺς οὖν τὴν τούτων δίωξιν ἐπάνεισιν ἐς Μιτυλήνην, καὶ διαγαγὼν ἐνταῦθα ἡμέρας τέσσαρας καὶ καταστησάμενος τὰ αὐτοῦ πάντα καλῶς, καὶ φρουρὰν ἱκανὴν καὶ ὅπλα καὶ σῖτον πολὺν καὶ ἄλλα ἅττα τὰ πρὸς χρείαν τῇ πόλει καταλιπὼν, ἐπάνεισιν ἐς τὸ Βυζάντιον, φθινοπώρου φθίνοντος ἤδη, καὶ διέλυσε τὸν στόλον. Καὶ δεύτερον δὴ καὶ ἑβδομηκοστὸν ἔτος πρὸς τοῖς ἐνναχοσίοις τε καὶ ἑξακισχιλίοις τοῖς ὅλοις ἠνύετο, τέταρτον δὲ καὶ δέκατον τῆς ἀρχῆς τῷ βασιλεῖ.

VIII. Ὤφθη δὲ κατὰ τὰς αὐτὰς ἡμέρας καὶ τέρας τι ἐξαίσιον. Ὁ γὰρ ἥλιος, μεσημβρίας οὔσης στα-

VII. Res a Venetis an. 6972 gestas hisce comprehendit Phrantzes p. 415, 6 : Τῷ δὲ ,ϛϡοβ' ἔτει παρέλαβον τὴν Μονεμβασίαν οἱ Ἐνετοὶ, οὐ τοσοῦτο θελήσει καὶ χάριτι τοῦ κυριεύοντος αὐτὴν ὅσον ἀνωφελείᾳ τοῦ ἡγεμονεύοντος ἐν αὐτῇ ἄρχοντος· ὥσπερ δὴ ὁμοίως ἀνωφελείᾳ καὶ ἀτυχίᾳ τοῦ ἡγεμόνος τῆς Λήμνου πολίχνιον τὸ λεγόμενον Παλαιόκαστρον ἐκλάπη μᾶλλον παρὰ τῶν ἐν αὐτῷ τυχόντων ξένων καὶ ἐδόθη τῇ αὐθεντίᾳ τῶν Ἐνετῶν, καὶ ἐξ αὐτοῦ (δῆλον τοῦ πολιχνίου) ἅπασαν τὴν νῆσον ἐκληρώσαντο (Cf. Chalc.), ἀλλὰ καὶ εἰς τὴν Λέσβον ἀπελθόντος αὐτοῦ δὴ τοῦ Λαυρεδανοῦ καὶ πολεμήσαντος αὐτὴν, οὐκ ἔπραξέ τι καὶ ἀνεχώρησεν ἄπρακτος. Uberiora vid. in *Lettera d'un segretario*, etc. p. 223. Mar. Sanuto p. 1179, Seadeddin. p. 223. Cf. Hammer p. 83, Zinkeisen p. 305. || — § 1. τριήρεσι ο'] Sec. epistolam laudatam Orsatus Justinianus, Venetorum navarchus, cum 32 galeris Lesbum venit mens. Aprilis an. 1464, ibique Mitylenen per sex septimanas obsedit, tandem vero, adveniente Machumute cum classe navium 150 (quarum 46 triremes erant), in Eubœam recessit. || — μεγάλαις et mox v. ἄλλην add. margo. || — § 3. λήψεσθαι] margo, χειρώσασθαι text. || — § 4. ἐξεκαύλιζον] ἢ ἀνέκλων mgo. || — § 5. τῶν βασιλείων] margo, τῶν ἐντός text. || — § 6. μεγίσταις] add. margo. || — § 7. ἐς κατασκοπὴν] margo, καὶ κατασκοποῦσαν text. || — ἵνα μὴ ἔκπυστος etc. usque ad χρησάμενος] add. mgo. || — § 10. τῇ ἀγγελίᾳ] add. margo. || — § 11 δεύτερον] Literæ δεύτερ in rasura scriptæ.

VIII. § 1. ὤφθη] margo, ἐφάνη text. || — μεταβαλὼν] add. margo.

θερᾶς, λάμπων τε καθαρὸς καὶ νέφους ἐκτὸς, αἴφνης μεταβαλὼν ἐσκοτίσθη καὶ ἠμαυρώθη, καὶ τὸ εἶδος αὐτοῦ ἤμειψεν ὡς ἐς χαλκοῦ μέλανος χροιὰν, καὶ γέγονε ζοφώδης ὅλος καὶ μέλας, οὐ κατὰ τὸ εἰωθὸς ὥσπερ ἐν ταῖς ἐκλείψεσιν· οὐ γὰρ ἦν ἔκλειψις τότε· ἀλλ' ἄλλον τινὰ τρόπον καινότατον, ὥσπερ ὁμίχλης τινὸς ἢ νέφους ἀχλυώδους καὶ σκοτεινοῦ ὑποτρέχοντος αὐτὸν καὶ ἐπηλυγάζοντος, καὶ διαγέγονεν ἐν τρισὶ ταῖς ὅλαις ἡμέραις καὶ νυξὶ ἴσαις τοιοῦτος καὶ ὢν καὶ πᾶσι φαινόμενος. Τοῦτο τέρας τι μέγα καὶ θεοσημεία τις ἄντικρυς ἔδοξε πᾶσιν ἐς τὸ μέλλον μεγάλα κακὰ προφοιβάζουσα· ἃ δὴ καὶ μετ' ὀλίγον ἐπηκολούθησε. Καὶ τοῦτο μέντοι τοιοῦτον.

IX. Βασιλεὺς δὲ παραχειμάζων ἐν Βυζαντίῳ τῶν τε ἄλλων ἐπεμέλετο, φημὶ δὴ τῶν ἐς ξυνοίκησίν τε καὶ κατασκευὴν καὶ κόσμον τῆς ὅλης πόλεως, καὶ δὴ καὶ τὰ βασίλεια ἐξετέλεσε, χρῆμά τι κάλλιστον καὶ τῶν ἐς θέαν καὶ τέρψιν ὁμοῦ καὶ κατασκευὴν καὶ κάλλος οὐδενὸς λειπόμενα τῶν ὀνομαστῶν καὶ λαμπρῶν καὶ δὴ καὶ παλαιῶν οἰκοδομημάτων καὶ θεαμάτων· πύργοι τε γὰρ ἐν αὐτοῖς ᾠκοδόμηντο ἐς ὕψος τε ἠρμένοι καὶ ἐς κάλλος καὶ μέγεθος ἠσκημένοι, καὶ ἀνδρεῶνες καὶ γυναικωνῖται καὶ θάλαμοι τρίκλινοί τε καὶ κοιτῶνες καὶ δωμάτια πλεῖστα καὶ κάλλιστα καὶ οἰκίσκοι διάφοροι, ἔτι δὲ πρόδομοί τε καὶ αὐλαὶ καὶ προαύλια καὶ πυλῶνες καὶ πρόθυρα καὶ ὀπτανεῖα καὶ λουτρὰ λόγου ἄξια, καὶ περίβολος μέγιστος ὁ περιέχων αὐτά· (2) ἃ πάντα, ἧπερ ἔφην, ἔς τε ποικιλίαν ὁμοῦ καὶ κάλλος καὶ μέγεθος καὶ πολυτέλειαν ἤσκητο, χρυσῷ τε πολλῷ καὶ ἀργύρῳ περιλαμπόμενά τε καὶ καταστραπτόμενα πάντοθεν, ἔσωθέν τε καὶ ἔξωθεν, καὶ λίθων διαφανῶν καὶ μαρμάρων διαφόροις ἀγλαΐαις τε καὶ χροιαῖς καὶ ποικιλίαις κεκοσμημένα, στιλπνότητι καὶ λειότητι καὶ διαυγείᾳ νικώντων, καὶ τέχνῃ τῇ πρώτῃ τε καὶ καλλίστῃ διὰ πάντων φιλοτίμως ἐξειργασμένα, ὅση τε γλυφικὴ καὶ πλαστικὴ καὶ ὅση γραφικὴ νενίκηκεν εἶναι ἀρίστη καὶ καλλίστη τῶν ἁπασῶν, ἔτι δὲ μολύβδῳ τε πολλῷ καὶ βαθεῖ ὅλα δι' ὅλων πεπυκασμένα τε καὶ ξυνηρεφῆ καὶ κατάστεγα, καὶ μυρίαις ἄλλαις λαμπρότησί τε καὶ χάρισι καλλυνόμενα καὶ κοσμούμενα· (3) οὐ μόνον δὲ, ἀλλὰ καὶ παράδεισοι περὶ αὐτὰ κατακέχυνται κύκλῳ μέγιστοί τε καὶ κάλλιστοι, διαφόροις τε καὶ παντοίοις φυτῶν εἴδεσι βρύοντες, καὶ καρποῖς ὡραίοις βρίθοντες καὶ ὑδάτων ἀφθονίᾳ περιρρεόμενοι πάντοθεν ψυχρῶν τε καὶ ποτίμων καὶ διειδῶν, καὶ ἄλσεσι καὶ λειμῶσι καλλίστοις ἐμπρέποντες, ἔτι δὲ ὀρνίθων ἀγέλαις ἐδωδίμων καὶ ᾠδικῶν καταβοώμενοί τε καὶ περιλαλούμενοι πάντοθεν, καὶ ζώων ἡμέρων τε καὶ ἀγρίων γένη τρέφοντες, καὶ πολλοῖς ἄλλοις καὶ διαφόροις ὡραϊζόμενοί τε καὶ κομῶντες καλοῖς, ὅσα κόσμον οἶδε φέρειν καὶ τέρψιν ὁμοῦ καὶ ἡδονὴν καὶ ἀπόλαυσιν· οὕτω φιλοτίμως τε καὶ πολυτελῶς ἐξείργαστο ταῦτα τῷ βασιλεῖ.

X. Παραχειμάσας οὖν ἐν τούτοις ὁ βασιλεὺς, ἐπειδὴ ἔαρ ὑπέφαινεν ἤδη, ὥρμησε μὲν ἐς ἐκστρατείαν, καὶ παρεσκευάζετο ἐπὶ τοῦτο. Αἰσθόμενος δὲ τοὺς στρατιώτας ἀγανακτοῦντας καὶ τὴν ἰδίαν αὐλὴν, κεκακωμένους τε καὶ τεταλαιπωρημένους τὰ μάλιστα ταῖς συχναῖς τε καὶ μακραῖς ὁδοιπορίαις καὶ ἐκστρατείαις, καὶ ἀεὶ ἐν ἀποδημίαις ὄντας ὑπερορίοις καὶ πόνοις, καὶ πάντα τὰ ἑαυτῶν ἀπολλύντας καὶ σώματα καὶ χρήματα καὶ ἵππους καὶ ὑποζύγια, καὶ πάντα τρόπον φθειρομένους τε καὶ κακοπαθοῦντας, ἀνέσχε τῆς ὁρμῆς· καὶ αὐτὸς ὁ βασιλεὺς κεκοπωμένος τε καὶ κατατετριμμένος ὅλος καὶ τὸ σῶμα καὶ τὴν γνώμην ὑπό τε τῶν ξυνεχῶν καὶ ἀνενδότων λογισμῶν τε καὶ φροντίδων καὶ τῶν ἀτρύτων πόνων καὶ κινδύνων καὶ πειρασμῶν, ἀναπαύλης γοῦν ἐδεῖτο προσκαίρου καὶ θεραπείας. (2) Διὰ τοῦτο μένειν ἐγνώκει δεῖν καὶ διαναπαῦσαι ἑαυτόν τε καὶ τὴν στρατιὰν τοῦ ἐνεστῶτος θέρους, ὡς ἂν ἔτι γε τοῦ λοιποῦ νεαρωτέροις τε καὶ προθυμοτέροις ἔχοι κεχρῆσθαι πρὸς τὰ λοιπὰ τῶν ἔργων. Καὶ δὴ δόξαν οὕτω, τὴν μὲν ἄλλην στρατιὰν πολυτρόπως δωρησάμενος ἀπέλυσε, τοῖς μὲν ἵππους, τοῖς δὲ ἐσθῆτας, τοῖς δὲ χρήματα, τοῖς δὲ ἄλλο τι διαδιδοὺς, τοὺς δ' ἀπὸ τῆς ἰδίας αὐλῆς, οὓς ἠπίστατο φιλοπόνους τε καὶ φιλοκινδύνους καὶ σπουδαίους καὶ χρησίμους τοῖς ὅλοις καὶ ἀγαθοὺς ἄνδρας, καὶ τιμαῖς ταῖς πρεπούσαις ἐτίμησε, καὶ ἀρχαῖς καὶ δώροις λαμπροῖς καὶ πολλοῖς ἄλλοις καλοῖς, προάγων καὶ προβιβάζων αὐτοὺς ἐπὶ τὰ πρόσω δι' ἀρετήν. (3) Καὶ τούτους μὲν οὕτω τιμήσας τε καὶ δωρησάμενος πολυτρόπως, ἧπερ ἔφην, ἀπέλυσεν· αὐτὸς δὲ διάγων ἐν Βυζαντίῳ θέρους, τῶν μὲν ὑπὲρ τῆς πόλεως φροντίδων οὐκ ἠμέλει, ξυνήθως τοῦ τε ξυνοικισμοῦ αὐτῆς, φημὶ, καὶ τῆς ἄλλης κατασκευῆς τε καὶ βελτιώσεως ἄγαν ἐπιμελόμενος. (4) Ἐσχόλαζε δὲ καὶ φιλοσοφίᾳ, ὅση τε Ἀράβων καὶ Περσῶν καὶ

IX § 1. **Τὰ βασίλεια** ἐξετέλεσε] Palatium in veteris Byzantii loco ædificatum (*Yeni Serai*) ad finem perductum est Hegiræ anno 872 (1467 p. C.), testante inscriptione quæ supra portam legitur. V. Hammer. l. l. 2, p. 97. ‖ — καὶ τέρψιν] add. margo. ‖ — τε ἠρμένοι] add. margo. ‖ — § 3. βρίθοντες] βρύθοντες cod. Possis etiam βρύζοντες. ‖ — καὶ ἄλσεσι... καλλίστοις ἐμπρέποντες] add. mgo.

X. § 1. Πόνων καὶ] add. mgo. ‖ — § 2. τοῖς ὅλοις] add. mgo. ‖ — § 4. Cf. Nicolaus Sagundinus Eubœensis in *Oratione ad regem Aragonum Alphonsum* (Neapol., 30 Jan. 1453), *de persona Teucri* (Mech. II) *et ejus natura, moribus, intellectu, sapientia*(in cod. lat. Paris. 4504. n. 39, citante Villoison. in *Notices et extr. des* mss. tom. 8, *part* 2, p. 22 *not.*) : ***In tot tantarumque perenni, ut ita dicam, ministratione etiam literis et philosophiæ operam dare conatur. Habet apud se virum in philosophia doctissimum, lingua Arabem, qui quotidie certo tempore principem adeundi et aliquid auditu dignum legendi habet potestatem. Tenet præterea duos medicos, quorum unus latine, alter græce est eruditus. His familiarissime utitur, eorumque***

Ἑλλήνων μάλιστα ἐς τὴν Ἀράβων μετενεχθεῖσα, ξυνών τε ὁσημέραι τοῖς τούτων ἡγεμόσι καὶ διδασκάλοις (εἶχε δὲ οὐκ ὀλίγους περὶ αὐτόν) καὶ ξυζητῶν ἅμα καὶ ξυμφιλοσοφῶν αὐτοῖς καὶ τοῖς τῆς φιλοσοφίας δόγμασι προσανέχων καὶ μάλιστα τοῖς ἀπὸ τοῦ Περιπάτου καὶ τῆς Στοᾶς. (5) Ἐντυχὼν δέ που καὶ τοῖς τοῦ Πτολεμαίου διαγράμμασιν, ἐν οἷς ἐκεῖνος ἐπιστημονικῶς τε καὶ φιλοσόφως τὴν τοῦ κόσμου περιήγησιν καὶ περίοδον πᾶσαν ἐκτίθεται, πρῶτον μὲν ἠβουλή κατακεχερματισμένην οὖσαν αὐτὴν ἐν τῇ δέλτῳ κ δυσδιάγνωστον, μιᾷ ὑφῇ παραδοῦναι ξυνημμένως ἐν ἑνὶ πέπλῳ καὶ πίνακι, σαφεστέραν τε οὖσαν οὕτω καὶ εὐληπτοτέραν ξυμπεριλαβεῖν τε ἅμα τῇ διανοίᾳ καὶ κατασχεῖν καὶ γνῶναι καλῶς· καὶ γὰρ ἀναγκαῖον εἶναί οἱ ἔδοξέ που τὸ μάθημα τοῦτο καὶ σπουδαιότατον. (6) Μετακαλεσάμενος οὖν Γεώργιον τὸν φιλόσοφον ἀνατίθησιν αὐτῷ τὸν τοῦ πράγματος πόνον ξὺν ἀξιώσει καὶ φιλοτιμίᾳ βασιλικῇ. Καὶ ὃς ἀναδέχεται τοῦτον ἀσμένως, ὑπουργῶν προθύμως τῷ βασιλέως σκοπῷ καὶ κελεύσματι, καὶ δὴ μετὰ χεῖρας τὸ βιβλίον λαβὼν καὶ τὸ θέρος ὅλον ἐνδιατρίψας τε καὶ σχολάσας αὐτῷ καὶ ἱκανῶς ἐκμελετήσας τε καὶ τὴν τούτου γνῶσιν ἀναλεξάμενος, διέγραψεν ἄριστα καὶ ἐπιστημονικώτατα πᾶσαν τὴν τῆς οἰκουμένης περίοδον ἐν ἑνὶ πέπλῳ καὶ πίνακι γῆς καὶ θαλάσσης ὁμοῦ, ποταμούς τέ φημι καὶ λίμνας καὶ νήσους καὶ ὄρη καὶ πόλεις καὶ πάντα ἁπλῶς παραδοὺς ἐν τούτῳ καὶ κανόνας καὶ μέτρα καὶ ἀποστάσεις καὶ τἆλλα πάντα εἰδέναι καλῶς, καὶ παραδίδωσι βασιλεῖ σπούδασμά τε καὶ μάθημα πάνυ ἀναγκαῖον καὶ χρήσιμον τοῖς σπουδαίοις τε ἅμα καὶ φιλοπόνοις καὶ φιλοκάλοις. (7) Ἐκτίθεται δὲ καὶ τὰ ὀνόματα τῶν χωρῶν καὶ τόπων καὶ πόλεων ἀραβικῶς ἐν τῷ πίνακι, χρησάμενος ἑρμηνεῖ τῷ σφετέρῳ υἱεῖ, καλῶς ἠσκημένῳ τὴν Ἀράβων τε καὶ Ἑλλήνων. (8) Ἡσθεὶς οὖν πάνυ τῷ ἔργῳ τούτῳ ὁ βασιλεύς, καὶ τὴν σοφίαν τε καὶ περίνοιαν τοῦ Πτολεμαίου θαυμάσας, ἀλλὰ δὴ καὶ τοῦ ἐκθεμένου τοῦτο καλῶς, δωρεῖται τοῦτον πολυτρόπως καὶ φιλοτίμως, κελεύει δὲ καὶ πᾶσαν τὴν βίβλον ὑπ' αὐτῶν ἀραβικῶς ἐκδοθῆναι, μισθοὺς μεγάλους ὑπὲρ τούτου καὶ δῶρα ἐπαγγειλάμενος. Καὶ ταῦτα μὲν οὕτως. (9) Ἐν τούτοις γε μὴν καὶ τοῖς τοιούτοις ἀσχολουμένῳ τε καὶ διατρίβοντι τῷ βασιλεῖ διαγέγονε τὸ θέρος ὅλον καὶ τὸ φθινόπωρον· καὶ τούτων παρῳχηκότων τρίτον καὶ ἑβδομηκοστὸν ἔτος πρὸς τοῖς ἐνναкοσίοις τε καὶ ἑξακισχιλίοις τοῖς ὅλοις ἠνύετο, πέμπτον δὲ καὶ δέκατον τῆς ἀρχῆς τῷ βασιλεῖ.

XI. Ἐπεὶ δὲ τὸ παρῳχηκὸς ἔτος ὅλον διανεπαύσατο καλῶς ὅ τε βασιλεὺς καὶ ἡ στρατιά, παρεσκευάζετο χειμῶνος ἅμα ἦρι ἐς τὴν Ἰλλυριῶν ἐσβαλεῖν. Ἰλλυριοὶ γάρ, ἧπερ καὶ πρόσθεν ἔφαμεν, πρόσοικοι ὄντες τῷ Ἰονίῳ καὶ ὄρη μεγάλα ἐκ παλαιοῦ οἰκοῦντες καὶ ὑπερύψηλα, καὶ φρούρια ἔχοντες ἐρυμνὰ καὶ δυσάλωτα ἔν τε τῇ μεσογείᾳ καὶ παραλίᾳ καὶ τόπους δυσβάτους καὶ ἀποκρήμνους καὶ πανταχόθεν ὠχυρωμένοι τε καὶ ἠσφαλισμένοι, καὶ τούτοις θαρροῦντες, αὐτόνομοί τε εἶναι ἐβούλοντο καὶ ἐλεύθεροι πάντη, καὶ οὔτε δασμὸν ἐτήσιον καταβαλεῖν ἤθελον καὶ αὐτοί, ὥσπερ οἱ ἄλλοι ὅμοροι, οὔτε στρατιώτας ἐν ταῖς ἐκστρατείαις παρέχειν οὔτε τῷ πατρὶ τοῦ βασιλέως οὔτ' αὐτῷ τῷ βασιλεῖ, οὐθ' ὅλως κατακούειν αὐτοῦ· καὶ οὐ τοῦτο μόνον, ἀλλ' ὅτι καὶ πολλάκις ἐκθέοντες τῆς αὐτῶν μετὰ τοῦ σφῶν ἡγεμόνος ἀνέδην οὕτω κατέτρεχον τὴν ὅμορόν σφισι τοῦ βασιλέως χώραν καὶ ἐληίζοντο. (2) Ἐστράτευσαν μὲν οὖν ἐπὶ τούτους καὶ πρόσθεν ὅ τε βασιλεὺς καὶ ὁ τούτου πατὴρ πρὸ αὐτοῦ, καὶ κατέδραμον τὴν αὐτῶν πᾶσαν καὶ ἐληίσαντο καὶ διέφθειραν, καὶ φρούρια ἐξεῖλον καὶ βοσκήματα πολλὰ καὶ ἀνδράποδα καὶ λείαν ὅτι πλείστην ἀπήγαγον·

---

dictatu veteris historiæ cognitionem habere voluit. || — Ἀράβων] Ἀρρ. cod. h. l. et in sqq. || — εἶχε] ἔχει cod. || — § 5. ἐκτίθεται] margo, διέγραψε text. || — δέλτῳ] mgo, βίβλῳ text. || — § 6. Γεώργιον] Cf. lib. 4, 9, 2. || — § 9. γε μὴν] mgo, δὲ text. || — παρῳχηκότων] mgo, διελθόντων text. || — τρίτον] literæ τρί in rasura.

XI. De priore contra Albanos bello vide lib. 3 cap. 16. De altero quod in sqq. narratur, uberiora et accuratiora præbet Barletius *De Scanderbegi vita et gestis*, lib. XI. Cf. Zinkeisen 2, p. 390 sqq. — Quam anno 1461 Scanderbegus pacem inierat, eam rupit ineunte anno 1463, quo vicinam Turcorum ditionem vastare cœpit. Quare Mechemetes contra Albanos sub *Scheremetbeg* duce excercitum misit, qui prope Achridam strage immani profligitur. Alium deinde exercitum adduxit *Baladan Badera* (*Palapanus ap. Critobul.*), qui primo prœlio superior evasit, altero et tertio victus est (1465). Eandem sortem ad *Berat* urbem experiuntur copiæ auxiliares, quibus Jacobus præerat. Post hæc ipse Mechemetes (æstate an. 1466) cum exercitu 200,000 hominum, quem hieme an. 1465 collegerat, in Albaniam irrupit et Crojam urbem munitissimam obsidione cinxit. Quum vero nihil proficeret et a Scanderbego, qui in propinquo castra munita habebat, gravissimis damnis afficeretur, majorem exercitus partem abduxit, exstructo *Elbassan* castello et relicto cum 80,000 militum Baladano, qui fame urbem ad deditionem adigeret. Huic Junis frater auxilia adducere voluit, at nocturno impetu copiæ ejus omnes trucidantur. Paucis diebus post Baladanus ad Crojam prœlians cecidit. Quo casu Turci turbati obsidionem solvunt, et in fugam effusi Macedoniam repetunt. Sequenti anno 1467 denuo Mechemetes in Albaniam invasit, sed iterum re infecta discessit. — Paucis de his exponit Phrantzes p. 425, 12 : Καθ' ὃν δὲ καιρὸν ἡμεῖς εἰς τὰ περὶ τὴν Ῥώμην διετρίβομεν (menss. Junii et Julii 6974, 1466), ὁ τῶν ἀσεβῶν ἐξάρχων ἀμηρᾶς ἐλθὼν κατὰ τῆς Ἀλβανιτίας καὶ διώξας τὸν αὐθέντην αὐτῆς τε Σκαντέρινο, καὶ αἰχμαλωτίσας καὶ ἀφανίσας τὸν τόπον, καὶ κτίσας ἄστυ πλησίον τοῦ καθολικοῦ ἄστεος αὐτῆς Κρούας ὀνομαζομένου, πρὸς τὸ ἀντιμάχεσθαι αὐτῷ, ἐπανέστρεψεν εἰς τὰ περὶ τὴν Κωνσταντινούπολιν. Ad Critobulum propius accedit Seadeddinus p. 138 sq., secundum quem Mechemetes vere an. 871 Hegiræ (1466) cum exercitu, quem ad *Monaster* convenire jusserat, profectus Albanos, qui tributum solvere recusarant pacemque violarant, penitus subegit et immensa præda onustus Adrianopolim rediit, postquam, ut rebellantes in posterum facilius coercerentur, *Elbassam* arcem ædificaverat eique præsidium imposuerat. || — ἀνέδην] ἀναίδην cod.; em. Pantasides. || —

οἱ δὲ τότε μὲν καὶ παρὰ τὴν ἐσβολὴν αὐτὴν τὴν αὐτῶν δῃουμένην καὶ πορθουμένην δρῶντες εἶκόν τε καὶ ἐσπένδοντο πρὸς καιρὸν καὶ μετ' ὀλίγα πάλιν ἀναισχυντοῦντες ἐλῄστευον τὴν βασιλέως καὶ ἐκακούργουν, καὶ τοῦτο ἐποίουν ἔχοντες τὰ ὄρη καὶ τὸ δυσπρόσοδον τῆς χώρας καταφυγὴν καὶ προκάλυμμα· μιᾶς γὰρ οὔσης ἢ δύο παρόδων διὰ τῶν ὀρῶν ἐς αὐτὴν, ἐφύλαττόν τε ταύτας φυλακαῖς ἰσχυραῖς, καὶ εἶχον τὴν αὐτῶν ἄβατον πάντῃ τοῖς πολεμίοις καὶ κακῶν ἀπαθῆ, εἰ μή που μεγάλη τις δύναμις ἐπελθοῦσα τῶν ὀρῶν τε καὶ τῶν παρόδων κρατήσειε βίᾳ, καὶ θύραν ἀνοίξειε τῇ χώρᾳ τελείως· ὅπερ δὴ καὶ ὁ βασιλεὺς ἐγνώκει ποιῆσαι, καὶ ἐπεποιήκει καλῶς. (3) Παρασκευασάμενος οὖν χειμῶνος, ἧπερ ἔφην, ὡς ἔδει, ἅμα τῷ ἦρι ἔξεισι κατ' αὐτῶν μεγάλῃ δυνάμει καὶ στρατιᾷ ἱππικῇ τε καὶ πεζικῇ, ξυνεπαγόμενος ἅμα οἷ καὶ μηχανὰς καὶ ὅπλα καὶ παρασκευὰς ἐς οἰκοδομὴν καὶ οἰκοδόμους καὶ τέκτονας καὶ ἐργαλεῖα τεκτονικὰ καὶ οἰκοδομικὰ καὶ σίδηρον πολὺν καὶ χαλκὸν καὶ ὅσα τοιαῦτα ὡς ἐς τειχισμὸν καὶ οἰκοδομὴν φρουρίου. (4) Ἄρας οὖν ἐκ τῆς Ἀδριανοῦ παντὶ τῷ στρατῷ ἱππικῷ τε καὶ πεζικῷ ᾔει διὰ τῆς αὐτοῦ σπουδῆς· διελάσας δὲ ταύτην ὅτι τάχιστα καὶ γενόμενος ἐν τοῖς ὁρίοις Ἰλλυριῶν, στρατοπεδεύεται αὐτοῦ τῇ προτεραίᾳ, καὶ τῇ ὑστεραίᾳ ἀναλαβὼν τούς τε ψιλοὺς καὶ τοξότας καὶ σφενδονήτας καὶ λογχοφόρους καὶ ὑπασπιστὰς, προσβάλλει ταῖς παρόδοις φυλασσομέναις ὑπὸ τῶν Ἰλλυριῶν ἰσχυρῶς· καὶ μάχης μεγάλης ξυσταδὸν γενομένης καὶ ὠθισμοῦ καὶ ἀγῶνος καὶ βίας πολλῆς, εὐρώστως ἀπαντησάντων τε καὶ μαχομένων τῶν Ἰλλυριῶν, τρέπεται τούτους καὶ κρατεῖ τῶν παρόδων βίᾳ, καὶ καταδιώξας φόνον πολὺν τούτων ἐργάζεται. (5) Μετὰ δὲ τοῦτο φυλακὰς ἐγκαταστήσας ἰσχυρὰς ταῖς παρόδοις, τοῦ μὴ βλάπτεσθαι τούς τε ἐσιόντας καὶ ἐξιόντας ὑπὸ τῶν ληστευόντων Ἰλλυριῶν, κελεύει τούς τε ὑλοτόμους καὶ μέρος τοῦ πεζοῦ ἐσελθόντας ὑλοτομεῖν τε καὶ ἐκκαθαίρειν τά τε λοχμώδη καὶ λάσια καὶ δυσδιεξίτητα τῶν χωρίων, καὶ τῶν ὁδῶν τὰς σκληρὰς καὶ τραχείας καὶ ὅλως ἀβάτους ἐξομαλίζειν τε καὶ καταλεαίνειν καὶ εὐρείας καὶ λείας ποιεῖν τῇ τε στρατιᾷ πάσῃ ἱππικῇ τε καὶ πεζικῇ καὶ τοῖς ἀχθοφόροις τῶν ζώων καὶ ταῖς ἁμάξαις καὶ τοῖς ἄλλοις σκευαγωγοῖς. (6) Αὐτὸς δὲ πάσῃ τῇ στρατιᾷ ἐσελάσας, πρῶτον μὲν τὴν κάτω χώραν αὐτῶν, τῶν πεδίων τε καὶ ὅση ἱππάσιμος ἦν, κατατρέχει καὶ ληΐζεται πᾶσαν, μετὰ δὲ τοῦτο στρατοπεδευόμενος κατὰ σταθμοὺς καὶ προσκαθήμενος ἐδῄου ταύτην ἐμπιπρῶν τοὺς καρποὺς καὶ νεμόμενος καὶ διαφθείρων καὶ ἀφανίζων. (7) Ἰλλυριοὶ δὲ ἀναγαγόντες τοὺς σφῶν παῖδας καὶ γυναῖκας καὶ κτήνη καὶ πᾶσαν ἄλλην ἀποσκευὴν ἐπὶ τὰ ὑψηλὰ καὶ δυσάντη καὶ δυσπρόσοδα τῶν ὀρῶν, καὶ καταλαβόντες αὐτοὶ ξὺν ὅπλοις τάς τε δυσχωρίας καὶ τοὺς ἰσχυροὺς τῶν τόπων καὶ τὰς παρόδους, ἐκάθηντο, ἤν τις αὐτοῖς ἐπίῃ, ἀμυνούμενοι. (8) Βασιλεὺς δὲ, ἐπεὶ πᾶσαν τὴν κάτω χώραν αὐτῶν ἐδῄωσε καὶ ἐπόρθησε, παρασκευασάμενός τε καὶ ἐκτάξας καλῶς πᾶσαν τὴν στρατιὰν ἐχώρει ἐπὶ τὰ ὄρη καὶ τὰς δυσχωρίας καὶ τοὺς ἰσχυροὺς τῶν βουνῶν ἐπί τε Ἰλλυριοὺς καὶ παῖδας καὶ γυναῖκας σφῶν καὶ τὴν ἄλλην ἀποσκευήν. Προέταξε δὲ, πρόσθεν μὲν, τούς τε τοξότας καὶ τουφακοφόρους καὶ σφενδονήτας βάλλειν τε καὶ τοξεύειν καὶ σφενδονᾶν ἐς τοὺς Ἰλλυριοὺς καὶ ἀνείργειν αὐτοὺς πορρωτάτω καὶ ἀναχαιτίζειν ἐς τὸ ἄνω βαλλομένους· μετὰ δὲ τούτους, τούς τε ψιλοὺς καὶ λογχοφόρους καὶ ὑπασπιστὰς ἔταξεν ἀνιέναι, ἑπομένως δὲ τούτοις τὸ ὁπλιτικὸν ἅπαν. (9) Καὶ ἀνῄεσαν σχολῇ καὶ βάδην μέχρι τινὸς, ὠθοῦντες κατὰ μικρὸν τοὺς Ἰλλυριοὺς ἐς τὸ ἄνω· ἔπειτα ἀλαλάξαντες μέγα οἵ τε ψιλοὶ καὶ οἱ ὁπλῖται καὶ λογχοφόροι ἐχώρουν δρόμῳ ἐπὶ τοὺς Ἰλλυριοὺς, καὶ τρεψάμενοι ἐδίωκον ἀνὰ κράτος καὶ καταλαμβάνοντες ἔκτεινον, τοὺς δὲ καὶ ζῶντας ἐζώγρουν· ἔνιοι δὲ αὐτῶν καὶ βιαζόμενοι ὑπὸ τῶν ὁπλιτῶν ἐρρίπτουν σφᾶς αὐτοὺς κατὰ τῶν κρημνῶν καὶ πετρῶν, καὶ διεφθείροντο· οἱ δὲ ὁπλῖται καὶ ψιλοὶ καὶ ἡ στρατιὰ πᾶσα χεθεῖσα ἀνὰ τὰ ὄρη καὶ τὰς δυσχωρίας τὰς ἐκεῖσε καὶ τὰς χαράδρας ἐζώγρουν καὶ ἠνδραποδίζοντο τούς τε παῖδας καὶ γυναῖκας τῶν Ἰλλυριῶν καὶ πάντα τὰ προσόντα αὐτοῖς διήρπαζον· οὐ μόνον δὲ, ἀλλὰ καὶ βοσκημάτων καὶ ζώων ἀγέλας πολλὰς ἤλασαν, καταδραμόντες δὲ πάντα τὰ ὄρη καλῶς καὶ διερευνησάμενοι καὶ λείαν ὅτι πλείστην ἐκεῖθεν ἀπαγαγόντες ἀνδραπόδων τε καὶ βοσκημάτων καὶ τῶν ἄλλων, κατήγαγον πάντα ἐς τὸ στρατόπεδον. (10) Ἀπέθανον δὲ πλῆθος πολὺ τῶν Ἰλλυριῶν, οἱ μὲν ἐν τῷ πολέμῳ, οἱ δὲ καὶ ζῶντες ληφθέντες, κελεύσαντος βασιλέως· ἐλήφθησαν δὲ καὶ παῖδες καὶ γυναῖκες καὶ ἄνδρες ἐν ἐκείνοις τοῖς ὄρεσι ὡσεὶ δισμύριοι. Οἱ δὲ λοιποὶ τῶν Ἰλλυριῶν οἱ μὲν ἦσαν ἐν φρουρίοις ἐρυμνοῖς, οἱ δὲ ἐν ἄλλοις ὄρεσι πεφευγότες μετὰ τοῦ σφῶν ἡγεμόνος Ἀλεξάνδρου.

XII. Ἦν δέ τι καὶ φρούριον ἐκεῖσε τοῖς Ἰλλυριοῖς ἀπόμαχον πάντῃ καὶ ἰσχυρότατον Κροῦες ὀνομαζόμενον, ὅπερ δὴ καὶ ὡς ἀκρόπολίς τις ἦν τῆς ὅλης χώρας καὶ φυλακτήριον. Τοῦτο πολυτρόπως πρώην

§ 2. Eadem habes lib. 3, 16, 2. || — πρὸ αὐτοῦ] add. margo. || — πρὸς καιρὸν] margo, μέχρι τινός text. || — § 4. διελάσας] margo, διελθὼν text. || — § 6. ἐσελάσας] margo, διαβὰς text. || — προσκαθήμενος] supra versum, περικαθήμενος in versu. || — § 9. ὑπὸ τῶν ὁπλιτῶν] add. mgo. || — τὰς ἐκεῖσε] mgo, ἐκείνας text. || — ἀγέλας] add. mgo. || — § 10. ἐλήφθησαν etc.] Seadeddin. 2, p. 239 : *E mandando gl' escursori in ogni parte, ne fecero cosi grand preda e raccolta della bellezza e gioventù Albanese, che il campo regio diventò come una ragunanza d nimfe et di ganimedi del paradiso.*

XII. § 1. Κροῦες] Κροῦα Phrantzes p. 425, 16 Κρούη Chalcoc., aliis Croja, Turcis *Ak-hissar.* || — § 2. ἀπόνως]

πειράσας ὁ του βασιλέως πατὴρ καὶ ὅπλοις καὶ μηχαναῖς πετροβόλοις καὶ πολιορκίᾳ μακρᾷ, οὐχ ἠδυνήθη (δ' οὖν) ὅμως ἑλεῖν· οὕτως ἀπόμαχον ἦν. (2) Ἐν τούτῳ τοίνυν παραγενόμενος ὁ βασιλεὺς καὶ θεασάμενος αὐτοῦ τό τε ἐρυμνὸν καὶ δυσάλωτον καὶ σφόδρα ἀπόμαχον, οὐκ ἐγνώκει δεῖν ὅλως ἐπιχειρεῖν τῷ τοιούτῳ καὶ πονεῖν ἀνήνυτα, οὐδὲ προσταλαιπωρεῖν καὶ κατατρίβειν τὴν στρατιὰν περικαθήμενον καὶ πολιορκοῦντα χρονίαν πολιορκίαν, καὶ σώματα καὶ χρήματα ἀπολλύναι μάτην, ἐνὸν ἄλλῳ τῳ τρόπῳ τοῦ τε ἄστεος καὶ τῆς χώρας ἀπόνως τε καὶ ἀκινδύνως κρατεῖν. (3) Διὰ τοῦτο ἐπιτειχισμὸν αὐτοῖς ἐγνώκει δεῖν κατασκευάσαι, καὶ φρούριον ἐχυρὸν ἐνταῦθα τειχίσαι ἐν μέσῃ τῇ χώρᾳ, καὶ στρατιὰν ἱκανὴν ἐν αὐτῷ καταλιπεῖν, ἀεὶ κατατρέχουσαν καὶ ληιζομένην καὶ μηδαμοῦ ἐῶσαν τοὺς Ἰλλυριοὺς ἐξερχομένους τοῦ ἄστεος ἢ τῶν ὀρῶν κατερχομένους ἐργάζεσθαι ἢ ποιμαίνειν ἢ νέμειν ἢ ἄλλο τι ποιεῖν, ἀλλ' ἀεὶ κατακεκλεισμένους τε καὶ κακοπαθοῦντας ἀναγκασθῆναί ποτε καὶ ξυμβῆναι τῷ βασιλεῖ. (4) Διερχόμενος οὖν τὴν χώραν ἐπιζητήσει χωρίου ἐπικαίρου ἐς τειχισμὸν, εὗρε παλαιᾶς πόλεως ἴχνη καὶ θεμελίους ἐν ἐπικαίρῳ τε τῆς χώρας κειμένης καὶ ἀρίστης τε καὶ καλλίστης φαινομένης εἶναι τὸ παλαιόν· ταύτην ἔγνω τειχίζειν· καὶ ἀρξάμενος ἀρχομένου θέρους χειρὶ πολλῇ καὶ σπουδῇ καὶ δαπάνῃ φιλοτιμίᾳ τε καὶ ἐπιστασίᾳ βασιλικῇ (καὶ γὰρ παρῆν τε αὐτὸς πανταχοῦ τῷ ἔργῳ ἕκαστα ἐξηγούμενός τε καὶ ἐπισπέρχων πάντας, τοὺς μὲν λόγοις, τοὺς δὲ καὶ χρήμασι (καὶ) προθυμοτέρους ἐς τοῦτο ποιῶν), πρὶν τὸ θέρος ὅλον ἐξήκειν τειχίζει τὸ φρούριον, ἔργον λόγου καὶ θαύματος ἄξιον, καὶ ξυνοικίζει τοῦτο καλῶς, οἰκήτορας ξυναγαγὼν πλείστους ὅσους ἀπὸ τῶν πέριξ αὐτοῦ χωρῶν καὶ τόπων καὶ πόλεων. (5) Ἐσάγει δὲ καὶ πολλὴν ἀφθονίαν τῶν ἀναγκαίων καὶ ἐς τροφὴν ἐπιτηδείων καὶ θεραπείαν αὐτῶν καὶ πᾶσαν ἄλλην αὐτάρκειάν τε καὶ χρείαν δαψιλῶς ἑτοιμασάμενος· ἔτι δὲ καὶ ὅπλα πολλὰ ἐντίθησι καὶ μηχανὰς πετροβόλους καὶ ἀφετήρια καὶ πλείστην ἄλλην οἰκονομίαν τε καὶ παρασκευὴν τῶν ἐς τὸν πόλεμον, καὶ ἐπισκευάζει τοῦτο διὰ πάντων καλῶς τε καὶ ὥσπερ ἂν εἰ οὐ τότε πρῶτον, ἀλλὰ πολλοῖς ἔτεσι πρότερον οἰκούμενον ἦν, καὶ πάντων τῶν ἐν χρείᾳ καὶ ἀναγκαίων ηὐμοιρήκει πλουσίως. (6) Καταλείπει δὲ καὶ φρουρὰν ἐς αὐτὸ ἱκανὴν ἄνδρας τετρακοσίους τῶν ἀπὸ τῆς ἰδίας αὐλῆς τοὺς μαχιμωτάτους τε καὶ εὐρωστοτάτους, σαπράπην τε τῇ χώρᾳ καὶ στρατηγὸν μετὰ στρατιᾶς ἱκανῆς ἄνδρα τὸν ἄριστον τῶν παρ' αὐτῷ καὶ πάνυ στρατηγικὸν, ἵνα κατατρέχῃ καὶ πορθῇ πᾶσαν τὴν Ἰλλυριῶν ξυνεχῶς τε καὶ ἀδιακόπως, καὶ τὸ ἄστυ τοῦ Κροῦες πολιορκῇ. (7) Πράξας δὲ ταῦτα ὁ βασιλεὺς καὶ λείαν ἐλάσας ὅτι πολλὴν αὐτὸς ἀνδραπόδων τε καὶ βοσκημάτων, καὶ τῇ στρατιᾷ διαδοὺς, ἐπάνεισι φθινοπώρου ἐς τὸ Βυζάντιον καὶ τέταρτον δὴ καὶ ἑβδομηκοστὸν ἔτος πρὸς τοῖς ἐνναχοσίοις τε καὶ ἑξακισχιλίοις τοῖς ὅλοις ἠνύετο, ἕκτον δὲ καὶ δέκατον τῆς ἀρχῆς τῷ βασιλεῖ.

XIII. Τοῦ αὐτοῦ φθινοπώρου ἀρχομένου ἤδη καὶ Ἐνετοὶ ἐστράτευσαν ἐπὶ Πάτρας τῆς Ἀχαΐας ναυσί τε τεσσαράκοντα καὶ δισχιλίοις ὁπλίταις, καὶ ἀποβάντες ἐπολιόρκουν τὴν πόλιν, κύκλῳ περιλαβόντες αὐτὴν τῷ στρατῷ καὶ μηχανὰς ἐπιστήσαντες πετροβόλους. Εἶχον δὲ καί τινας τῶν Πελοποννησίων ξυμμαχοῦντας, οἵτινες πρὸ μικροῦ τοῦ βασιλέως ἀποστάντες προσέθεντο αὐτοῖς. Ἐπολιόρκουν οὖν ἐπὶ πολλαῖς ἡμέραις περικαθήμενοι αὐτὴν καὶ τὸ τεῖχος καταρριπτοῦντες ταῖς μηχαναῖς. (2) Ἀμάρης δὲ ὁ Πελοποννήσου σατράπης στρατιὰν οὐ πολλὴν ἔχων μεθ' ἑαυτοῦ, παρετήρει αὐτοὺς ἔξωθεν λοχῶν τε καὶ ἐνεδρεύων, εἴ πως καιροῦ λαβόμενος ἀπροσδοκήτοις ἐπίθηται αὐτοῖς. Εἶχε δὲ καὶ σκοποὺς ἀπὸ τοῦ Βοὸς ὄρους πάντα καταθεωμένους τὰ δρώμενα ἐν τῷ στρατοπέδῳ καὶ ἀγγέλλοντας αὐτῷ. Φυλάξας οὖν καιρὸν αἴφνης ἐπιτίθεται αὐτοῖς, καὶ καταπλήξας τῷ ἀθρόῳ τῆς ἐπιθέσεως τρέπεται καὶ καταδιώκει μέχρι θαλάσσης σφᾶς, κτείνων τε καὶ ζωγρῶν ἀνοικτὶ, ἕως ἐς τὰς ναῦς καὶ τὴν θάλασσαν αὐτὴν ἀτάκτως τε καὶ ξὺν οὐδενὶ κόσμῳ ἐλαυνομένους, ἐπὶ κεφαλὴν ὠσθέντας, ἐνέβαλεν. (3) Ἀπέθανον δὲ, ὡς ἐλέγετο, περὶ ἑξακοσίους που μάλιστα, ἐλήφθησαν δὲ καὶ ζῶντες ὀλίγῳ πλείους τῶν ἑκατὸν, οὐκ ὀλίγοι δὲ αὐτῶν καὶ ἀπεπνίγησαν· βιαζόμενοι γὰρ ὑπὸ τῶν ὁπλιτῶν καὶ ἐλαυνόμενοι πανταχόθεν ξὺν τοῖς ὅπλοις ἐπέβαινον τῇ θαλάσσῃ, ὡς ἐς τὰς ναῦς διανηξόμενοι, καὶ βαρυνόμενοι τοῖς ὅπλοις κατεποντίζοντο. (4) Ἀμάρης δὲ σκυλεύσας τούς τε νεκροὺς καὶ τὸ στρατόπεδον ἅπαν, χρήματά τε πολλὰ ἐλα-

add. mgo. || — § 3. δεῖν] additur supra versum. || — § 4. παλαιᾶς πόλεως] Scampsæ, quæ sec. Itineraria sitæ erant ubi nunc est *Elbassan*. || — § 5. ἐπιτηδείων et deinde ἐντίθησι add. mgo. || — ηὐμοιρήκει], margo, ηὐμοίρει text. || — § 6. στρατηγὸν] Παλάπανος vocatur c. 16, 1. *Baladan Badera*, natione Albanus, qui puer a Turcis captus erat, in Constantinopolis expugnatione primus in murum urbis ascendisse fertur, narrante Barletio. || — συνεχῶς τε καὶ add. mgo. || — § 7. τέταρτον] mgo, πέμπτον text.

XIII. De re vid. Mar. Sanuto p. 1183 et *Lettera d'un secretario* p. 224. Jacobus Barbarigo, Veneticarum copiarum in Peloponneso dux, ab Omaris equitibus repentino impetu oppressus atque ipse captus et Patris supplicio affectus est. Cladem hanc ulturus cum classe venit Victor Capella navarchus, qui, copiis expositis prœlioque commisso, ipse quoque victus est et ægre ad naves se recepit et in Eubœam profectus paullo post vitam finivit. Phrantzes p. 425 de his exponens Barberigi non meminit, Victorem autem Capellam agrum Patrensem vastasse et Omarem prœlio vicisse narrat, victores deinde ardore nimio ablatos hostem persecutos esse usque ad Sabulliam et montem Siderocastri; ejus vero imprudentiæ pœnas dedisse; nam conversum Omarem et turbam incompositam adortum ad naves usque repulisse (August. mens. 6975). — Ceterum Victor Capella antequam Patras veniret, Imbrum

ξεν αὐτὸς καὶ ἡ στρατιά, καὶ ὅπλα καὶ ἔπιπλα καὶ πᾶσαν ἄλλην ἀποσκευήν. Ἐπισκευάσας δὲ τὴν πόλιν οἷς εἶχε καλῶς καὶ τοὺς ζωγρηθέντας ἄνδρας καὶ τὴν λείαν λαβὼν ἀνεχώρησεν ἐς Κόρινθον· καὶ μετὰ τοῦτο ἔχων τήν τε λείαν καὶ τοὺς αἰχμαλώτους, ἧκεν ἐς τὸ Βυζάντιον ὡς βασιλέα. Ὁ δὲ τὸν μὲν φιλοφρόνως τε ἐδέξατο καὶ ἐδωρήσατο μεγάλως καὶ ἐτίμησε τὰ εἰκότα, τοὺς δὲ ἄνδρας ἀπέκτεινεν.

XIV Ἐν δὲ ταῖς αὐταῖς ἡμέραις καὶ σέλας ὤφθη ἐν οὐρανῷ, θαυμαστόν τι καὶ καινότατον θέαμα· περὶ γὰρ πρώτην ὥραν που τῆς νυκτός, ἀσελήνου ταύτης γε οὔσης, αἴφνης ἔλαμψεν ἀπό τε βορρᾶ καὶ τῶν προσαρκτικῶν μερῶν φῶς μέγα καὶ πυραυγές, ὡς ὑπὸ ἀστέρος τινὸς λαβὸν τὴν ἀρχήν, καὶ τὸ πᾶν περιήστραψε καὶ κατεφώτισε δίκην ἡλίου· εἶτα ἐκεῖθεν χυθὲν ὥρμησεν ὡς πρὸς μεσημβρίαν δρόμον ἐγκάρσιον, οἷά τις στῦλος πυρώδης, ὅλον δι' ὅλου μένον τε καὶ φαινόμενον ἀμείωτον, μᾶλλον δὲ καὶ ἐπὶ πλέον διδώμενον καὶ αὐξόμενον, ἔπειτα στὰν τῆς κινήσεως ἐμοίγε φαῖνον διάστημα ὡς ὥρας ὅλης μιᾶς, καὶ μετὰ τοῦτο κατακερματισθέν τε καὶ κατὰ μικρὸν ἀπορρέον ἠφανίσθη. (2) Τοῦτο τὸ τέρας ὤφθη ἐν οὐρανῷ, εἴτε κομήτης τις ἦν ἀστήρ, εἴτε λαμπαδίας, εἴτε ἄλλο τι τῶν ὑπεκκαυμάτων, οὐκ οἶδα, πλὴν ὄλεθρον σημαῖνον καὶ φθορὰν μεγίστην ἀνθρώπων καὶ ἀπώλειαν, ἣ καὶ μετὰ μικρὸν ἠκολούθησεν, ὡς ἐν τοῖς ἑξῆς γενήσεται δῆλον. Καὶ τοῦτο μὲν τοιοῦτον.

XV. Βασιλεὺς δὲ παρεχείμαζεν ἐν Βυζαντίῳ διαναπαύων τε ἑαυτὸν τῶν μακρῶν πόνων καὶ τὰ κατὰ τὴν πόλιν διατιθείς, ὡς εἴωθε, πρὸς τὸ βέλτιον, τόν τε ἐγειρόμενόν οἱ νεὼν ἐπιμελείας ὅτι πολλῆς ἀξιῶν, τούς τε ἐργαζομένους ἐς τὸ ἔργον ἐπισπέρχων καὶ πάντα τὰ κατ' αὐτὸν φιλοτίμως τε καὶ πολυτελῶς γίνεσθαι προστάσσων τοῖς τεχνίταις καὶ ἐπιστήμοσιν, ὡς αὐτοῦ γε μηδεμιᾶς δαπάνης ἢ ἀναλωμάτων ἐς τοῦτο φειδομένου ἢ φιλοτιμίας ἐλλείποντος· καὶ μέντοι γε καὶ ἠσκεῖτο καθ' ὅσον οἷόν τε ἦν ἔς τε κάλλος καὶ σχῆμα καὶ θέσιν καὶ ποικιλίαν καὶ μέγεθος. (2) Τοῦ δ' αὐτοῦ χειμῶνος ἀφικνεῖται καὶ πρεσβεία παρὰ τῶν Ἐνετῶν, ἀξιοῦσα λύσιν τε γενέσθαι τῶν διαφορῶν καὶ σπείσεσθαι ἐπὶ τοῖς ἴσοις καὶ ὁμοίοις, ἐχόντων ἑκατέρων ἃ ἔχουσι. Βασιλεὺς δὲ οὐκ ἐδέξατο ἐπὶ τούτοις, ἀλλ' ἀπέπεμψεν ἐπειπών· « ἄπιτε κάλλιον βουλευσόμενοι, εἴ γε τυχεῖν εἰρήνης βούλοισθε καὶ σπονδῶν παρ' ἐμοῦ· » ᾔτει γὰρ αὐτοὺς ἃς ἔλαβον νήσους Ἴμβρον καὶ Λῆμνον, καὶ φόρον ἐτήσιον καταβαλεῖν αὐτῷ.

XVI. Ἐν τούτοις ὄντι τῷ βασιλεῖ ἀγγέλλεται τὸν ἡγεμόνα Ἰλλυριῶν Ἀλέξανδρον ξυμμαχίαν τινὰ παρὰ Παιόνων αἰτήσαντα καὶ λαβόντα καὶ τοὺς οἰκείους ἀγείραντα, ἐπιθέσθαι λάθρα λοχήσαντα καὶ μηδὲν ὅλως προειδομένῳ τῷ καταλειφθέντι σατράπῃ τοῦ βασιλέως Παλαπάνῳ τοὔνομα, περικαθημένῳ τε καὶ πολιορκοῦντι τὸ ἄστυ τοῦ Κρούες, καὶ καταπλήξαντα τῷ ἀθρόῳ τῆς ἐπιθέσεως καὶ τρεψάμενον διῶξαί τε καὶ ἀποκτεῖναι πολλοὺς τῶν ξὺν αὐτῷ καὶ αὐτὸν δὴ τὸν σατράπην ἀγωνιζόμενον καλῶς, καὶ νῦν σῖτόν τε ὅτι πολὺν καὶ ὅπλα καὶ πᾶσαν ἄλλην αὐτάρκειάν τε καὶ χρείαν τῶν ἀναγκαίων ἐσενεγκάμενον ἐς τὸ ἄστυ, καὶ δὴ καὶ φυλακὴν καλλίονα, ὡς ἐς πολιορκίαν μακράν, ἀναχωρῆσαι καὶ τῆς ἔξω πάσης χώρας κρατεῖν, τοῦ νέου ἄστεος κατακεκλεισμένου καὶ τῶν ἐν αὐτῷ στρατιωτῶν. (2) Τούτων οὕτως ἀγγελθέντων, ἐς ὀργὴν μεγίστην ἐξήχθη ὁ βασιλεύς, καὶ μηδὲν μελλήσας εὐθὺς στρατιὰν ὅτι πολλὴν ἱππικήν τε καὶ πεζικὴν καλῶς παρασκευασάμενος (ἤδη γὰρ καὶ ὁ χειμὼν ἐτελεύτα), ἅμα τῷ ἦρι ἀρχομένῳ ἐστράτευσεν ἐπ' αὐτόν. Καὶ γενόμενος κατὰ τὴν Ἰλλυριῶν, πᾶσάν τε εὐθὺς κατατρέχει καὶ τὰ ἀποστάντα ταύτης χειροῦται καὶ φόνον πολὺν τῶν ἀφεστηκότων ἐργάζεται καὶ τὰ ἐν ποσὶ πάντα καταστρέφεται καὶ λῄζεται, ἐμπιπρῶν καὶ δῃῶν καὶ διαφθείρων καὶ ἀφανίζων· καταδιώκει δὲ καὶ τὸν τούτων ἡγεμόνα Ἀλέξανδρον. (3) Ὁ δὲ καταφεύγει πάλιν ἐπὶ τὰ ἐχυρὰ καὶ ἀπότομα τῶν ὀρῶν καὶ τὰς εἰθισμένας αὐτῷ καταφυγὰς καὶ διατριβὰς τῶν βουνῶν, οὐδὲ θέαν ὅλως ὑπομείνας ὥσπερ Γοργόνος τῆς στρατιᾶς. Βασιλεὺς δὲ διαρπαγήν τε καὶ σκυλμὸν πάντων ἀνδραπόδων κηρύξας τοῖς στρατιώταις, ἐπαφίησι τοῖς ὄρεσι τὸ πλεῖστον καὶ μαχιμώτατον τῆς στρατιᾶς μετὰ τοῦ Μαχουμούτεω, αὐτὸς δὲ ξὺν τῇ λοιπῇ στρατιᾷ προσκαθήμενος ἐδῄου τὰ λοιπὰ τῆς χώρας, κατὰ σταθμοὺς ἐπιπορευόμενος καὶ στρατοπεδεύων. (4) Οἱ δὲ δὴ στρατιῶται, ὁπλῖται, φημί, καὶ τοξόται καὶ σφενδονῆται καὶ ἀκοντισταί, λαβόντες παρὰ τοῦ βασιλέως τὸ ξύνθημα, εὐθὺς ὁρμήσαντες ἀνέβαινον ἐπὶ τὰ ὑπερύψηλα καὶ σκληρὰ

---

et Thasum et Samothracen occupaverat, quod Critobulus Imbriota non commemoravit, quaquam c. 15, 3 Mechemetem a Venetis postulasse dicit, ut Imbrum et Lemnum redderent. || — § 1. προσέθεντο] mgo, προσεγένοντο text. || — § 2. τοῦ Βοὸς ὄρους] Mons *Boidia* in recentioribus tabulis || — ἀκοιχτὶ et dein καὶ τὴν θάλασσαν αὐτὴν add. margo. || — § 3. ἐλήφθησαν... πλείους τῶν ἑκατόν] add. margo.

XIV. § 1. Ἐμοί γε φαῖνον] ἔμοις φαῖνον (sic) cod.

XV. § 1. Ἐγειρόμενον] mgo, οἰκοδομούμενον text. || — καὶ θέσιν] add. mgo. || — § 2. Totum hoc segmen in margine additur. De Venetorum legatione et Mechemetis responso v. Mar. Sanuto p. 1189. Cf. Zinkeisen 2, p. 314. || — Ἴμβρον] Cf. not. ad. c. 13.

XVI. § 1. Causas expeditionis Seaddedinus 2, p. 240 fuisse dicit quod Scanderbegus tributum denegasset et ditionem regiam vastans pecora e locis æstivis montis *Cancandellen* abegisset, denique *Elbassan* urbem a Turcis recens structam obsedisset et suburbium ejus incendisset. || — διῶξαί τε] add. mgo. || — § 2. μεγίστην] add. mgo. || — § 3. Γοργόνος] Γοργῶνος cod. || — § 4. ἱσταμένου] mgo, γινομένου text. || — Δᾶτις] Δᾶτιν?

καὶ ἀπότομα τῶν ὀρῶν, οἷά τινες πτηνοὶ, ξὺν τοῖς ὅπλοις, καὶ πάντα κατέτρεχον ὥσπερ τινὰ πεδία ἱππάσιμα, οὐδενὸς ἐμποδὼν ἱσταμένου, καὶ διηρευνήσαντο πάντα ἀκριβῶς καὶ πλέον ἢ Δᾶτις (φασὶ) τὴν Ἐρετρικὴν, ὄρη, κρημνοὺς, φάραγγας, καταδύσεις, ἄντρα, χαράδρας, τρώγλας, χηραμοὺς, πάντας μυχοὺς γῆς, καὶ οὐδὲν ὅ τι τούτους διέλαθεν ἢ διέφυγε καὶ τῶν σφόδρα ἀποτόμων καὶ ἀποκρότων καὶ ἀνημέρων καὶ ἀβάτων ὅλως χωρίων, ὅτι μὴ μόνον τὰ φρούρια καὶ οἱ ἐν τούτοις καταπεφευγότες, ἀλλὰ πάντα ἁπλῶς κατέδραμον καὶ ἐχειρώσαντο καὶ ἠνδραπόδισαν καὶ διέφθειραν ἐν πέντε καὶ δέκα ταῖς ὅλαις ἡμέραις, καὶ λείαν ἐξήλασαν ὅτι πλείστην ἀνδραπόδων, ἀνδρῶν, γυναικῶν, παίδων, βοσκημάτων παντοίων, ἐπίπλων, πάντων ἁπλῶς, καὶ κατήγαγον ἀπὸ τῶν ὀρῶν ἐν τῷ στρατοπέδῳ. (5) Ὁ δὲ τῶν Ἰλλυριῶν ἡγεμὼν Ἀλέξανδρος ὡς ἔγνω τὴν ἀρχὴν κατειλημμένα τὰ ὄρη τῇ στρατιᾷ, φυγὰς εὐθὺς ᾤχετο, οὐδ' ὅποι γῆς εἴη ἐξακουόμενος. Βασιλεὺς δὲ δῃώσας πᾶσαν τὴν χώραν καὶ διαφθείρας, ἐπὶ τὸ Κροῦες ὥρμησε, καὶ γενόμενος ἐν αὐτῷ, στρατοπεδεύεται πρὸ αὐτοῦ, καὶ χάρακα βαλόμενος καὶ κύκλῳ περιλαβὼν τῷ στρατῷ καὶ μηχανὰς ἐπιστήσας ἐπολιόρκει.

XVII. Ἐν ταύταις δὲ ταῖς ἡμέραις, θέρους μεσοῦντος ἤδη, καὶ ἡ λοιμώδης νόσος παντὶ τῷ θέματι Θρᾴκης τε καὶ Μακεδονίας ἐνέσκηψεν, ἀρξαμένη μὲν ἀπὸ Θετταλίας καὶ τῶν ταύτῃ προσχώρων (οὐκ οἶδ' ὅθεν αὐτοῦ τὴν ἀρχὴν ἐπελθοῦσα), ἐπινεμησαμένη δὲ καὶ διαφθείρασα πάσας τὰς ἐν τῇ μεσογείᾳ καὶ παραλίᾳ τούτων πόλεις καὶ χώρας, διαβᾶσα δὲ καὶ ἐς τὴν Ἀσίαν, πᾶσαν τὴν παραλίαν Ἑλλησπόντου τε καὶ Προποντίδος διέφθειρε καὶ ἠρήμωσεν, καὶ ἐς τὴν μεσόγειαν ἀναβᾶσα τήν τε τοῦ Προυσίου καὶ τὰ περὶ αὐτὴν ἅπαντα καὶ μέχρι Γαλατίας καὶ δὴ καὶ Γαλατίαν αὐτὴν ἐλυμήνατο καὶ ἠφάνισεν· (2) ἐς δὲ τὴν μεγάλην ἐσκωμάσασα πόλιν, τὴν Κωνσταντίνου φημὶ, τί χρὴ καὶ λέγειν ὡς ἄπιστόν τι πάθος ἐν αὐτῇ καὶ ἀκοαῖς ὅλως ἄβατον καὶ ἀφόρητον κατειργάσατο; Ἐξεκομίζοντο μὲν καθ' ἡμέραν τῶν ἀπολωλότων πλῆθος ἀριθμοῦ κρεῖττον, οἱ δὲ θάπτοντες οὐχ ἤρκουν ἐς τὰς ταφάς· οὐ γὰρ ἦσαν· οἱ μὲν γὰρ δεδιότες τὸν φθόρον ἔφευγον ἀμεταστρεπτὶ, οὐδὲ τῶν μάλιστα οἰκείων ποιούμενοι πρόνοιαν ἢ ὅλως ἐπιστρεφόμενοι, καίτοι πολλάκις μετ' οἰμωγῆς καὶ θρήνων ἀνακαλουμένων αὐτοὺς, ἀλλὰ καταλιμπάνοντες νοσοῦντας ἀτημελήτους, καὶ τεθνεῶτας ἀτάφους· οἱ δὲ καὶ αὐτοὶ ἦσαν ἀναπεπλησμένοι τῆς λύμης καὶ ὅλως δυσθανατοῦντες καὶ οὐδὲ ἑαυτοῖς δυνάμενοι βοηθεῖν. (3) Εἰσὶ δὲ οἳ καὶ κατακλείσαντες ἑαυτοὺς ἐν τοῖς δωματίοις ἔμενον ἀπρόϊτοι, καὶ πολλοὶ ἐξ αὐτῶν αὐτοῦ θνήσκοντες ἔκειντο ἄταφοι ἐπὶ δυσὶ καὶ τρισὶν ἡμέραις ἀγνοούμενοι πολλάκις, ἐθάπτοντο δὲ καὶ ξύνδυο καὶ ξύντρεις καὶ κατὰ πλείους πολλάκις μιᾷ παραδιδόμενοι θήκῃ, καὶ ὁ θάπτων σήμερον ἕτερον αὔριον ὑπ' ἄλλου ἐθάπτετο, πρεσβῦται δὲ καὶ θῦται καὶ ἱερεῖς οὐχ ἤρκουν ἐς τὰς ἐκφορὰς καὶ ἐξόδους καὶ τὰς ἐπιταφίους ᾠδὰς καὶ εὐχὰς, οὐδὲ τῇ γῇ κρύπτειν τοὺς ἀπογινομένους, ἀλλ' ἐξέκαμον· πανημέριοι γὰρ διακαρτεροῦντες ἄβρωτοι καὶ ἄσιτοι θέρους ἀντέχειν ὅλως οὐκ εἶχον, ἀπέθνησκον δὲ οἱ μὲν τριταῖοι, οἱ δὲ τεταρταῖοι, οἱ δὲ καὶ ἑβδομαῖοι. (4) Καὶ τὸ δεινὸν καθ' ἡμέραν ἐπεδίδου διὰ πάσης ἡλικίας ἤδη χωροῦν, καὶ ἐπὶ μᾶλλον ἐξήπτετο, καὶ ἡ πόλις ἐκενώθη τῶν οἰκητόρων, ἀστῶν τε καὶ ξένων, καὶ χωρίον ἐρημόν τι ὅλως ἀνθρώπων ἐδόκει εἶναι, τῶν μὲν ἀπολωλότων τε καὶ ἀπολλυμένων τῇ νόσῳ, τῶν δὲ, ἧπερ ἔφην, ἐξοικιζομένων τε καὶ φευγόντων, τῶν δὲ ἐν τοῖς οἴκοις ὥσπερ καταδίκων ἀποκεκλεισμένων· καὶ ἡ ἀθυμία πολλὴ καὶ ἡ λύπη οὐ φορητὴ καὶ κοπετὸς καὶ ὀλοφυρμὸς πανταχοῦ, καὶ ἡ ἀπόγνωσις καὶ δυσελπιστία τὰς πάντων ἐκράτει ψυχὰς, καὶ ἡ τῆς προνοίας ὅλως ἐξερρύηκε δόξα, καὶ πάντα εἰκῇ καὶ ὡς ἔτυχε ἐνομίζετο φέρεσθαι, ὡς οὐδενὸς ἐπιστατοῦντος τῶν γινομένων. Οὕτω πάντας ἐξέπληξε ὁ τοῦ πάθους παράλογος.

XVIII. Λέξω δὲ καὶ αὐτὸ τὸ εἶδος τῆς νόσου. Τὰ μὲν γὰρ πρῶτα περὶ τοὺς βουβῶνας ἐστηρίζετο τὸ δεινὸν ὁποιδήποτε, καὶ τὸ σημεῖον ἐν τούτοις ἐδείκνυτο ἢ μεῖζον ἢ ἔλαττον· ἔπειτα προσέβαλλε σφοδρῶς τῇ κεφαλῇ, καὶ θέρμας ἰσχυρὰς ἐνεποίει ταύτῃ καὶ φλεγ-

---

§ 5. Cf. Seadeddin. 2, p. 240 : *Il rè... distruggendo la grandezza e la baldanza d'Ischiender, compartì il suo paese in due Sangiaccati, e li conferì a due suoi ministri, et anco li suoi grani e beni che lasciò dietro di se vennero nel poter de' ministri regii; et egli fuggendosi con la testa nuda e cruda e con le laghrime agl' occhi al mar Adriatico tutto confuso, ansio et disperato si nascose in un cantone, dove si consumò in cenere di dolore* Scanderbegus in Alessione Venetorum urbe febri mortuus est mense Januarii 6976, 1468 (non vero 1467, ut Zinkeisen statuit, et multo minus anno 1466, ut apud Barletium falso legitur et cum illo Hammerus statuit). V. Phrantzes p. 430, 1 : καὶ τῷ Ἰανουαρίῳ μηνὶ τοῦ αὐτοῦ ἔτους (6976) καὶ ὁ τῆς Ἀλβανιτίας αὐθέντης Σκαντάρης τέθνηκε φυσικῷ θανάτῳ. || — τὴν ἀρχὴν et mox καὶ χάρακα βαλόμενος add. margo.

XVII. § 1. Phrantzes p. 429 : Τοῦ αὐτοῦ χρόνου (an. 6975) τῷ θέρει ἐγεγόνει τοσαύτη λοιμώδης νόσος ἔν τε τῇ Κωνσταντινουπόλει, Ἀδριανουπόλει καὶ Καλλιουπόλει καὶ ταῖς πέριξ αὐτῶν πόλεσι καὶ κώμαις, ἄστεσί τε καὶ χώραις, οἷα οὐ γέγονεν ἐν τοῖς παρελθοῦσι χρόνοις ἐκ πολλοῦ καιροῦ, ὥστε τεθνήκασιν, ὥς φασι, μυριάδες πολλαὶ ἀνθρώπων, οὐ χιλιάδες, ἐν οἷς δὴ καὶ ἡ τοῦ δεσπότου θυγάτηρ ἡ ἀμήρισσα ἀπέθανε. || — οὐκ οἶδ' ... ἐπελθοῦσα] add. mgo. || — § 3. ἐπὶ δυσὶ καὶ τρισὶ ἡμέραις] margo, ἐπὶ δύο καὶ τρεῖς ἡμέρας text. || — ἐς τὰς ἐκφορὰς καὶ ἐξόδους] add. mgo. || — § 4. διὰ πάσης... χωροῦν] add. mgo. || — δυσελπιστία] supra versum, ἀνελπιστία in versu. || — ὁ παράλογος] substantivo dictum ut ap. Thuc. 2, 85. 7, 28. Phot. Lex. p. 386, 17.

XVIII. Λέξω etc.] Cf. pestis descriptio apud Thucydidem 2, 48 3 sqq. (ἐγὼ δὲ οἷον ἐγίνετο λέξω etc.), quam ob

.ονὰς περί τε τὰς κοιλίας τοῦ ἐγκεφάλου καὶ τοὺς μένας καὶ μήνιγγας, καὶ φλογώσεις καὶ ἐρυθήματα οῦ προσώπου· κἀκ τούτου τισὶ μὲν ἀναισθησίαν νειργάζετο καὶ ὕπνον βαρὺν καὶ καταφοράν, τισὶ δὲ αὶ τοὐναντίον φρενῖτιν καὶ παραπληξίαν καὶ ἀγρυ-:νίαν ἐπέφερεν· εἶτα ἐστηρίζετο περὶ τὴν καρδίαν ὁ :όνος ὅλος καὶ τὸ δεινὸν μετὰ πυρετοῦ λάβρου τε .αὶ διακαοῦς τά τε ἔνδον ξυμφλέγοντος καὶ ξυγκαίοντος :αὶ φλεγμονὰς ἐμποιοῦντος αὐτῇ σφοδροτάτας, καὶ ξόπτησιν τοῦ ὅλου αἵματος καὶ φθορὰν καὶ ὀδύνας σχυρὰς ἐκ τούτου καὶ ἀλγηδόνας δριμείας καὶ βοὰς τῶν ἰπολωλότων, καὶ παλμοὺς ξυνεχεῖς καὶ ὀξεῖς καὶ ἆσθμα ϐαρὺ καὶ δυσῶδες καὶ φρίκην δεινὴν καὶ ψύξιν καὶ ἑκρωσιν τῶν ἄκρων καὶ τελευταῖον θάνατον. Τοιοῦτον ὴ τι καὶ τὸ εἶδος τῆς νόσου, ὡς ἐμοί γε κατεφάνη :ἶναι τὰ πλεῖστα παραλιπόντι.

XIX. Βασιλεὺς δ' οὐ πολλὰς ἡμέρας τὸ Κρουὲς πολιορκῶν, ἐπειδὴ ἔγνω ἀδύνατά οἱ ἂν οὔτ' ἐκ προσ-ϐολῆς τοῦτο βίᾳ τοῖς ὅπλοις ἑλεῖν (ἦν γὰρ ἐρυμνό-:ατον τὸ ἄστυ καὶ πάντῃ ἀπόμαχον), οὔτε πειθοῖ τροσάξεσθαι, στρατιὰν ἔγνω δεῖν ἱκανὴν αὐτόσε κα-:αλιπόντα καὶ στρατηγὸν, ὡς ἐς χρονίαν πολιορκίαν, ιὐτὸν ἀναχωρῆσαι ἐς τὸ Βυζάντιον καὶ μὴ μάτην πονεῖν :αὶ κόπτειν αὑτόν τε καὶ τὴν στρατιὰν, ἐνὸν λιμῷ τε ιαὶ πολιορκίᾳ μακρᾷ περιγενέσθαι τοῦ ἄστεος. (2) Καὶ δὴ δόξαν οὕτω, καταλιπὼν στρατηγὸν αὐτοῦ μετὰ στρατιᾶς ἱκανῆς, ἀκραιφνοῦς καὶ νεήλυδος, ὥστε δύνασθαι πολιορκεῖν τὸ ἄστυ καὶ πάσης τῆς ἔξω χώρας κρατεῖν, αὐτὸς διαδοὺς τήν τε λείαν ἅπασαν καὶ τὰ ἀνδράποδα πάσῃ τῇ στρατιᾷ, καὶ ἀπολύσας αὐτοὺς, ᾔει ξὺν τῇ ἰδίᾳ αὐλῇ τὴν ἐπὶ τὸ Βυζάντιον. (3) Πυθόμενος δὲ καθ' ὁδὸν τήν τε χώραν ἅπασαν Θράκης τε καὶ Μακεδονίας καὶ τὰς ἐν αὐτῇ πόλεις, δι' ὧν ἔμελλε ποεῖσθαι τὴν πάροδον, τῇ λοιμώδει νόσῳ κατεχομένας τε καὶ διαφθειρομένας κακῶς, καὶ δὴ καὶ τὴν μεγάλην πόλιν αὐτὴν ἀγομένην καὶ φερομένην ὑπό τε τῆς λύμης καὶ τοῦ δεινοῦ, μεταβαλὼν εὐθὺς ᾔει τὴν ἐπί τε τὸν Αἶμονα καὶ τὴν ἄνω Μυσίαν· ταύτην τε γὰρ ἐπυνθάνετο καὶ τὰ ὑπὲρ τὸν Αἶμονα πάντα καθαρεύειν τῆς νόσου. (4) Καταλαβὼν δὲ τά τε περὶ Νικόπολιν καὶ Βυδήνην χωρία, ὑγιεινά τε ὄντα καὶ κράσεως εὐκαίρου λαχόντα, διαγέγονε τὸ φθινόπωρον ὅλον αὐτοῦ διατρίβων. Μετὰ μικρὸν δὲ μαθὼν λωφῆσαν ἤδη τὸ πάθος, καὶ τοῦ λυποῦντος καθαρεύειν τὴν πόλιν (εἶχε γὰρ ἀγγέλους συχνοὺς καθ' ἡμέραν σχεδὸν ἐκ διαδοχῆς διαθέοντας καὶ ἀγγέλλοντας τὰ ἐκεῖ), χειμῶνος ἀρχομένου ἤδη, ἀφικνεῖται ἐς τὸ Βυζάντιον. Καὶ πέμπτον δὴ καὶ ἑβδομηκοστὸν ἔτος πρὸς ἐνναχοσίοις τε καὶ ἑξακισχιλίοις τοῖς ὅλοις ἠνύετο, ἕβδομον δὲ καὶ δέκατον τῆς ἀρχῆς τῷ βασιλεῖ.

ιculos habuisse Critobulum probabile est. || — § 1. ἐδείκνυτο] margo, ἐξέφερεν text. || — καὶ παραπληξίαν et mox καὶ ὁ δεινὸν add. margo.

XIX. § 1. Καταλιπόντα ... αὐτὸν] καταλιπὼν... αὐτός codex. || — § 3. πυθόμενος δὲ κτλ.] Cf. Sededdin. 2, p. 240 : *Essendo dunque sortito l'acquisto d'Albania con molta facilità, il re sene ritornò in dietro. Ma perchè all' ιora era l'aria infetta, e regnava la peste in Grecia, però senza entrarvi nelle città, si volto verso la costiera lel mar negro, e fin alla venuta del inverno si trattene in quelle parti sotto li suoi padiglioni. Ma poi cessata a peste e la corruttion dell' aria, passò per via d'Aidos alla sua residenza di Constantinopoli.* || — § 4. διαϑέοντας] sic margo, διατρέχοντας textus.

PHOTII

DE ROSSORUM INCURSIONE HOMILIÆ DUÆ.

I.

ΤΟΥ ΑΥΤΟΥ ΑΓΙΩΤΑΤΟΥ ΦΩΤΙΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ ΟΜΙΛΙΑ ΠΡΩΤΗ ΕΙΣ ΤΗΝ ΕΦΟΔΟΝ ΤΩΝ ΡΩΣ.

Τί τοῦτο; τίς ἡ χαλεπὴ αὕτη καὶ βαρεῖα πληγὴ καὶ ὀργή; πόθεν ἡμῖν ὁ ὑπερβόρειος οὗτος καὶ φοβερὸς ἐπέσκηψε κεραυνός; ποῖα νέφη παθῶν πυκνωθέντα; τινῶν δὲ κριμάτων σφοδραὶ παρατρίψεις τὴν ἀνυπόστατον ταύτην καθ' ἡμῶν ἐξεπυρήνισαν ἀστραπήν; πόθεν ἡ βαρβαρικὴ αὕτη καὶ πυκνὴ καὶ ἀθρόα κατερράγη θάλασσα; οὐ καλάμην σίτου κείρουσα καὶ τὸν στάχυν συμπατάσσουσα, οὐδὲ κληματίδας ἀμπέλου μαστίζουσα καὶ τὸν καρπὸν ἄωρον τεμαχίζουσα, οὐδὲ φυτῶν τὰ στελέχη τύπτουσα καὶ τοὺς κλάδους διασχίζουσα (ὃ πολλοῖς πολλάκις μέτρον ἐπλή-

Critobuli narrationi de Constantinopoli a Turcis expugnata quasi appendicem subjungo Photii homilias duas de prima Rossorum expeditione Constantinopolitana (865 p. C.). Earum notitia quædam ad viros doctos jam olim pervenerat e duobus codicibus nunc, ut videtur, deperditis, altero Mosquensi, altero Escorialensi, de quibus v. E. Kunik in *Bulletin de la classe historico-philologique de l'Acad. imp. des sc. de St-Pétersbourg* tom. 6. (an. 1849) p. 373-379, et tom. 7 (an. 1850) p. 72-74 et tom. 8 (an. 1851) p. 185. Nuper easdem e codice Athoi τῶν Ἰβήρων monasterii arte photographica exprimendas curavit Sebastianow, vir de promovendis studiis philologicis meritissimus. Inde typis expressas et suis curis emendatas edidit Augustus Nauck (*Lexicon Vindobonense rec. et annot. instruxit Aug. Nauck. Accedit appendix duas Photii homilias et alia opuscula complectens. Petropoli* 1867. 8° p. 201-232). Rossicam homiliarum versionem, cui græcorum verborum particulæ passim adjunguntur, anno 1864 Petropoli edidit Porphyrius Uspenski, « qui quum locis permultis, Nauckius p. XXIX ait, a codice discesserit, ne semel quidem traditæ scripturæ mutationem a se factam commemoravit. Discrepantiæ illius et nostræ editionis tot tantæque sunt, ut non mirer si quis dubitarit num uno eodemque fonte uterque nostrum usus sit. Utrum illi an mihi fides habenda sit, facile viderit qui vel codicem Athoum vel photographicum homiliarum exemplum denuo contulerit. » Quum ipse quoque e photographico exemplo Petropoli Parisios misso homilias anno 1866 descripserim, pro certo scio et attestor Nauckium in describendo summa fide tantaque diligentia versatum esse, ut vel minima scribæ sphalmata, quæ enotare vix operæ pretium, recensuerit. Quodsi in paucis quibusdam meum apographum a Nauckiano differt, nescio an meo errori discrepantiæ culpa imputanda sit. Nonnulla Nauckius an. 1860 facili negotio legisse videtur quæ an. 1866 adeo jam evanida erant, ut vix levissimas quasdam literarum umbras vel perspicillorum ope adjutus distinguerem. Ceterum codex Athous, Porphyrio teste, chartaceus est formæ maximæ, quem scriba finivit die 26 mens. April. an. 1627, quamquam id Nauckius dicit dubitationi obnoxium esse usque dum aliunde confirmetur. Photogramma foliis constat longis 20 centimetra, largis vero 30 centimetra. Versus in singulis paginis viceni. Scriptus codex manu eleganti, non ubique tamen lectu facili. Codex continet epistolas duas ad Nicolaum papam, epistolam ad ecclesiam Antiochenam, canones Constant. synodi primæ et secundæ, homilias sedecim, epistolas varias 275, Amphilochia. Nostræ homiliæ duæ in codice notantur numeris η' et θ'; leguntur in pagg. 86-102.

De incursione Rossorum in ditionem Const. vid. Th. S. Beyerus *De Russorum prima expeditione Constantinopolitana* in Comment. Academ. scient. Petropolitanæ tom. 6, Petrop. 1738 p. 365-391 et E. Kunik in *Berufung der Rosden* 2, p. 332. Græci scriptores qui de ea re verba fecerunt, a Naukio citantur :

Leo gramm. p. 240 ed. Bonn. : Ὁ δὲ βασιλεὺς ἐπεστράτευσεν κατὰ τῶν Ἀγαρηνῶν, καταλιπὼν ἐν τῇ πόλει ταύτῃ Ὠορύφαν ὕπαρχον ὄντα, ὅστις, οὔπω τοῦ βασιλέως οὐδὲν ἐξ ὧν ἐμελέτα καὶ κατὰ νοῦν εἶχεν κατεργασαμένου, τὴν τῶν ἀθέων Ῥὼς ἐμήνυσεν ἄφιξιν, γεγενημένων ἤδη κατὰ τὸν Μαῦρον ποταμόν. Καὶ ὁ μὲν βασιλεὺς καὶ τῆς ἐχομένης ἐπεσχέθη ὁδοῦ, καὶ δι' ἣν ταύτην ἀφῆκεν, οὐδὲν βασιλικὸν καὶ γενναῖον εἰργάσατο· οἱ δὲ Ῥὼς φθάσαντες ἔνδον τοῦ Ἱεροῦ πολὺν εἰργάσαντο φόνον Χριστιανῶν καὶ ἀθῶον αἷμα ἐξέχεον. Ὑπῆρχον δὲ πλοῖα διακόσια, ἃ περιεκύκλωσαν τὴν πόλιν, καὶ πολὺν φόβον τοῖς ἔνδοθεν ἐνεποίησαν. Ὁ δὲ βασιλεὺς καταλαβὼν μόλις ἴσχυσεν διαπερᾶσαι, καὶ δὴ σὺν τῷ πατριάρχῃ Φωτίῳ εἰς τὸν ἐν Βλαχέρναις ναὸν τῆς τοῦ θεοῦ μητρὸς παρεγένοντο κἀκεῖ τὸ θεῖον ἐξιλεοῦνται. Εἶτα μεθ' ὑμνῳδίας τὸ ἅγιον ἐξαγαγόντες τῆς θεοτόκου ὠμοφόριον τῇ θαλάσσῃ ἄκρως προσέβαψαν, καὶ νηνεμίας οὔσης εὐθὺς ἀνέμων ἐπιφοραὶ καὶ τῆς θαλάσσης ἠρεμούσης κυμάτων ἐπαναστάσεις ἀλλεπάλληλοι ἐγεγόνεισαν, καὶ τὰ τῶν ἀθέων Ῥὼς πλοῖα κατεάγησαν, ὀλίγων ἐκπεφευγότων τὸν κίνδυνον. Eadem fere præbent Georgius monachus p. 826 ed. Bonn. et Symeon magister p. 674.

Theophanes contin. 4, 33, p. 196, 6 : Ἐντεῦθεν γοῦν τὰ μὲν τῶν Ῥωμαίων ἡ τῶν Ῥὼς ἐκάκου ἐπιδρομή· ἔθνος δὲ οὗτοι Σκυθικὸν ἀνήμερόν τε καὶ ἄγροικον, τόν τε Πόντον αὐτὸν, οὐ μὴν καὶ τὸν Εὔξεινον, κατεπίμπρα καὶ αὐτὴν τὴν πόλιν περιεστοίχιζεν, τηνικαῦτα τοῦ Μιχαὴλ κατὰ Ἰσμαηλιτῶν ἐκστρατεύοντος. Πλὴν ἀλλ' ἐκεῖνοι μὲν τότε θείας ἐμφορηθέντες ὀργῆς, Φωτίου τὸ θεῖον ἐξιλεωσαμένου τοῦ τῆς ἐκκλησίας τοὺς οἴακας ἔχοντος, οἴκαδε ἐκπεπόρευντο.

ρωσεν ἐσχάτης κακώσεως), ἀλλ' ἀνθρώπων αὐτῶν οἰκτρῶς τὰ σώματα συναλήθουσα καὶ τὸ γένος ἅπαν πικρῶς ὀλοθρεύουσα. (2) Πόθεν ἢ πῶς τῶν τηλικούτων καὶ τοσούτων κακῶν ὁ τρυγίας, ὅ τι μὴ μεῖζον εἰπεῖν, ἐξεχύθη ἐφ' ἡμᾶς; ἆρ' οὐ διὰ τὰς ἁμαρτίας ἡμῶν ταῦτα πάντα ἦλθεν ἐφ' ἡμᾶς; οὐχ ἔλεγχος ταῦτα καὶ ἀνάγραπτος θρίαμβος τῶν ἡμετέρων παραπτωμάτων; οὐχὶ δὲ καὶ τεκμηριοῖ τὸ τῶν παρόντων φοβερὸν τὰ τῶν μελλόντων φρικτὰ καὶ ἀδέκαστα δικαιωτήρια; (3) Οὐχ ἐλπὶς ἁπάντων ἡμῶν, μᾶλλον δὲ κοινὴ προκειμένη ὄψις, ἵνα μηδὲ τῆς συμφορᾶς τοῖς ἔπειτα πυρφόρος ἐκφύγῃ, μηκέτι μηδένα εἰς τὸ περιεῖναι ἐγκαταλειφθῆναι· ὄντως « ἐλασσονοῦσι φυλὰς ἁμαρτίαι »(Prov. 14, 34) καὶ* ὡς ῥομφαία δίστομος πᾶσι τοῖς χρωμένοις αὐτῇ. (4) Ἐῤῥύσθημεν κακῶν οἷς πολλάκις συνεσχέθημεν· δέον εὐχαριστεῖν, οὐκ εὐγνωμονήσαμεν· ἐσώθημεν, ἠμελήσαμεν· ἐφρουρήθημεν, κατεφρονήσαμεν· ἐφ' οἷς δέος ἦν τιμωρίαν ὑποσχεῖν. Ὢ γνώμης ὠμῆς καὶ ἀδιακρίτου καὶ τί γὰρ οὐχὶ τῶν δυσχερῶν καὶ δεινῶν πάσχειν ἀξίας. Τοὺς μικρά τινα καὶ τῶν εὐτελεστάτων ὀφείλοντας ἀποτόμως εἰσεπραξάμεθα, ἐτιμωρησάμεθα· οὐκ ἐμνήσθημεν τῆς εὐχαριστίας, παρελθούσης τῆς εὐεργεσίας, οὐδ', ὅτι συγγνώμης ἐτύχομεν, τοὺς πλησίον ᾠκτειρήσαμεν· ἀλλ' ἐν ᾧ τῶν ἐπικρεμασθέντων φόβων καὶ κινδύνων ἀπηλλάγημεν, ἀγριώτεροι τούτοις κατέστημεν, μήτε τὸ πλῆθος καὶ μέγεθος τῶν οἰκείων ὀφλημάτων καὶ τὴν ἐπὶ τούτοις τοῦ σωτῆρος συγχώρησιν λογισάμενοι, μήτε τὴν τῶν ὁμοδούλων ὀφειλὴν βραχυτάτην οὖσαν καὶ μηδὲ ἐν στάθμῃ λόγου ζυγοστατουμένην πρὸς τὰς ἡμετέρας αἰδεσάμενοι. (5) Πολλῶν δὲ καὶ μεγάλων φιλανθρώπως ἐλευθερωθέντες, ὀλίγων ἄλλους καὶ ἀφιλανθρώπως ἐδουλώσαμεν· εὐφράνθημεν, ἐλυπήσαμεν· ἐδοξάσθημεν, ἠτιμώσαμεν· ἰσχύσαμεν, εὐθηνήσαμεν, ἐξυβρίσαμεν, ἀφρονησάμεθα· ἐλιπάνθημεν, ἐπαχύνθημεν, ἐπλατύνθημεν καὶ εἰ μὴ τὸν θεὸν ὡς ὁ πάλαι Ἰακὼβ ἐγκατελίπομεν, ἀλλ' ὡς ὁ ἠγαπημένος πλησθέντες ἀπελακτίσαμεν καὶ « ὡς δάμαλις παροιστρῶσα » (Hos. 14, 16) τῶν τοῦ κυρίου προσταγμάτων παροιστρήσαμεν καὶ τῶν δικαιωμάτων αὐτοῦ κατολιγωρήσαμεν. (6) Διὰ τοῦτο « φωνὴ πολέμου καὶ συντριβὴ πολέμου ἐν τῇ γῇ » ἡμῶν (Ierem. 27, 22). Διὰ τοῦτο « ἤνοιξε κύριος τὸν θησαυρὸν αὐτοῦ καὶ ἐξήνεγκε τὰ σκεύη τῆς ὀργῆς αὐτοῦ » (Ierem. 27, 25). Διὰ τοῦτο « λαὸς ἐξεῖρψεν ἀπὸ βορρᾶ », ὡς εἰς ἄλλην ἐπελαύνων Ἱερουσαλήμ, καὶ « ἔθνη ἐξηγέρθη ἀπ' ἐσχάτου τῆς γῆς, τόξον καὶ ζιβύνην κρατοῦντες. Ἰταμός ἐστι καὶ οὐκ ἐλεεῖ· φωνὴ αὐτοῦ ὡς θάλασσα κυμαίνουσα· ἠκούσαμεν τὴν ἀκοὴν αὐτῶν » (Id. 6, 22-24), μᾶλλον δὲ ἀθρόαν εἴδομεν τὴν ὄψιν αὐτῶν, καὶ « παρελύθησαν αἱ χεῖρες ἡμῶν· θλῖψις κατέσχεν ἡμᾶς καὶ ὠδῖνες ὡς τικτούσας· μὴ ἐκπορεύεσθε εἰς ἀγρὸν καὶ ἐν ταῖς ὁδοῖς μὴ βαδίζετε ὅτι ῥομφαία παροικεῖ κυκλόθεν » (Id. 6, 25). « Τί μαρτυρήσω σοι, ἢ τί ὁμοιώσω σοι, » Ἱερεμίας σὺν ἐμοὶ κεκράξεται σήμερον, πόλις βασιλίς; « Τίς σώσει σε καὶ παρακαλέσει σε, ὅτι ἐμεγαλύνθη ποτήριον συντριβῆς σου; Τίς ἰάσεταί σε; » (Thren. 2, 13) Νῦν κλαίετε· μικροῦ κἀμὲ τὸ πάθος ἐβύθισε καὶ τοῦ λέγειν ἀνέκοψεν. Ἀλλὰ τί βοᾶτε πρός με; τί δὲ ὀδύρεσθε; ἀκούσατέ μου· στήσατε μικρὸν τὸν κλαυθμόν, καὶ δότε τοῖς λόγοις πάροδον. (7) Δακρύω μὲν γὰρ κἀγὼ σὺν ὑμῖν· ἀλλ' οὔτε τὴν ἐν χρόνῳ ἀναῤῥιπισθεῖσαν φλόγα μικραὶ ῥανίδες σβεννύουσι, τί γὰρ δεῖ λέγειν; ὡς πλέον ἀνάπτουσιν, οὔτε τὸν ἐκκαυθέντα ὑπὸ τῶν ἡμετέρων ἁμαρτημάτων θυμὸν τοῦ θεοῦ πρόσκαιρον δάκρυον ἰσχύει ἐξιλεώσασθαι. Δακρύω κἀγὼ σὺν ὑμῖν, ἀλλὰ πολλῶν ταλαιπωρουμένων παρείδομεν δάκρυα· παρα-

Nicetæ Paphl. Vita Ignatii in Harduini Act. concil. tom. 5 (Paris. 1714) p. 965 : Κατ' ἐκεῖνον γὰρ τὸν καιρὸν τὸ μιαιφονώτατον τῶν Σκυθῶν ἔθνος, οἱ λεγόμενοι Ῥῶς διὰ τοῦ Εὐξείνου πόντου προσκεχωρηκότες τῷ Στενῷ καὶ πάντα μὲν χωρία, πάντα δὲ μοναστήρια διηρπακότες, ἔτι δὴ καὶ τῶν τοῦ Βυζαντίου περιοικίδων κατέδραμον νησίων, σκεύη μὲν πάντα ληιζόμενοι καὶ χρήματα, ἀνθρώπους δὲ τοὺς ἁλόντας πάντας ἀποκτείνοντες. Πρὸς οἷς καὶ τῶν τοῦ πατριάρχου μοναστηρίων βαρβαρικῷ καταδραμόντες ὁρμήματι καὶ θυμῷ πᾶσαν μὲν τὴν εὑρεθεῖσαν κτῆσιν ἀφείλοντο, εἴκοσι δὲ δύο τῶν γνησιωτέρων αὐτοῦ κεκρατηκότες οἰκετῶν, ἐφ' ἐνὶ τροχαντῆρι πλοίῳ τοὺς πάντας ἀξίναις κατεμέλισαν.

Idem ib. p. 976 : Μέσον γὰρ Πλατείας τῆς νήσου ναὸς τοῖς τεσσαράκοντα μάρτυσι ἐνίδρυται, αὐτοῦ δὲ ἐχόμενον τῆς θεομήτορος εὐκτήριον. Τούτου τὴν τράπεζαν πρῴην οἱ Ῥῶς τὴν νῆσον πορθοῦντες κατέβαλον εἰς γῆν, ὁ δ' Ἰγνάτιος αὖθις ἀνεθρόνισε.

Photii ep. 4 p. 178 ed. Baletta (Londin. 1864) : Καὶ γὰρ οὐ μόνον τὸ ἔθνος τοῦτο (τῶν Βουλγάρων sc.) τὴν εἰς Χριστὸν πίστιν τῆς προτέρας ἀσεβείας ἠλλάξατο, ἀλλά γε δὴ καὶ τὸ παρὰ πολλοῖς πολλάκις θρυλλούμενον καὶ εἰς ὠμότητα καὶ μιαιφονίαν πάντας δευτέρους ταττόμενον, τοῦτο δὴ τὸ καλούμενον τὸ Ῥῶς, οἱ δὴ καὶ κατὰ τῆς Ῥωμαϊκῆς ἀρχῆς τοὺς πέριξ αὐτῶν δουλωσάμενοι, κἀκεῖθεν ὑπέρογκα φρονηματισθέντες χεῖρας ἀντῆραν· ἀλλ' ὅμως νῦν καὶ οὗτοι τὴν τῶν Χριστιανῶν καθαρὰν καὶ ἀκίβδηλον θρησκείαν τῆς Ἑλληνικῆς καὶ ἀθέου δόξης, ἐν ᾗ κατείχοντο πρότερον, ἀντηλλάξαντο, ἐν ὑπηκόων ἑαυτοὺς καὶ προξένων τάξει, ἀντὶ τῆς πρὸ μικροῦ καθ' ἡμῶν λεηλασίας καὶ τοῦ μεγάλου τολμήματος, ἀγαπητῶς ἐγκαταστήσαντες. Præterea brevis rei mentio fit ap. Zonaram 162, et Cedrenum tom. 2, p. 173 ed. Bonn.

§ 2. Τεκμηριοῖ... φοβερόν] τεκμήριον... φοβερῶν codex; emend. Nauckius.

§ 3. Καὶ ὡς ῥομφαία] Excidisse aliquid videtur, monente Nauckio. An καὶ εἰσὶ vel καθὼς ῥ... αὐταῖς? || — § 4. ὠμῆς δὲ καὶ ἀδιακρίτου] Sic legit Nauck.; nunc una litera ὠ in codice apparet; ceteræ evanuerunt.

§ 5. Ἐλευθερωθέντες] Meum apographum lectionem vitiosam ἐλευθερωθέντων præbet; eodem modo etiam Porphyrius Uspenski legit. Deinde Porphyrius pro ἄλλους, quod distincte in codice apparet, legit ἀλοεῖς, sensumque verborum esse hariolatur : nos paucos in spicis excutiendis occupatos in servitudinem redegimus. || — ἀφρονησάμεθα] ἠφρονευσάμεθα Nauck. || — εἰ μὴ τὸν θεὸν] Hæc nunc in codice evanida.

§ 7. Ἐκινήσαμεν] sc. δάκρυα; sic scripsi pro ἐκενώσαμεν quod sensu caret. || — διαφυλαχθέντων] Corruptum. διαφλεχθέντων proposuit Nauckius. Mihi in mentem venit διαψυχασθέντων, *refrigeratis*, vel διαφραχθέντων, *obturatis*.

τρέχω γὰρ ὡς καὶ ἐκινήσαμεν· δακρύω κἀγὼ σὺν ὑμῖν, εἴπερ ἐστὶ δακρύων καιρὸς ὁ παρὼν καιρός, ἀλλὰ μὴ πολλῷ μείζων τῆς τῶν δακρύων φορᾶς ἡ καταλαβοῦσα συμφορά· εἰσὶ γάρ, εἰσὶν ὄντως μείζους δακρύων πολλαὶ συμφοραί, ἐν αἷς τῶν ἔνδον ὑπὸ τοῦ στηριχθέντος διαφυλαχθέντων * ἢ καὶ σφόδρα γε συσταλέντων τε καὶ συμμεμυκότων, οὐδὲ ἡ διὰ τῶν ὀμμάτων προχεομένη πολλάκις καταλείπεται νοτίς. (8) Οὐχ ὁρῶ δὲ νῦν οὐδὲ τῶν δακρυόντων τὸ κέρδος· ὅτε γὰρ πρὸ τῶν ἡμετέρων ὀμμάτων τὰ τῶν ἐχθρῶν ξίφη τοῖς τῶν ὁμοφύλων βαπτίζεται αἵμασιν, ἡμεῖς δὲ τοῦτο καθορῶντες ἐπικουρεῖν δέον τοῦτο μὲν ἀπορίᾳ τοῦ πράττειν οὐχ ἀναδεχόμεθα, εἰς δάκρυα δὲ καταφερόμεθα, ποταπὴ τοῖς ἀτυχοῦσι παράκλησις ἐπιγίνεται; μείζους ἂν ποταμοὺς τὰ ἀπὸ τῶν διαιρεθέντων σωμάτων ἐκίνησεν αἵματα ἢ τὰ ἀπὸ τῶν ἡμετέρων βλεφάρων ἀναδιδόμενα δάκρυα. Ἀλλ' ὅτε ταῖς ἐκεῖθεν καταφερομέναις τῶν λύθρων ῥοαῖς ὁ τῶν πλημμελημάτων οὐκ ἀποσμήχεται μολυσμός, ἤπου γε τὰ τῶν ὀμμάτων ῥεῖθρα τοῦτον ἐκπλῦναι δυνηθήσεται; (9) Οὐ νῦν ἔδει κλαίειν, ἀγαπητοί, ἀλλὰ τὴν ἁμαρτίαν μισεῖν ἀπ' ἀρχῆς· οὐ νῦν πενθεῖν, ἀλλὰ τὰς δι' ὧν ἡμῖν τὸ πένθος ἐξέφυ πάλαι φεύγειν ἡδονάς. Ἴσον γάρ ἐστι δεσπόταις καταδουλωθέντα πικροῖς τὴν ἀπὸ τῶν μαστίγων βάσανον μὴ βούλεσθαι καρτερεῖν καὶ πράξεσιν ἑαυτοὺς ἐκδεδωκότας πονηραῖς τὰς ἀπὸ τῆς δικαιοκρισίας τοῦ θεοῦ ἐπαφιεμένας ἡμῖν παραιτεῖσθαι ποινάς. (10) Οὐ νῦν ἐχρῆν ὀλοφύρεσθαι, ἀλλὰ διὰ βίου σωφρονεῖν· οὐ νῦν τὸν πλοῦτον σκορπίζειν, ὅτε μηδ' αὐτὸς οἶδας εἰ τούτου κύριος ἔτι καταστήσῃ, ἀλλὰ πάλαι τῶν ἀλλοτρίων ἀπέχεσθαι, ὅτε ἡ παροῦσα θραῦσις οὔπω ἐστήρικτο καθ' ἡμῶν· οὐ τὸν νῦν ἔλεον ἐμπορεύεσθαι, ὅτε ἡ τοῦ βίου πανήγυρις ἐν ἐλπίδι κεῖται τοῖς ἐνεστηκόσι λυθῆναι κακοῖς, ἀλλ' ἐν ᾧ τοῦ δύνασθαι ἡ ἐξουσία περιῆν μηδέποτε ἀδικεῖν· οὐ νῦν παννυχίζειν καὶ λιταῖς προστρέχειν καὶ στήθη τύπτειν καὶ βαθὺ στενάζειν καὶ χεῖρας ἐπαίρειν καὶ γόνατα κάμπτειν καὶ γοερὰ δακρύειν καὶ στυγνὸν προσβλέπειν, ὅτε τοῦ θανάτου τὰ κέντρα ἠκονημένα ἥκει καθ' ἡμῶν. Πάλαι ταῦτα προσῆκε ποιεῖν, πάλαι σχολάζειν τοῖς ἀγαθοῖς ἔργοις, πάλαι μετανοεῖν ἐπὶ τοῖς κακοῖς· ἐν ᾧ γὰρ ταῦτα πράττομεν νυνὶ παρά γε δικαίῳ μάλιστα κριτῇ καὶ μὴ παραπολὺ τὴν γνώμην πρὸς τὴν συγγνώμην ἐπιρρεπῶς ἔχοντι, οὐκ εἰς ἔλεον, οἶμαι, κινοῦμεν τὸν θεόν, ἀλλὰ τῶν ὑπηργμένων ἡμῖν ἁμαρτημάτων κατήγοροι καθιστάμεθα πικροί. (11) Οἳ γὰρ οὔτ' ἀτενὲς σωφρόνως καὶ θεοφιλῶς ἐπιστάμενοί τε καὶ κατισχύοντες ἐμβιοῦν, εἶτα πρὶν ᾖ τῶν κακῶν ἐπιδήμιος ἡ φορά, μηδὲν εἰς ἀρετῆς καὶ σωτηρίας λόγον πραξάμενοι, ἀλλ' ἀμελῶς οὕτω καὶ ῥαθύμως τὰς ἑαυτῶν ψυχὰς τοῖς πάθεσι κηλιδώσαντες, πῶς οὐκ αὐτοκατακρίτους εἰσάγουσιν ἑαυτούς; (12) Τί γὰρ νῦν πενθῶν οὐ πρότερον ἐξίστασο γελώτων μὲν ἀκρατῶν, ᾀσμάτων δὲ πορνικῶν καὶ ἀθυρμάτων θυμελικῶν; Τί δὲ σκυθρωπάζων νυνὶ τὰς ὀφρῦς συνῆγες καὶ τὰς παρειὰς ἐξῆρες, τὸ πρόσωπον τυραννίδος δεικνύων μεστόν; Τί δ' ἐλεῶν τοὺς ἠδικημένους καὶ συμπαθεῖν σεμνυνόμενος λοιμὸς αὐτὸς τοῖς παρατυχοῦσιν ἐνέπιπτες ἀπροσδοκήτως; καί, λόγῳ ἑνί, τί νῦν πᾶσι καὶ πάντα χρηστὸς ὢν οὐδενὶ παρεῖχες πρότερον μέτριον σαυτόν, ἀλλὰ χειρῶν μὲν ἄρχων ἀδίκων ἐμεγαλοφρόνεις, ἀμύνασθαι δὲ τὸν ὑπονοηθέντα εἰ μὴ διεπράξω, οὐδὲ βιωτόν σοι τὸν βίον ἐνόμιζες; (13) Καὶ πένης μὲν πρὸ πυλῶν λιμώττων διέρριπτο βδέλυγμα, οἱ δὲ πρὸς γέλωτα εὐδοκιμοῦντες τῆς σῆς ἐμπιπλάμενοι τραπέζης καὶ περιουσίας οὐδὲν ἧττον ἐνετρύφων καὶ τῆς εὐηθείας, καὶ φίλων μὲν στοργὴν μικροῦ παρέβλεπες λήμματος, συγγενείας δὲ φύσιν διέπτυες καὶ δεσμοὺς βοηθείας ἐρρήγνυες, ἐρινυώδης τις ὥσπερ εἶναι φιλονεικῶν καὶ μισάνθρωπος ἄνθρωπος, πολλοῦ γε δὴ δέω καταλέγειν κλοπάς τε καὶ ἁρπαγὰς πορνείας τε καὶ μοιχείας καὶ τὰς ἄλλας ἀρρητοποιίας, τὰ μεγάλα καὶ πολυαρχῆ ταυτησὶ τῆς ἐκπυρσευθείσης ἡμῖν καὶ περιχυθείσης φλογὸς ὑπεκκαύματα. (14) Οἶδα ὅτι ταῦτα νυνὶ καὶ ὑμεῖς ἀναλογιζόμενοι πενθεῖτε καὶ σκυθρωπάζετε· ἀλλ' ὀξὺς μὲν ὁ καιρός, ἀδέκαστος δὲ ὁ κριτής, ἡ δ' ἀπειλὴ φοβερά, τὸ δὲ πλῆθος τῶν ἡμαρτημένων πολύ, καὶ οὐκ ἐξαρκοῦσα ἡ μετάνοια. Ἐγὼ πολλάκις ὑμῶν τοῖς ὠσὶ τοὺς παραινετικοὺς κατέσπειρα λόγους, τοὺς ἀπειλητικούς, ἀλλ', ὡς ἔοικεν, εἰς ἀκάνθας ἐξέφυσα· ἐδυσώπησα, ἐπέπληξα· πολλάκις ὑμῖν τὴν τῶν Σοδομιτῶν ὑπέδειξα τέφραν καὶ τὸν πρὸ ταύτης κατακλυσμόν, ἡνίκα τοῖς ὕδασι ἐπικαταρρύτου γεγενημένης τῆς γῆς ὁ τοῦ ἀνθρωπείου γένους συνετελέσθη παγκόσμιος ὄλεθρος. (15) Πολλάκις τὸν Ἰσραηλίτην παρέστησα λαὸν τὸν περιούσιον, τὸν ἠγαπημένον, τὸ βασίλειον ἱεράτευμα, διὰ γογγυσμόν, δι' ἀντιλογίαν, δι' ἀχαριστίαν, διὰ παραπλήσιον πλημμέλημα μαστιζόμενον, ταπεινούμενον ὑπὸ τῶν ἡττωμένων ἐχθρῶν καὶ καθ' ὧν αὐτὸς ἐτροπαιοφόρει ἐλασσούμενον, πίπτοντα, διολλύμενον. Πολλάκις ὑμῖν ὑπετιθέμην· φυλάξασθε, διορθώθητε, ἐπιστράφητε, μὴ ἀναμείνητε στιλβωθῆναι

§ 8. Δακρυόντων] δακρύων malim cum Nauckio. || — ἀποσμήχεται μολυσμός] ἀποσμίχεται μολισμός cod.; em. N. || — τὰ ἀπὸ τῆς] ταῖς ἀπὸ τῆς cod.; em. N.

§ 10. Προσῆκε] προσήκει cod., em. N. || — ἀγαθοῖς ἔργοις] ἔργοις ἀγ. cod.; transposuit N.

§ 11. Οἳ γὰρ οὔτ' ἀτενές] Sic scripsi pro οἱ γὰρ οὕτω τινὲς, quæ sensum non fundunt. || — πρὶν [ἂν] ᾖ τῶν κακῶν ἐπιδήμιος ἡ φορά] πρὶν ἢ τ. κ. ἐπιδημίοις ἡ φ. codex; Naukius conjecit : πρὶν ἢ τ. κ. ἐπιδημήσῃ ἡ φορά.

§ 12. Γελώτων] γελώντων cod; em. N. || — καί, λόγῳ ἑνί] Nauckius junxit : ἀπροσδοκήτως καὶ λόγῳ ἑνί; Τί [γάρ] etc. || — § 13. δὴ δέω] δεῖ δέω cod.; em. N. || — § 14. νυνὶ καὶ ὑμεῖς] ν. κ. ἡμεῖς cod.; em. N. || — § 15. λάβητε] λάβετε cod.; em. N. || — § 16. ἢ κρεῖττον] ἢ κρ. cod.; vocem ἢ Nauckius delevit. || — δίκας] δίψας cod.; em.

τὴν ῥομφαίαν· τὸ τόξον ἐντείνεται· μὴ τὴν μακροθυμίαν ἀφορμὴν καταφρονήσεως λάβητε, μὴ κατὰ τῆς χρηστότητος πονηρεύησθε· ἀλλὰ πῶς ὑμῶν τὰς καρδίας ἤδη φλεγμαινούσας ἐπιξέσω; (16) Ἢ κρεῖττον νῦν ἀλγυνομένους ἐπιπλῆξαι ἢ ἐκεῖθεν ἀνεπιτιμήτους δίκας ὑφέξοντας παραπέμψαι, καὶ τὴν παροῦσαν συμφορὰν τοῦ πρὸς ὑμᾶς ἐλέγχου συνεργὸν προσλαβεῖν ἢ διευλαβηθέντα τὸ πάθος ἀνεξέλεγκτον καταλιπεῖν τὸ ἀπειθῆσαν καὶ ἡμαρτηκός. Τί οὖν; ἐνουθετήσαμεν, ἠπειλήσαμεν, θεὸν λέγοντες· ὁ θεὸς ἡμῶν ζηλωτής, μακρόθυμος, ἀλλ' ἐὰν ὀργισθῇ, τίς ὑποστήσεται; (17) Ταῦτα ἔλεγον, ἀλλ', ὡς ἔοικεν, εἰς πῦρ ἔξαινον· τοῦτο γάρ μοι τὸ νῦν εἶναι, ὡς εἴθε μὴ ὤφελεν, παροιμιάσασθαι καίριον· οὐ γὰρ ἐπεστράφητε, οὐδὲ μετενοήσατε, ἀλλ' ἐβαρύνατε τὰ ὦτα τοῦ μὴ εἰσακούειν λόγον κυρίου. (18) Διὰ τοῦτο ἐξεχύθη ἐφ' ἡμᾶς ὁ θυμὸς αὐτοῦ καὶ ἐγρηγόρησεν ἐν ταῖς ἁμαρτίαις ἡμῶν, καὶ τὸ πρόσωπον αὐτοῦ ἐστήριξεν ἐφ' ἡμᾶς. « Οἴμοι ὅτι ἐμακρύνθη ἡ παροικία μου », καὶ μὴ μακρᾶς οὔσης μετὰ τοῦ ψαλμῳδοῦ βοήσομαι Δαυίδ (Ps. 119, 5), ἐμακρύνθη· ὅτι οὐκ εἰσηκούσθην παρακαλῶν, ὅτι νέφος βαρβάρων ὁρῶ τοῖς πταίσμασι καταξηρανθεῖσαν τὴν πόλιν ἡμῶν τοῖς αἵμασιν ἐπικλύζοντας. (19) Οἴμοι ὅτι ἐπὶ τούτοις ἐφυλαττόμην τοῖς κακοῖς ἐγώ, ὅτι « ἐγενήθημεν ὄνειδος τοῖς γείτοσιν ἡμῶν, μυκτηρισμὸς καὶ χλευασμὸς τοῖς κύκλῳ ἡμῶν » (Ps. 78, 4), ὅτι βαρβάρων ἄπιστος δρόμος οὐκ ἔδωκε τῇ φήμῃ καιρὸν ἀγγελίας, ὡς ἄν τις ἀσφάλεια περινοηθείη, ἀλλὰ σύνδρομον ἔσχεν ἡ θέα τὴν ἀκοὴν καὶ τὸ πεπονθέναι, χώραις πόσαις ἐθναρχίαις τε καὶ ποταμοῖς ναυσιπόροις καὶ ἀλιμένοις πελάγεσι τῶν ἐπελασάντων διειργομένων. (20) Οἴμοι ὅτι ἔθνος ὠμὸν καὶ ἀνήμερον ἐπ' ἀδείας ὁρῶ τῆς πόλεως περιχεόμενον καὶ τὰ πρὸ τῆς πόλεως ληιζόμενον, πάντα φθεῖρον, πάντα λυμαινόμενον, ἀγρούς, οἰκίας, βοσκήματα, ὑποζύγια, γύναια, παιδάρια, πρεσβύτας, νεανίας, διὰ πάντων τὸ ξίφος ὠθούμενον, οὐδενὸς λαμβάνον οἶκτον, οὐδενὸς φειδόμενον. Παγγενὴς ἡ καταφθορά, ὡς ἀκρὶς ἐν ληίῳ, καὶ ὡς ἐρυσίβη ἐν ἀμπελῶνι, μᾶλλον δὲ ὡς πρηστὴρ ἢ τυφὼν ἢ χειμάρρους ἢ οὐκ οἶδ' ὅ τι εἴπω εἰς τὴν χώραν ἡμῶν εἰσπεσὸν αὐταῖς γενεαῖς τοὺς κατοικοῦντας ἀνάλωσε. (21) Μακαρίζω τοὺς τῆς παλαμναίας καὶ βαρβάρου χειρὸς ἔργον γεγονότας, ὅτι τεθνηκότες θᾶσσον διέφυγον τὴν συναίσθησιν τῶν κατασχόντων ἡμᾶς ἀνελπίστων συμφορῶν. Εἰ δὲ αἴσθησις ἦν αὐτοῖς τούτοις ἀποιχομένοις, ἐθρήνησαν ἂν κἀκεῖνοι σὺν ἐμοὶ τοὺς ἔτι περιόντας, ὧν τε διὰ παντὸς πάσχουσι καὶ οἵων ἀλγεινῶν ἀναπλησθέντες οὐκ ἀπαλλάσσονται, καὶ ἐν ᾧ ζητοῦντες τὸν θάνατον οὐχ εὑρίσκουσι. (22) Πολλῷ γὰρ αἱρετώτερον ἅπαξ θανεῖν τοῦ διὰ παντὸς ἐλπίζειν θανεῖν καὶ τοῖς τῶν πλησίον πάθεσι συνεχῶς ἀλγεῖν καὶ σπαράσσεσθαι τὴν ψυχήν. Ποῦ νῦν βασιλεὺς ὁ φιλόχριστος; ποῦ τὰ στρατόπεδα; ποῦ τὰ ὅπλα, τὰ μηχανήματα, αἱ στρατηγικαὶ βουλαί τε καὶ παρασκευαί; οὐ βαρβάρων ἄλλων ἔφοδος ἐφ' ἑαυτὴν ταῦτα πάντα μετέστησέ τε καὶ μεθειλκύσατο; (23) Καὶ βασιλεὺς μὲν ὑπερορίους πόνους καὶ μακροὺς ἀνατλᾷ, συναπῆρέ τε καὶ συνταλαιπωρεῖ τὸ στρατιωτικόν· ἡμᾶς δὲ ὁ κατ' ὀφθαλμοὺς ὄλεθρος καὶ φόνος δαπανᾷ, τοῖς μὲν ἐπελθών, τοῖς δ' ἤδη ἐπερχόμενος. (23) Τὸ δὲ Σκυθικὸν τοῦτο καὶ ὠμὸν ἔθνος καὶ βάρβαρον ἐξ αὐτῶν τῶν τῆς πόλεως ἐξερπύσαν προπυλαίων μονιοῦ δίκην ἀγρίου τὰ πέριξ αὐτῆς κατενεμήσατο. Τίς οὖν ἡμῶν προπολεμήσει; τίς ἀντιπαρατάξεται τοῖς ἐχθροῖς; Πάντων ἡμεῖς ἔρημοι, πανταχόθεν ἐξηπορημένοι. Τίς ἐξισωθείη θρῆνος ταῖς συμφοραῖς; ποῖον ἐξισχύσει δάκρυον ἐπαρκέσαι πρὸς τὸ μέγεθος τῶν περιστοιχισαμένων ἡμᾶς δυσχερῶν; (24) Δεῦρό μοι τῶν προφητῶν συμπαθέστατε· συνθρήνησον τὴν Ἱερουσαλήμ, οὐ τὴν παλαιὰν ἐκείνην, ἔθνους ἑνὸς ἐκ μιᾶς ῥίζης δώδεκα στελέχη βλαστήσαντος τὴν μητρόπολιν, ἀλλὰ συμπάσης τῆς οἰκουμένης, ὁπόσην ὁ Χριστιανῶν λαμπρύνει θεσμός, τὴν χρόνῳ καὶ κάλλει καὶ μεγέθει καὶ λαμπρότητι, πολυπληθείᾳ τε τῶν ἐνοικούντων καὶ πολυτελείᾳ δεσπόζουσαν· συνθρήνησόν μοι ταύτην τὴν Ἱερουσαλήμ, οὐχ ἁλοῦσαν ἤδη καὶ χαμαὶ πεσοῦσαν, ἀλλ' ἐγγὺς κειμένην τοῦ ἁλῶναι καὶ τοῖς δρωμένοις κατασειομένην· συνθρήνησον τὴν βασιλίδα τῶν πόλεων, οὐκ αἰχμάλωτον ἀγομένην, ἀλλὰ τῆς σωτηρίας ἐλπίδος ᾐχμαλωτισμένην. (25) Ζήτησον ὕδωρ τῇ κεφαλῇ καὶ πηγὰς δακρύων τοῖς ὀφθαλμοῖς, καὶ συμπένθησον· καὶ πένθησον ἐπ' αὐτῇ, ὅτι « κλαίουσα ἔκλαυσεν ἐν νυκτί, καὶ τὰ δάκρυα αὐτῆς ἐπὶ τῶν σιαγόνων αὐτῆς, καὶ οὐχ ὑπάρχει ὁ παρακαλῶν αὐτήν » (Thren. 1, 2), ὅτι « ἁμαρτίαν ἥμαρτεν Ἱερουσαλήμ, διὰ τοῦτο εἰς σάλον ἐγένετο » (Ib. 1, 8), καὶ οἱ τεθνηκότες αὐτῆς τὴν ἰσχὺν ἐξεμυκτήρισαν αὐτήν, ὅτι ἐξαπέστειλε κύριος πῦρ ἐν τοῖς ὀστέοις αὐτῆς καὶ ἐβάρυνε τὸν ζυγὸν αὐτοῦ ἐπὶ τὸν τράχηλον ἡμῶν, καὶ « ἔδωκεν ἐν χερσὶν ἡμῶν ὀδύνας » (Ib. 1, 14), ἃς οὐ δυνησόμεθα ὑποστῆναι. (26) Συνθρήνησον, ὅτι ἐξέλιπον ἐν δάκρυσιν οἱ ὀφθαλμοί μου· « ἡ κοιλία μου ἐταράχθη καὶ ἐστράφη ἡ καρδία μου ἐν ἐμοί, ὅτι παραπικραίνουσα παρεπίκρανα. Ἔξωθεν ἠτέκνωσέ με μάχαιρα » καὶ « διήνοιξεν ἐπ' ἐμὲ ὁ ἐχθρὸς στόμα αὐτοῦ καὶ ἔβρυξεν ὀδόντας καὶ εἶπε· καταπίομαι αὐτήν » (Ib. 2, 16). (27) Ὦ πόλις βασιλίς, οἵων κακῶν περικέχυται ὄχλος· καὶ τὰ σὰ τῆς κοιλίας ἔγγονα καὶ τὰ πρὸ τοῦ ἄστεος, [ἃ] λαμπρῶς ἐπεπόλιστο, λαγόνες θαλάσσης καὶ πυρὸς καὶ μαχαίρας στόμα βαρβαρικῷ νόμῳ διακληρωσάμενα κατεσθίουσιν. Ὦ

N. || — § 18. ὁρῶ] ὁρᾷ cod.; em. N. || — § 19. ἄπιστος] ἄπυστος? || — τὸ πεπονθέναι] τότε πόθεν καὶ cod.; em. N. || — § 21. Εἰ δὲ αἴσθησις] ἡ δ. α. cod.; em. N., qui deinde legit αὐτοῖς τούτων ἀποιχ. || — § 22. ἄλλων] ὠμῶν? || — § 23. Ἀνατλᾷ] ἀναντλεῖ conj. N. || — περιστοιχισάντων] περιστοιχησ. cod.; em. N. || — § 27. ἃ ante λαμπρῶς inseruit N.

πολλῶν ἐλπὶς ἀγαθή, ὅση χαλεπῶν ἀπειλὴ καὶ δειμάτων πλῆθος περικλύσαν τὰ κύκλῳ τὴν σὴν περιβόητον ἐταπείνωσε δόξαν. (28) Ὦ πόλις βασιλεύουσα μικροῦ συμπάσης τῆς οἰκουμένης, οἷός σε στρατὸς ἀστρατήγητος καὶ δουλικῶς ἐνεσκευασμένος ὡς δουλεύουσαν ἐκμυκτηρίζει; Ὦ πόλις πολλῶν ἐθνῶν λαφύροις ἐκλαμπρυνθεῖσα, οἷον λαφυραγωγεῖν σε διενοήσατο ἔθνος; ὢ πολλὰ στησαμένη κατὰ τῶν πολεμίων Εὐρώπης τε καὶ Ἀσίας καὶ Λιβύης τρόπαια, ὅπως νῦν ἐπὶ σὲ βαρβαρικὴ καὶ ταπεινὴ χεὶρ ἐξέτεινε δόρυ, τὸ κατὰ σοῦ κράτος ἐπαρθεῖσα τροπαιοφορῆσαι. Ἐπὶ τοσοῦτον γὰρ κακώσεως πάντα σοι ἥκει, ὥστε καὶ τὴν ἀπροσμάχητόν σου ῥώμην εἰς τρύγα ἐλάσαι βαθυτάτης ἀρρωστίας, καὶ τὸ ἀρρωστοῦν καὶ τεταπεινωμένον* τῶν ἀντιπάλων φιλάνθρωπον ὄμμα χειρὸς ἰσχὺν ἐν σοὶ ἀποφαίνειν καὶ δόξης ὀνόματι πειρᾶσθαι διακοσμηθῆναι. (29) Ὦ βασιλὶς πόλεων βασιλίδων, πολλὰς μὲν συμμαχίαις ἐξαρπάσασα κινδύνων, πολλὰς δὲ ἐπὶ γόνυ κλιθείσας ἀνορθώσασα τοῖς ὅπλοις, εἰς προνομὴν δὲ νυνὶ προκειμένη καὶ τῶν συνεπικουρούντων ἐξηπορημένη. Ὦ ναῶν σεβασμίων χάρις καὶ λαμπρότης, ὢ μεγέθη καὶ κάλλη καὶ λεπτουργίαι καὶ ἀγλαΐσματα, ὢ θυμάτων ἀναιμάκτων καὶ φρικτῆς θυσίας καὶ μυστικῆς τραπέζης, ὢ θυσιαστήριον καὶ χῶρος ἄβατος καὶ σεπτὸς, ὅπως πολεμίων πόδες βεβήλωσιν ἀπειλοῦσι. Ὦ σέβας αὐτὸ καὶ πίστις ἄχραντος καὶ λατρεία καθαρὰ, ὅπως δυσσεβούντων καθ' ὑμῶν καὶ φρυαττομένων πλατύνεται στόμα. (30) Ὦ ἱερέων πολιὰ καὶ χρίσμα καὶ ἱερωσύνη· ὢ μοι τέμενος ἱερὸν θεοῦ καὶ θεοῦ σοφία ὁ τῆς οἰκουμένης ἀκοίμητος ὀφθαλμός. Θρηνήσατε, παρθένοι, θυγατέρες Ἱερουσαλήμ· κλαύσατε, νεανίσκοι πόλεως Ἱερουσαλήμ, πενθήσατε καὶ μητέρες, δακρύσατε νήπια, δακρύσατε· τὸ μέγεθος γὰρ τοῦ πάθους καὶ ὑμᾶς εἰς συναίσθησιν ἐκβιάζεται· δακρύσατε ὅτι ἐπλήθυνεν ἡμῖν τὰ κακὰ καὶ οὐκ ἔστιν ὁ ἐξαιρούμενος, οὐκ ἔστιν ὁ βοηθός. (31) Ἀλλὰ μέχρι τίνος ὁ θρῆνος, μέχρι τίνος τὸ πένθος, μέχρι τίνος ὁ ὀλολυγμός; Τίς εἰσακούσεται, καὶ πῶς ἡ θραῦσις κοπιάσει; Τίς ἐξιλάσεται; τίς βοήσεται ὑπὲρ ὑμῶν; εἴ τις ἦν Μωυσῆς, εἶπεν ἂν πρὸς κύριον. « ἐὰν αὐτοῖς ἀφῇς, ἄφες· εἰ δὲ μὴ, ἐξάλειψον κἀμὲ ἐκ τῆς βίβλου τῆς ζωῆς, ἧς ἔγραψας (Exod. 32, 32). » Καὶ πρὸς ἡμᾶς δέ· « κύριος πολεμήσει ὑπὲρ ἡμῶν, καὶ ἡμεῖς σιγήσομεν (Ib. 14, 14). » Ἀλλ' οὐκ ἔστιν, ὅτι ἐκλέλοιπεν ὁ θεὸς ἀπὸ τῆς γῆς· οὐκ ἔστι Μωυσῆς· οὐκ ἔστιν Ἀβραὰμ ὥστε διᾶραι τὸ στόμα καὶ παρρησιάσασθαι καὶ εἰπεῖν πρὸς τὸν θεόν· « μὴ συναπολέσῃς δίκαιον μετὰ ἀσεβοῦς, καὶ ἔσται ὁ δίκαιος ὡς ὁ ἀσεβής (Gen. 18, 23). » Οὐκ ἔστιν ὅστις ἐπέλθοι τὰς φιλανθρώπους ἐκείνας καὶ θαυμασίους τῶν λόγων ἐπαγωγὰς, δι' ὧν ἐπὶ δέκα δικαίοις τὴν μυριάνθρωπον πόλιν ἔξω φύσεως φερομένην ἐντὸς σωτηρίας ἠξίου γενέσθαι καὶ πρὸς τοῦ τῶν ὅλων ἀκοῦσαι θεοῦ ὡς « ἐὰν εὑρεθῶσι ἐν τῇ πόλει δέκα, οὐ μὴ ἀπολέσω ἕνεκεν τῶν δέκα (Gen. 18, 32). » (32) Οὐκ ἔστιν οὖν Μωυσῆς, οὐκ ἔστιν Ἀβραάμ· ἀλλ' ἐὰν ὑμεῖς βούλησθε (παράδοξον μὲν ἐρῶ, ἀληθὲς δέ), ὅμως δύνασθε ὑμῖν ἑαυτοῖς Μωυσέα παρασκευάσαι, δύνασθε Ἀβραὰμ δεῖξαι. Καὶ Μωυσῆς γὰρ, ἀνεπιστρόφως ἔχοντος τοῦ λαοῦ, δεινὸν οὔπω δεινὸν, εἰ πρεσβεύων παρηκούετο· ἀλλ' ἐκεῖνο λίαν φοβερὸν, ὡς πολλοὺς πολλάκις ὑπὲρ ὧν ἅπαντα ἔπραττεν ὑποχείρια διεχρήσατο. Καὶ Ἀβραὰμ δὲ περὶ ὧν ἐδυσώπει καὶ ἱκέτευεν, τούτους ἑώρα τὸν βίον εἰς πυρὸς δαπάνην καταστρέφοντας, ὅτι παθῶν αὐτοῖς ἄκανθαι τὸ γεώργιον ἦν. Δύνασθε, ἐὰν βούλησθε, ἵνα λέγῃ κἀκεῖνος πρὸς ὑμᾶς· « κύριος πολεμήσει ὑπὲρ ἡμῶν, καὶ ἡμεῖς σιγήσομεν. » (33) Ποθεῖτε μαθεῖν ὅπως δέδοικα τὸν κλαυθμὸν ὑμῶν; ὅτι πρόσκαιρος· τὴν ἐλεημοσύνην ὑμῶν, ὅτι πρὸς βραχύ· τὴν σωφροσύνην, ὅτι ἐφήμερος· τὴν φιλαδελφίαν, ὅτι μέχρις ἂν τὸ δυσμενὲς τῶν κύκλῳ ἐχθρῶν, ἅτε δὴ κοινὸν ὑπάρχον κακὸν, εἰς ὁμόνοιαν ὑμᾶς συνωθεῖ· τὸ ταπεινὸν καὶ μέτριον τῶν ἠθῶν, ὅτι μέχρις ἂν ἡ αἰχμαλωσία ἐμπρόθεσμος· τὸν τῦφον πατούμενον καὶ τὸν θυμὸν χαλινούμενον καὶ τὴν γλῶτταν πνευματικῶν ᾀσμάτων, ἀλλὰ μὴ αἰσχρῶν ῥημάτων δεικνυμένην ὄργανον, ὅτι μέχρις ἂν τῶν πολεμίων οἱ ἀλαλαγμοὶ τοῖς ὠσὶν ὑμῶν προσαράσσουσι· τὰς λιτὰς καὶ τὰς παννύχους στάσεις καὶ τὴν νηστείαν καὶ τοὺς στεναγμοὺς, ὅτι μέχρις ἂν ὁ διὰ ξίφους θάνατος. (34) Ταῦτά με ταράττει καὶ θορυβεῖ πολὺ τῶν ὅπλων πλέον τῶν βαρβαρικῶν. Ταῦτα δέδοικα ῥᾳδίως νυνὶ καὶ παρὰ πάντων ἅμα ὁρῶν συντελούμενα, ὅτι πρότερον οὐδ' ἐνίοις τισὶν οὐδὲ χωρὶς καὶ μόλις ἐπράττετο. Φοβεῖ με καὶ ἀνιᾷ ὅτι ὅταν ἵσταται ἡ πληγὴ, τότε καὶ ἡμεῖς σεμνυνόμεθα τὴν ἐπιστροφὴν, ὅτι ὅταν ἐπιστῇ τὰ λυπηρὰ, τότε πρὸς τὰς πράξεις καταφεύγομεν τὰς χρηστάς. Διὰ τοῦτο νῦν οὐκ ἔστι Μωυσῆς οὐδὲ Ἀβραάμ. (35) Εἰ δὲ καὶ παρελθούσης τῆς νῦν ἡμᾶς κατεχούσης συμφορᾶς, τὴν αὐτὴν κοσμιότητα καὶ τάξιν καὶ κατάστασιν ἐφυλάττετε, πολλοὺς ἂν Μωυσέας καὶ Ἀβραὰμ προπολεμεῖν ὑμῶν καὶ ὑπὲρ ἡμῶν ἐξιλεοῦσθαι προεβάλλετο θεός. Καὶ τί λέγω Μωυσέα καὶ Ἀβραάμ; αὐτὸν τὸν κοινὸν δεσπότην ἡμῶν τε κἀκείνων πρόμαχον ἡμῶν καὶ προασπιστὴν ἀπεργάζεσθε, τὸν ἐπαγαγόντα τὸν ἐχθρὸν διὰ τὰς ἁμαρτίας ἡμῶν θραύοντα τῶν ἐχθρῶν τὴν ἰσχὺν, τὸν παιδεύοντα ἰώμενον, τὸν ὀργιζόμενον φιλανθρωπευόμενον· μεγάλη γὰρ ἡ ἐλεημοσύνη κυρίου τοῦ θεοῦ ἡμῶν καὶ ἐξιλασμὸς αὐτοῦ τοῖς ἐπιστρέφουσιν ἐπ' αὐτὸν ὁσίως, « καὶ [νῦν] βελτίους ποιήσατε », διὰ Ἱερεμίου (33, 13) βοᾷ, « τὰς ὁδοὺς ὑμῶν καὶ τὰ ἔργα ὑμῶν, καὶ ἀκούσατε τῆς φωνῆς κυρίου, καὶ παύσεται κύριος τῶν κακῶν, ὧν ἐλάλησεν ἐφ' ὑμᾶς ».

§ 28. τῶν ἀντιπάλων] An καὶ τὸ τῶν ἀν. φιλ ὄμμα? Cf. hom. II, 16 : τῇ τῶν ἀντιπάλων εὐμενείᾳ et τὴν τῶν ἀντ. φιλανθρωπίαν. || — § 29. ὢ μεγέθη] ὢ μεγάλη cod.; em. N. || — § 31. κοπιάσαι] κοπιάσασαι cod.; em. N. || — § 34. ὁρῶν]

Αλλ' οὐ βούλεσθε. (36) Μὴ βοᾶτε μηδὲ θορυβεῖσθε· κρεῖσσον ἦν ἡσύχως εὐχαριστεῖν, ἀλλὰ μὴ διωλύγιον βοᾶν ὑπὲρ ὧν μὴ ἐπάσχομεν, ἀλλὰ μὴ περὶ τοῦ δεδιέναι παθεῖν ἃ τοῖς οὐκ ὀρθῶς βιοῦσιν ἕπεται παθεῖν, ἐφ' ᾧ τῶν ἀγαθῶν ἡμῖν αἱ κατὰ τὸν βίον ἄφθονοι πηγαὶ ἀνεδίδοντο, ἀλλὰ μὴ τῶν χαλεπῶν ἡμῖν ἀπείρων ὄχλον ἐπὶ ξυροῦ βεβηκότα πειρᾶσθαι φυγεῖν. (37) Ἀλλὰ στήσατε τὸν κλαυθμὸν, παύσασθε τούτων, ἀσφαλεῖς φύλακες γένεσθε, τολμῶ καὶ λέγω ἐγὼ τῆς σωτηρίας ὑμῖν ἐγγυητής· ταῖς ἐπαγγελίαις ὑμῶν θαρρῶν τοῦτό φημι, οὐ ταῖς πράξεσι ταῖς ἐμαῖς, ταῖς ὑμῶν ὑποσχέσεσιν, ἀλλ' οὐ ταῖς ἐμαῖς φωναῖς. Ἐγὼ ὑμῖν ἐγγυῶμαι τὴν σωτηρίαν, ἂν αὐτοὶ βεβαίως συντηρήσητε τὰς ὁμολογίας, ἐγὼ τὴν τῶν δυσχερῶν ἀπαλλαγὴν, ἂν ὑμεῖς πάγιον τὴν ἐπιστροφὴν, ἐγὼ τὴν ὑποχώρησιν τῶν ἐχθρῶν, ἂν τὴν ἀναχώρησιν ὑμεῖς τῶν παθῶν· μᾶλλον δὲ οὐδὲ τούτων ἐγὼ ἐγγυητὴς, ἀλλὰ καὶ ὑπὲρ ἐμαυτοῦ καὶ ὑπὲρ ὑμῶν, ἂν ἄρα τῶν συνθηκῶν ὑμῶν ἀπροφάσιστοι γένησθε πληρωταὶ, ὑμᾶς αὐτοὺς προβάλλομαι ἐγγυητὰς, ὑμᾶς ἀποφαίνω πρεσβευτὰς, καί γε κύριος φιλάνθρωπος ὢν καὶ μετανοῶν ἐπὶ κακίαις ἀνθρώπων ἐρεῖ πρὸς ὑμᾶς· « ἰδοὺ ἀπαλείψω ὡς νεφέλην τὰς ἀνομίας σου καὶ ὡς γνόφον τὰς ἁμαρτίας σου· ἐπιστράφηθι ἐπ' ἐμὲ, καὶ λυτρώσομαί σε (Jes. 44, 22) »· καὶ « ἐπιστράφητε πρός με, καὶ ἐπιστραφήσομαι πρὸς ὑμᾶς (Zachar. 1, 13) »· καὶ « πέρας λαλήσω ἐπὶ ἔθνος ἢ ἐπὶ βασιλείαν τοῦ ἐξᾶραι αὐτοὺς καὶ ἀπολλύειν, καὶ ἐὰν ἐπιστραφῇ τὸ ἔθνος ἐκεῖνο ἀπὸ τῶν κακῶν αὐτῶν, μετανοήσω κἀγὼ περὶ πάντων τῶν κακῶν, ὧν ἐλογισάμην τοῦ ποιῆσαι αὐτοῖς » (Ier. 18, 7). (38) Τὸ λοιπὸν, ἀγαπητοὶ, πρὸς τὴν μητέρα τοῦ λόγου, τὴν μόνην ἡμῶν ἐλπίδα καὶ καταφυγὴν, καιρὸς ἐφέστηκε προσδραμεῖν. Ταύτῃ βοήσωμεν ποτνιώμενοι· « Σῶσον πόλιν σὴν, ὡς οἶδας, ὦ δέσποινα. » (39) Ταύτην πρὸς τὸν υἱὸν αὐτῆς καὶ θεὸν ἡμῶν μεσῖτιν στησώμεθα, καὶ τῶν διομολογηθέντων ἡμῶν μάρτυρα καὶ ἐγγυητὴν ποιησώμεθα, καὶ τὰς ἡμετέρας αἰτήσεις διαπορθμεύουσαν καὶ τὴν παρὰ τοῦ τεχθέντος ἐξ αὐτῆς φιλανθρωπίαν ἐπομβρίζουσαν καὶ τὸ νέφος τῶν ἐχθρῶν διασκεδάζουσαν καὶ τὰς τῆς σωτηρίας ἡμῖν αὐγὰς ἀναλάμπουσαν· ἧς ταῖς πρεσβείαις τῆς παρούσης μὲν ῥυσθείημεν ὀργῆς, ῥυσθείημεν δὲ καὶ τῆς μελλούσης καὶ ἀτελευτήτου κατακρίσεως, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ πρέπει δόξα καὶ εὐχαριστία καὶ προσκύνησις ἅμα τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

II.

ΤΟΥ ΑΥΤΟΥ ΑΓΙΩΤΑΤΟΥ ΦΩΤΙΟΥ, ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ, ΝΕΑΣ ΡΩΜΗΣ, ΟΜΙΛΙΑ ΔΕΥΤΕΡΑ ΕΙΣ ΤΗΝ ΕΦΟΔΟΝ ΤΩΝ ΡΩΣ.

Οἶδα μὲν ὡς ἅπαντες συνεπίστασθε ὅσοι τε δεινοὶ συνιδεῖν ἀποστροφὴν πρὸς ἀνθρώπους θεοῦ, ὅσοι τε ἀμαθέστερόν πως περὶ τὰ τοῦ κυρίου διάκεισθε κρίματα, πάντας δ' οὖν ὁμῶς συνιέναι καὶ κατανοῆσαι λογίζομαι τὴν ἐπενεχθεῖσαν ἡμῖν ἀπειλὴν καὶ τὴν τοῦ ἔθνους ἀθρόαν ἐπιδρομὴν οὐκ ἄλλοθέν ποθεν ἢ ἐξ ὀργῆς καὶ θυμοῦ παντοκράτορος κυρίου ἡμῖν ἐπισπιλάσαι. (2) Ἀγαθὸν μὲν γὰρ τὸ θεῖον καὶ θυμοῦ κρεῖττον καὶ παντὸς πάθους, ἅτε δὴ πάσης ὑλαίας διαθέσεως ἀνυπερβλήτῳ λόγῳ τὴν ὑπόβασιν κληρωσαμένης τὴν φύσιν ἔχον ὑπερανῳκισμένην· ὀργίζεσθαι δὲ καὶ θυμοῦσθαι λέγοιτ' ἂν εἰκότως, ἐπειδάν τι τῶν πεπραγμένων θυμοῦ καὶ ὀργῆς κριθὲν ἄξιον τὴν προσήκουσαν ἐκεῖθεν δίκην τοῖς δεδρακόσι ἐπισπάσηται, καθ' ὃν τρόπον καὶ νῦν ἡμῖν ἐπεισφρήσασα κατερράγη συμφορὰ κατὰ πρόσωπον ἡμῶν παριστῶσα τῶν ἁμαρτημάτων τὸν ἔλεγχον. (3) Οὐδὲ γὰρ οὐδὲ ταῖς ἄλλαις τῶν βαρβάρων καταδρομαῖς προσέοικεν, ἀλλὰ τὸ τῆς ἐφόδου παράλογον καὶ τοῦ τάχους τὸ παράδοξον τοῦ τε βαρβάρου φύλου τὸ ἀπάνθρωπον καὶ τῶν τρόπων τὸ ἀπότομον καὶ τῆς γνώμης τὸ ἀνήμερον οὐρανόθεν τὴν πληγὴν ὡς σκηπτὸν μηνύει ἐπαφεθῆναι. Οὐχ ὅτι δὲ πάντες τοῦτο συνεπίστασθε, καὶ ταῖς ὑμῶν καρδίαις ἥ τε τοῦ πάθους ὀξύτης καὶ ἡ τοῦ καιροῦ ἀκμὴ τῶν συνενεχθέντων τὸ αἴτιον ἐνεχάραξε, διὰ τοῦτο σιγήσομαι, ἀλλ' ὅτι καὶ ὑμᾶς τῶν εἰρησομένων λαβὼν ἔχω συνίστορας διὰ τοῦτο μᾶλλον σὺν ἐλέγχῳ δικαίῳ τοὺς λόγους ποιήσομαι, ἐκεῖνα ὑμῖν ἐκτραγῳδῶν καὶ ὑποκρινόμενος, ὧν αὐτοὶ τὴν σκηνὴν τοῖς οἰκείοις ἐπηξάμεθα παραπτώμασι καὶ τὸ δρᾶμα συνεπεσκευασάμεθα παθῶν πολυμόρφων θέατρον τὴν ἡμῶν πολιτείαν στησάμενοι. (4) Ὀργὴ γὰρ θεοῦ διὰ τὰς ἡμῶν ἁμαρτίας ἐπέρχεται, καὶ τῆς ἀπειλῆς ὕλη τῶν ἁμαρτανόντων αἱ πράξεις τυγχάνουσι καὶ τῆς τιμωρίας ἡ εἴσπραξις τῶν ὀλισθημάτων τὸ ἀνεπίστροφον. Ὅσῳ δὲ ξένη καὶ δεινῶς ἄτοπος τοῦ καταρραγέντος ἔθνους ἡ ἔφοδος, τοσούτῳ τῶν πλημμεληθέντων ἡ ὑπερβολὴ διελέγχεται. Ὅσον δὲ πάλιν ἀφανὲς, ἄσημον καὶ μηδὲ μέχρι τῆς καθ' ἡμῶν ἐπελεύσεως γινωσκόμενον, τοσοῦτον ἡμῖν ὁ τῆς αἰσχύνης ὄγκος ἐπιγράφεται καὶ τῶν ὀνειδισμάτων ὁ θρίαμβος αἴρεται, καὶ πικρότερον

ἱρῷ cod.; em. N. || — § 35. ἐφυλάττετε] ἐφύλαττε cod.; em. N. || — § 36. πηγαί] πληγαί cod.; em. N. || — § 37. φύλακες γένεσθε] φ. γένησθε cod.; em. N.

§ 1. Ὁμῶς] ὅμως cod.; em. N. || — ἐπισπιλάσαι] vox corrupta; ἐπιπολάσαι conj. Nauck et Porphyr.; recte,

§ 2. Ὑπερανῳκισμένην] ὑπεράνω κειμένην Porphyr., probante Nauckio. At codicis scriptura bene habet. Vid. Steph. Thes. v. ὑπερανοικίζομαι. || — § 3. εἰρησομένων] εἰρημένων cod.; em. N. || — § 4. δεινῶς ἄτοπος] δεινὸς ἄτοπος cod.

αἱ μάστιγες τὴν ὀδύνην ἐναποτίθενται. Ἡ γάρ τοι τῶν ἀσθενεστέρων τε καὶ παρεωραμένων κατὰ τῶν ἐπιφανείᾳ λαμπρυνομένων καὶ ἰσχὺν ἀμάχων ἐπικράτεια ἀνυπέρβλητον παρίστησι τὴν πληγὴν, ἀπαραμύθητον εἰσάγει τὴν συμφορὰν, ἀνεξάλειπτον συνέχει τῶν δυστυχημάτων τὴν μνήμην. (5) Οὕτω ταῖς ἀνομίαις ἡμῶν ἐμαστίχθημεν καὶ τοῖς πάθεσιν ὠδυνήθημεν καὶ τοῖς παραπτώμασιν ἐταπεινώθημεν καὶ τοῖς κακοῖς ἐκαρώθημεν, μυκτηρισμὸς καὶ χλευασμὸς τοῖς κύκλῳ γενόμενοι· οἷς γὰρ οὐδὲ Ῥωμαίων φήμη μόνη φορητή ποτε κατεφαίνετο, οὗτοι κατ' αὐτῆς αὐτῶν τῆς ἐξουσίας ὅπλα ἤροντο, καὶ τὰς χεῖρας ἀνεκρότησαν ἐν ἐλπίδι τοῦ λαβεῖν τὴν βασιλίδα πόλιν ὡς νοσσιὰν φρυαξάμενοι. (6) Τά τε γὰρ πέριξ αὐτῆς ἐληίσαντο καὶ τὰ πρὸ τοῦ ἄστεος ἐλυμήναντο, καὶ τοὺς συλληφθέντας ὠμῶς ἀπεχρήσαντο καὶ σὺν ἀδείᾳ πάσῃ ταύτῃ περιεχύθησαν, ἐπὶ τοσοῦτον ὑπὸ τῆς ἡμετέρας εὐπραγίας ἐπαρθέντες καὶ ὑψωθέντες ὥστε μηδ' ὀρθοῖς εἰς αὐτοὺς καὶ ἀπτοήτοις ἐνατενίζειν τοῖς ὀφθαλμοῖς τοὺς ἐνοικοῦντας δύνασθαι, ἀλλ' ἐξ ὧν εἰκὸς ἦν μᾶλλον αὐτοὺς ἀνδρικώτερον τοῖς πολεμίοις συμπλέκεσθαι, τούτοις ἐξενευροῦντο καὶ κατέπιπτον· (7) τὴν γὰρ εἰς τοὺς ὁμοφύλους τῶν βαρβάρων μιαιφονίαν δέον δικαίαν ποιεῖσθαι ὀργὴν καὶ μετ' εὐλόγων ἐλπίδων τὴν ἴσην τιμωρίαν ἐπάγεσθαι ἀπαιτεῖν· οἱ δὲ κατεπτηχότες καὶ ἐκπεπληγμένοι παρελέλυντο, τὰ πάθη τῶν ἑαλωκότων οἰκείαν ἅλωσιν οἱ σεσωσμένοι καὶ παρ' ὧν ἐκδίκησις τοῖς ἠτυχηκόσιν ὠφείλετο φανταζόμενοι. (8) Ἐφ' ἅπαξ γὰρ τοῦ αἰφνιδίου δείματος τοῖς τῆς καρδίας κόλποις ἐναποσκήψαντος καὶ εἰς τραῦμα τὸ πάθος κοιλάναντος, ὥσπερ ἀπὸ πηγῆς τινος καὶ ἀρχῆς τοῦ περικαρδίου μώλωπος τὸ τῆς δειλίας ῥεῦμα καὶ εἰς ὅλον τὸ σῶμα μετωχετεύετο καὶ παρειμένα πάντας φέροντας τὰ μέλη τοὺς ἐφ' οἷς ἡ τοῦ πολέμου κρίσις ἀνέκειτο διεδείκνυεν. (9) Οὕτω δὴ τοῦ βαρβάρου φύλου γεγενήμεθα παίγνιον, καὶ τὴν ἀπειλὴν αὐτῶν ἀνυπόστατον ἡγησάμεθα καὶ τὴν βουλὴν ἀκαταίσχυντον καὶ τὴν προσβολὴν ἀπροσμάχητον. Ἔνθα γὰρ ὀργὴ θεοῦ, ἐκεῖ καὶ τὸ ἀτυχεῖν, καὶ ἡνίκα αὐτὸς ἀποστρέφεται, ἐκ τοῦ ῥᾴστου καὶ τὸ καταστραφῆναι παρεισδύεται, καὶ οὓς αὐτὸς μαστίζεσθαι παραδίδωσι, τὸ λαφυραγωγεῖν κατὰ χεῖρας τοῖς ἐπιχειροῦσι παραγίνεται, καὶ « εἰ μὴ κύριος φυλάσσει πόλιν, εἰς μάτην ἀγρυπνοῦσι οἱ φυλάσσοντες (Ps. 126, 1). » (10) Ἔθνος ἀφανὲς, ἔθνος ἀναρίθμητον, ἔθνος ἐν ἀνδραπόδοις ταττόμενον, ἄγνωστον μὲν, ἀλλ' ἀπὸ τῆς καθ' ἡμῶν στρατείας ὄνομα λαβὸν, καὶ ἄσημον μὲν, ἀλλ' ἐπίσημον γεγονὸς, ταπεινὸν καὶ ἠπορημένον, ἀλλ' εἰς ὕψωμα λαμπρὸν καὶ πλοῦτον ἄπλετον ἀναβεβηκὸς, ἔθνος πόρρω που τῆς ἡμῶν ἀπῳκισμένον, βαρβαρικὸν, νομαδικὸν, τὸ θράσος ἔχον εἰς ὅπλα, ἀφύλακτον, ἀνεξέλεγκτον, ἀστρατήγητον, οὕτως ἀθρόον, οὕτως ἐν ῥιπῇ ὀφθαλμοῦ ὡς κῦμα θαλάσσης ἐξεχύθη τοῖς ὁρίοις ἡμῶν, καὶ ὡς μονιὸς ἄγριος χόρτον ἢ καλάμην ἢ λήιον κατενεμήσατο τοὺς ἐνοικοῦντας ἐν τῇ γῇ· ὢ τῆς συμπεσούσης ἡμῖν θεηλάτου ποινῆς· μὴ φειδόμενον ἀπὸ ἀνθρώπου ἕως κτήνους, οὐ θήλεων ἀσθένειαν εὐλαβούμενον, οὐ νηπίων ἁπαλότητα δυσωπούμενον, οὐ πρεσβυτέρων πολιὰν καταιδούμενον, ὑπ' οὐδενὸς τῶν ὅσα δυσωπεῖν εἴωθεν ἄνθρωπον κἂν εἰς θηρίων ἐκδράμῃ φύσιν μαλασσόμενον, ἀλλὰ διὰ πάσης ἡλικίας καὶ φύσεως τὸ ξίφος ὠθεῖν θρασυνόμενον. (11) Ἦν ἰδεῖν παρ' αὐτῶν νήπια μαζῶν καὶ γάλακτος ἅμα καὶ ζωῆς αὐτῆς ἀποσπώμενα, καὶ τάφον αὐτοῖς αὐτοσχέδιον, οἴμοι, τὰς πέτρας αἷς προσηράσσοντο, μητέρας οἰκτρῶς ὀλολυζούσας καὶ ἐπισφαττομένας ἔτι σπαρασσομένοις καὶ ψυχορραγοῦσι τοῖς βρέφεσι, ἄκουσμα ἐλεεινὸν καὶ θέαμα ἐλεεινότερον καὶ πολὺ κρεῖττον σιγᾶσθαι ἢ λέγεσθαι, καὶ τῶν δεδρακότων μᾶλλον ἢ τῶν πεπονθότων ἄξιον. (12) Οὐδὲ γὰρ οὐδὲ μέχρι τῆς ἀνθρωπίνης φύσεως ἡ ἀγριότης προέβαινεν, ἀλλὰ διὰ πάντων ἀλόγων ζώων, βοῶν καὶ ἵππων καὶ ὀρνίθων καὶ τῶν ἄλλων οἷς ἐνέπιπτον, ἡ ὠμότης διήλαυνεν. Ἔκειτο βοῦς καὶ παρ' αὐτὸν ἄνθρωπος, καὶ παῖς καὶ ἵππος τάφον εἶχον ὁμόσκηνον, καὶ γυναῖκες καὶ ὄρνιθες τοῖς ἀλλήλων συνεφύροντο αἵμασι. (13) Μεστὰ δὲ νεκρῶν σωμάτων ἐτύγχανεν ἅπαντα. Ποταμοῖς τὸ ῥεῖθρον εἰς αἷμα μετεσκευάζετο, κρήνας καὶ δεξαμενὰς τὰς μὲν οὐχ ἦν ἔτι διακρίνειν ἐξομαλισθέντων τῶν κοιλωμάτων τοῖς σώμασι, ταῖς δὲ παντελῶς ἀμυδρὰ τοῦ προτέρου σχήματος ἴχνη ἐφαίνετο τῶν παρακειμένων αὐτοῖς ἀναπληρούντων τὰ λείποντα. Τὰς ἀρούρας νεκρὰ κατέσηπε σώματα, τὰς ὁδοὺς ἐστενοχώρει, τὰ ἄλση τούτοις μᾶλλον ἢ τοῖς θάμνοις καὶ ταῖς ἐρημίαις ἐθηριοῦτο καὶ ἐξηγρίωτο, τὰ σπήλαια ἐπεπλήρωτο, ὄρη καὶ λόφοι καὶ χαράδραι καὶ φάραγγες οὐδὲν [τῶν] ἐν ταῖς πόλεσι πολυανδρίων διέφερον. (14) Οὕτω τοῦ πάθους ἡ θραῦσις ἐξήπλωτο, καὶ ὁ τοῦ πολέμου λοιμὸς τοῖς τῶν ἁμαρτημάτων πτεροῖς ἐποχούμενος πανταχοῦ περιίπτατο τὸ προστυχὸν λυμαινόμενος. Οὐδεὶς ἂν δύναιτο τὴν ἐπιστᾶσαν ἡμῖν τότε τῶν κακῶν Ἰλιάδα ἐφικέσθαι τῷ λόγῳ. (15) Καὶ τίς ταῦτα συνορῶν οὐ τὸν τρυγίαν τοῦ ποτηρίου, ὃν ὁ θυμὸς ἐκέρασε κυρίου τοῖς ἡμῶν ὑπερζέσας πλημμελήμασιν, οὐχ ἐφ' ἡμᾶς ἐκχυθῆναι ἂν ὁμολογήσειε; τίς ταῦτα μελετῶν καὶ συλλογιζό-

em. N. Possis etiam δεινὸς καὶ ἄ. || — μηδὲ μέχρι] an. μηδ' ὀνόματι μ.? N. || — ἀνεξάλειπτον] ἀνεξάληπτον cod.; em. N. || — § 6. ταύτῃ περιεχύθησαν] ταύτης π. cod.; em. N. || — § 9. τὸ ἀτυχεῖν] τὸ τυχεῖν cod.; em. N. || — § 10. ἀναρίθμητον] εὐαρίθμητον? N. || — καθ' ἡμῶν] κ. ἡμᾶς cod.; em. N. Idem deinde τῶν ὅσα... ἐκδράμῃ...ἀλλὰ διὰ dedit pro τῶν ὅσῳ... ἐκδράμοι... ἀλλὰ ἰδία, quæ codex habet. || — § 12. ἐνέπιπτον] ἀνέπιπτον cod. || — μεστὰ τῶν νεκρ.] μετὰ τ. ν. cod.; em. N. || — § 13. σώμασι] πτώμασι Nauk. || — § 14. τῶν post οὐδὲν addidit. N. || — ἐπιστᾶσαν

μενος, οὐ πενθῶν καὶ σκυθρωπάζων δι' ὅλου τοῦ βίου καὶ πρὸς δυσμὰς αὐτὰς ἀφικόμενος πορεύεται, ὅπως ἅπαντα τότε συνεκέχυτο καὶ πῶς ἡ πόλις μικροῦ δέω φάναι δοριάλωτος ἐγεγένητο; (16) ἐν ᾧ γὰρ ῥᾴδιον μὲν τὸ ἁλῶναι, ἄπορον δὲ τοῖς ἐνοικοῦσι τὸ ὑπερασπίσαι, ἐν ἐξουσίᾳ δηλονότι τῶν ἀντιπάλων τὸ παθεῖν ταύτην ἢ μὴ παθεῖν ἔκειτο, ἐν ᾧ δὲ ἡ τῆς πόλεως σωτηρία τοῖς τῶν πολεμίων ἤρτητο δακτύλοις, καὶ τῇ τούτων εὐμενείᾳ ἡ ταύτης διεμετρεῖτο στάσις, παρὰ βραχὺ φημι διαφέρειν, μᾶλλον δὲ πολὺ χαλεπώτερον εἶναι τὸ μήπω πεσεῖν τὴν πόλιν τοῦ πάλαι πεσεῖν· τὸ μὲν γὰρ ἴσως τῷ τάχει τοῦ πάθους ἄδηλον ἂν παρεῖχε τῆς μὴ παραυτίκα ἁλώσεως τὴν αἰτίαν, τὸ δὲ τῷ μήκει τοῦ χρόνου καὶ τὴν τῶν ἀντιπάλων ἐπαίρειν φιλανθρωπίαν ὡς τῇ ἐκείνων οὔπω συγκατενεχθείσης εὐσπλαγχνίᾳ καὶ τῷ πάθει συνάπτον τὴν ἀπὸ τῆς συμπαθείας ἀδοξίαν ἀλγεινοτέραν ποιεῖται τὴν συναίσθησιν τῆς αἰχμαλωσίας. (17) Ἆρα μέμνησθε τοῦ κλόνου καὶ τῶν δακρύων καὶ τῶν ὀλολυγμῶν εἰς ἃ τότε ἡ πόλις πᾶσα σὺν ἀπογνώσει τελευταίᾳ κατεφέρετο; Ἴστε τὴν νύκτα ἐκείνην τὴν ζοφώδη καὶ φοβερὰν, ὅτε συμπάντων ἡμῶν ὁ τοῦ βίου κύκλος τῷ τοῦ ἡλίου κύκλῳ συγκατεδύετο, καὶ τὸ τῆς ζωῆς ἡμῶν φέγγος εἰς τὸ βαθὺ τοῦ θανάτου σκότος ἐβυθίζετο; (18) Ἴστε τὴν ὥραν ἐκείνην τὴν ἀφόρητον καὶ πικρὰν, ὅτε κατέπλεον ὑμῖν αἱ βαρβαρικαὶ νῆες ὠμόν τι καὶ ἄγριον καὶ φονικὸν ἀποπνέουσαι; ὅτε ἡ θάλασσα γαληνιῶσα καὶ ἀτρεμίζουσα τὰ νῶτα ἐξήπλωτο, αὐταῖς μὲν τὸν πλοῦν ἡδὺν καὶ καταθύμιον παρεχομένη, τὰ δὲ τοῦ πολέμου κύματα καθ' ἡμῶν ἐπεκύμαινεν ἀγριαίνουσα; ὅτε τὴν πόλιν παρεπορεύοντο ἀνατείνοντας τὰ ξίφη φέρουσαι καὶ δεικνύουσαι τοὺς ἐμπλέοντας καὶ θάνατον ὥσπερ τὸν διὰ ξίφους ἀπειλοῦσαι κατὰ τῆς πόλεως; ὅτε πᾶσα μὲν ἐλπὶς ἀνθρωπίνη ἐξ ἀνθρώπων ἐρρύη, τῇ δὲ πρὸς τὸ θεῖον μόνῃ καταφυγῇ ἡ πόλις ἐπεσάλευεν; ὅτε σεισμὸς καὶ γνόφος κατεῖχε τοὺς λογισμοὺς, καὶ τὰ ὦτα πρὸς οὐδὲν ἠνέῳκτο ἕτερον ἢ ὡς οἱ βάρβαροι τειχῶν εἰσήλασαν ἐντὸς καὶ τοῖς ἐχθροῖς ἡ πόλις κεχείρωται; (19) τὸ γὰρ τοῦ συνενεχθέντος ἀπροσδόκητον καὶ τῆς ἐφόδου τὸ ἀνέλπιστον τοιαῦτα φαντάζεσθαι καὶ ἀκούειν ὥσπερ ἀνέπειθεν ἅπαντας, εἰωθὸς μάλιστα τὸ πάθημα τοῦτο τοῖς ἀνθρώποις καὶ ἄλλως ἐπιφοιτᾶν· ὃ μὲν γὰρ ἐκτόπως δεδίασιν, ἀκρίτῳ δόξῃ καὶ μὴ παρὸν παρεστάναι νομίζουσι, οὗ δ' ὑπόνοιαν οὐ προέλαβον αὐτεξουσίῳ γνώμῃ καὶ φθάσαντος πόρρω πέμπουσιν. Ἦν ὄντως τότε πένθος καὶ θρῆνος καὶ οὐαί. (20) Τότε τῶν ἰδίων ἁμαρτημάτων ἀδέκαστος κριτὴς καθίστατο ἕκαστος, οὐ συκοφάντημα κατηγόρων εἰς φυγὴν τῆς κατηγορίας λοιδορούμενος, οὐ τῶν ἔξωθεν ἐλέγχων δεόμενος, οὐ μαρτύρων κλῆσιν προσποιούμενος εἰς τὸν κατὰ τοῦ πονηρεύματος θρίαμβον, ἀλλὰ τὴν ὀργὴν κυρίου κατ' ὀφθαλμοὺς τιθέμενος ἕκαστος τὸ ἴδιον πταῖσμα ἐπεγίνωσκεν, καὶ ὑπὲρ ὧν τῆς ἐντολῆς ἐκτὸς ἀφρόνως ἐπολιτεύσατο, ἐντὸς γενέσθαι τῆς ἀπειλῆς ἐλογίζετο καὶ τῇ τῶν λυπούντων πείρᾳ τῶν ἡδονῶν ἀποσπώμενος εἰς σώφρονα βίον μετεκοσμεῖτο καὶ μετερρυθμίζετο, καὶ ἀνθομολογεῖσθαι κυρίῳ τοῖς στεναγμοῖς, ἀνθομολογεῖσθαι τοῖς δάκρυσι, ταῖς προσευχαῖς, ταῖς δεήσεσιν. (21) Οἶδε γὰρ, οἶδε κοινὴ συμφορὰ καὶ προσδοκωμένη μετανάστασις ἐπιγνώμονας τῶν ἐλαττωμάτων ποιεῖν καὶ ἑαυτῶν γίνεσθαι καὶ βελτίους ταῖς πράξεσι ἀπεργάζεσθαι. Ἀλλ' ὅτε ταῦτα παρ' ἡμῶν κατεβάλλετο, ὅτε τῶν ἡμαρτημένων ἑαυτοῖς τὸν λογισμὸν ἱστῶμεν διαιτητὴν ἀπαρέγκλιτον καὶ τὴν ἐλαττουμένην ὡς νικῶσαν ἐφ' ἑαυτοὺς ἐψηφοφοροῦμεν οἱ διωκόμενοι, ὅτε τὸ θεῖον λιταῖς καὶ ὕμνοις ἐξεκαλούμεθα, ὅτε συντριμμῷ καρδίας τὴν μετάνοιαν προσεφέρομεν, ὅτε χεῖρας πρὸς θεὸν δι' ὅλης νυκτὸς ἐξαπλοῦντες τῆς αὐτόθεν φιλανθρωπίας ἐδεόμεθα, πάσας ἡμῶν τὰς ἐλπίδας πρὸς αὐτὸν ἀναρτήσαντες, τότε τῆς συμφορᾶς ἐλυτρούμεθα, τότε τῶν περιστοιχησάντων ἡμᾶς κακῶν ἀπαλλαγὴν ἐλαμβάνομεν, τότε τὴν ἀπειλὴν θραυομένην ἐβλέπομεν, καὶ ἡ ὀργὴ κυρίου ἀναρπαζομένη ἀφ' ἡμῶν κατεφαίνετο. (22) Τοὺς γὰρ ἐχθροὺς ἡμῶν ὑποχωροῦντας ἐθεώμεθα καὶ τὴν ἀπειλουμένην πόλιν εἰς ἁρπαγὴν ἐλευθερουμένην τῆς προνομῆς τότε ποτὲ, ἐπειδὰν ἁπάσης βοηθείας ἀπογυμνωθέντες καὶ τῆς ἐξ ἀνθρώπων συμμαχίας ἐξηπορημένοι ἐπὶ ταῖς παρὰ τῆς μητρὸς τοῦ λόγου καὶ θεοῦ ἡμῶν ἐπέχοντες προσδοκίαις ἐψυχαγωγούμεθα, αὐτὴν εἰς παράκλησιν κινοῦντες τοῦ υἱοῦ, αὐτὴν εἰς ἐξιλασμὸν τῶν ὀλισθημάτων, ταύτης τὴν παρρησίαν εἰς σωτηρίαν ἐπιβοώμενοι, ταύτης τὴν σκέπην εἰς τεῖχος τηρεῖν ἀπολιόρκητον, αὐτὴν θραῦσαι τὸ θράσος τῶν βαρβάρων καθικετεύοντες, αὐτὴν κατασπάσαι τὸ φρύαγμα, αὐτὴν τοῦ ἀπηλπικότος λαοῦ προασπίσαι, τοῦ οἰκείου ποιμνίου ὑπερμαχῆσαι, ἧς καὶ τὴν περιβολὴν εἰς ἀναστολὴν μὲν τῶν πολιορκούντων, φυλακὴν δὲ τῶν πολιορκουμένων σὺν ἐμοὶ πᾶσα ἡ πόλις ἐπιφερόμενοι τὰς ἱκεσίας ἐκουσιαζόμεθα, τὴν λιτανείαν ἐποιούμεθα· ἐφ' οἷς ἀφάτῳ φιλανθρωπίᾳ μητρικῆς παρρησιασαμένης ἐντεύξεως καὶ τὸ θεῖον ἐπεκλίθη καὶ ὁ θυμὸς ἀπεστράφη, καὶ ἠλέησε κύριος τὴν κληρονομίαν αὐτοῦ. (23) Ὄντως μητρὸς θεοῦ περιβολὴ ἡ πάνσεπτος αὕτη στολή· αὕτη περιεκύκλου τὰ τείχη καὶ τὰ τῶν πολεμίων ἀρρήτῳ λόγῳ ἐδείκνυτο νῶτα. Ἡ πόλις ταύτην περιεβάλλετο καὶ τὸ χαράκωμα τῶν πολεμίων ὡς ἐκ συνθήματος διελύετο, αὕτη ταύτην ἐστολίζετο, καὶ τῆς ἐλπίδος αὐτῶν, ἐφ' ἧς ἐπωχοῦντο, ἐγυμνοῦτο τὸ πολέμιον·

ἡμῖν] ἐπιστασίαν ἡμῶν cod.; em. N. || — § 18. κατέπλεον ὑμῖν] κ. ἡμῶν? N. || — ἡδὺν] ἡδὺ cod.; em. N. || — παρεχομένη] παρεχόμενα codex. || — παρεστάναι] ἑστάναι cod. || — § 20. ἀνθομολογ.] αὐθομολ. Nauck. || — § 21. ἀπαρέγκλιτον] ἀπαρέγκλητον cod.; em. N. || — § 22. τηρεῖν] εὑρεῖν codex. || — § 25. καθ' ἡμῶν] κ. ἡμᾶς cod.; em. N.

ἅμα γὰρ τὸ τεῖχος ἡ παρθενικὴ στολὴ περιελήλυθε, καὶ τῆς πολιορκίας οἱ βάρβαροι ἀπειπόντες ἀνεσκευάσαντο καὶ τῆς προσδοκωμένης ἁλώσεως ἐλυτρώθημεν καὶ τῆς ἀδοκήτου σωτηρίας ἠξιώμεθα. (24) Οὐ γὰρ ἐπέβλεψε κύριος ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν, ἀλλ' ἐπὶ τὴν μετάνοιαν, οὐδὲ ἐμνήσθη τῶν ἀνομιῶν ἡμῶν, ἀλλ' ἐπὶ τὸν συντριμμὸν ἐπεῖδε τῶν καρδιῶν ἡμῶν καὶ ἔκλινε τὸ οὖς αὐτοῦ τῇ ἐξομολογήσει τῶν χειλέων ἡμῶν. (25) Ἀπροσδόκητος ἐπέστη ἡ ἔφοδος τῶν ἐχθρῶν, ἀνέλπιστος ἐδείχθη ἡ ἀναχώρησις αὐτῶν· ἐξαίσιος ἡ ἀγανάκτησις, ἀλλ' ὑπὲρ λόγον τὸ τέλος· ἄφατος ἦν αὐτῶν ὁ φόβος, εὐκαταφρόνητοι γεγόνασι τῇ φυγῇ· ὀργὴν εἶχον εἰς τὴν καθ' ἡμῶν ἐπιδρομήν, συνελαύνουσαν αὐτοὺς φιλανθρωπίαν εὕρομεν θεοῦ τούτων ἀναστέλλουσαν τὴν ὁρμήν. (26) Μὴ οὖν τὴν φιλανθρωπίαν ἀφορμὴν ὀλιγωρίας ποιησώμεθα, μηδὲ τὴν εὐσπλαγχνίαν ἐπὶ ῥαθυμίαν παράκλησιν ἡγησώμεθα, μηδὲ τῆς ἀπωλείας πύλην τὴν ἀρχὴν τῆς σωτηρίας ἑαυτοῖς ἀναπετάσωμεν, μηδὲ καταμαλακισθῶμεν τῷ ἐλέει αὐτοῦ, ἵνα μὴ τὰ ἔσχατα τῶν πρώτων χείρω γένηται, καὶ τὴν κατὰ Ἰουδαίων ἀρὰν ἑαυτοῖς ἐφελκυσώμεθα. « Οὐαὶ ἔθνος ἁμαρτωλὸν, λαὸς πλήρης ἁμαρτιῶν (Jes. 1, 4) ». « Τί ἔτι πληγῆτε προστιθέντες ἀνομίαν; » Ἡσαΐου (1, 5) λέγοντος, καὶ « οὐκ ἔστι μάλαγμα ἐπιθεῖναι, οὔτε ἔλαιον οὔτε καταδέσμους (Ib. 1, 6) ». (27) Μὴ οὖν τηλικούτων κακῶν ὑπευθύνους ἑαυτοὺς παρασκευάσωμεν, ἀγαπητοί, μηδὲ τῶν συνθηκῶν ἐπιλήσμονες γενώμεθα, ἃς θεῷ συνετιθέμεθα, ὅτε τὴν φοβερὰν ἐκείνην ἀπειλὴν κατὰ πρόσωπον ἡμῶν στηριζομένην ἐβλέπομεν. Ἴστε γάρ, ἴστε πάντως ὑπὸ τῆς οἰκείας ἕκαστος ἀναδιδασκόμενος συνειδήσεως, ὡς κατ' ἐκεῖνο καιροῦ ὁ μὲν ἄδικόν τι δεδρακὼς μηκέτι πράττειν τοῦτο θεῷ συνετίθετο, ὁ δὲ πορνείᾳ τὸ σῶμα προδεδωκὼς μίσει τοῦ πάθους τὴν τῆς σωφροσύνης ὁμολογίαν ἐκουσιαζόμενος ἐπεδείκνυτο, καὶ δὴ καὶ ὁ μέθαις σχολάζων ἔνηφε καὶ νήφειν ὑπισχνεῖτο τὸ ἐπίλοιπον. (28) Ἄλλος σκληρὰν ἔχων τὴν καρδίαν καὶ ἀφιλάνθρωπον ὅλος τῆς ἐλεημοσύνης ἐγίνετο, τὸν παρὰ θεοῦ ἔλεον εἰς ἀρραβῶνα τῆς πρὸς τοὺς πλησίον ἐλεημοσύνης ἐξαιτούμενος, καὶ ὁ φίλοις μὲν βάσκανος, διαπολιτευομένοις δὲ ὄλεθρος, καὶ δούλοις μὲν δήμιος, ἐλευθέροις δὲ τύραννος, θρήνοις καὶ κοπετοῖς συνεχόμενος τὸ τῶν ἠθῶν ἐξημέρου καὶ μετεσκεύαζε τὸ ἄγριον. Ταπεινοὺς ἦν ἰδεῖν τοὺς ὑψαύχενας καὶ τοὺς τρυφητὰς νηστευτάς, καὶ οἷς γέλως διὰ βίου καὶ παίγνια, δακρύων ῥείθροις αἱ παρειαὶ κατεπλύνοντο· οἷς δ' ἐπὶ χρημάτων κτῆσιν ἑαυτοὺς ἀφεῖναι διεσπούδαστο, οὗτοι κοινωνοὺς ἐποιοῦντο τοὺς πένητας, τὸ τῆς φιλαργυρίας ἀρρώστημα διαπτύοντες, καὶ συγκεφαλαιωσάμενον εἰπεῖν, τὸ οἰκεῖον πολυπραγμονοῦντες ἐλάττωμα σπουδῇ πολλῇ περιήρουν καὶ ἀπεσκευάζοντο, καὶ τῶν ὀλιγωρίαις καὶ ῥαστώναις ἐμβεβιωκότων ἕκαστος χειρὶ καὶ ποδὶ καὶ πάσῃ δυνάμει παραγγέλλειν εἰς ἀρετὴν ἐπηγγέλλετο, καὶ τὸν ἔπειτα χρόνον καθαρῶς καὶ ἀνεπιστρόφως τὴν τρίβον τέμνειν τῶν διομολογηθέντων ηὔχοντό τε καὶ συνετίθεντο. (29) Μηδεὶς οὖν ἡμῶν τούτων ἀμνημονείτω, μηδεὶς τὰς τοιαύτας ὑποσχέσεις λήθῃ λυμηνάσθω. Ἡ γὰρ τούτων λήθη ὀργὴν οἶδεν ἀνάπτειν θεοῦ· καὶ γὰρ καὶ ἐπὶ ταύταις ἡμῶν ταῖς ὁμολογίαις καὶ τὴν μητέρα τοῦ λόγου καὶ θεοῦ ἡμῶν πρὸς αὐτὸν ἐξεγγυησάμεθα καὶ ἡ αὐτόθεν ἡμᾶς φιλανθρωπία τῆς αἰχμαλωσίας ἀφελοῦσα κατελάβετο. Ταύταις τὰς καρδίας ἡμῶν περικαθάραντες καὶ ἀρόσαντες τοὺς ἐπὶ τῇ μετανοίᾳ καρποὺς ἐτρυγήσαμεν. (30) Οὕτως τὰς γνώμας βελτιωθέντες τῶν δυσχερῶν ἀπηλλάγημεν· ταύτας κρηπῖδας τῆς ἔπειτα πολιτείας πηξάμενοι, μὴ ξύλα μηδὲ χόρτον, μὴ καλάμην ὕλην εὔφλεκτον τῆς ἁμαρτίας καὶ συνδαπανῶσαν τοὺς πεφορτισμένους ἐπισωρεύωμεν, ἀλλὰ χρυσὸν καὶ ἄργυρον τὰς εἰλικρινεῖς καὶ καθαρωτάτας τῶν πράξεων, αἷς ἰὸς πονηρίας οὐκ ἐνέσπαρται, ἐποικοδομήσωμεν, ἵνα ἡμῖν ἔσοιτο τεῖχος ἄρρηκτον εἰς καταφυγὴν καὶ ἱερὸν ἄσυλον ἐν ταῖς τῶν πειρασμῶν ἐπαναστάσεσι· μηδὲ ἐκκλίνωμεν εἰς τὰ ὀπίσω, ἵνα μὴ κατακριθῶμεν τὸ μὴ εὔθετοι φανῆναι ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, ἵνα μὴ τὰ παρελθόντα δυσχερῆ ἐπακολουθοῦντα καὶ συμπαπαραμένοντα δείξωμεν τοῖς ἔργοις ἡμῶν. (31) Ἐπιστραφήτω ἕκαστος ἀπὸ τῶν ἔργων αὐτοῦ τῶν πονηρῶν ἐξ ὅλης τῆς καρδίας αὐτοῦ, ἐπισταθμώμενος καὶ διφρευόμενος ἑαυτόν, τί τῶν εἰργασμένων αὐτῷ λυπεῖν οὕτως οἶδε θεὸν ὡς τοσαύτην ἐπισπᾶσθαι τὴν ὀργήν, τί τοσαύτην ἔχει τῆς μοχθηρίας τὴν ὑπερβολὴν ὡς τηλικαύτην κινεῖν ἀπειλήν, ἐπὶ τίσι τῶν πράξεων ἀνήφθη ἐφ' ἡμᾶς ὁ θυμὸς αὐτοῦ, καὶ ποῖαι τῆς φιλανθρωπίας αὐτοῦ τὴν νεφέλην ἡμῖν ἐπισκιάσαι συγκατειργάσαντο, πόθεν ἐπηνέχθη ἡ ποινὴ καὶ πῶς ἀνεστάλη ἡ πληγή, πόθεν ἐτραυματίσθημεν καὶ τίσι μοτωθέντες ἰατρεύθημεν. (32) Ἂν γὰρ ταῦτα ζητῶμεν καὶ οὕτω πολυπραγμονῶμεν ἑαυτοὺς καὶ μελέτην ταῦτα ποιώμεθα, οἶδα ὅτι ἐπὶ πλέον τὸν ἔλεον αὐτοῦ ἐπιδαψιλεύσοιτο κύριος. « Ἐγγὺς γὰρ πᾶσι τοῖς ἐπικαλουμένοις αὐτὸν ἐν ἀληθείᾳ, καὶ θέλημα τῶν φοβουμένων αὐτὸν ποιήσει καὶ τῆς δεήσεως αὐτῶν εἰσακούσεται καὶ σώσει αὐτούς (Ps. 144, 19) », καὶ ὑπερασπιστής ἐστι πάντων τῶν ἐλπιζόντων ἐπ' αὐτόν. (33) Ἐὰν δὲ τοῖς ἔμπροσθεν ἡμῶν ἁμαρτήμασι, ὃ μὴ γένοιτο, προστηκώμεθα, μηδὲ γὰρ μηδ' εἴη τις ἐν ὑμῖν οὕτως ἀνάλγητος καὶ ἀδιόρθωτος ὡς ἀλογῆσαι τοσαύτης καὶ τηλικαύτης θεηλάτου ἀγανακτήσεως, ἂν οὖν τούτοις αὐτοῦ ἐμμολυνώμεθα πάθεσι καὶ τῷ βορβόρῳ τῶν ἡδονῶν ἰλυσπώμεθα, καὶ μὴ τῇ ἐπιμονῇ

|| — § 26. τῷ ἐλέει] ἐν τῷ ἐ. cod.; em. N. || — § 27. κατ' ἐκεῖνο] κατ' ἐκείνου cod.; em. N. || — § 29. τὰς καρδίας] ταῖς καρδίαις cod.; em. N. || — § 31. ἐπισκιάσαι] ἐπισκιάσασαι cod.; em. N. || — 34. ἡμᾶς αὐτούς] ὑμᾶς α. cod.;

τῆς μετανοίας τὰ φθάσαντα ἐξιλασώμεθα, μηδὲ φυλακὴν τοῦ μέλλοντος βίου τῶν λυπηρῶν τὰ παρῳχηκότα ποιησώμεθα, φεῦ, εἰς οἷον πάλιν ἑαυτοὺς ἐπιρρίπτομεν ὄλεθρον, οἵων συμφορῶν ἀνορύσσομεν βόθυνον, ἡλίκων κακῶν χειμῶνα καθ' ἑαυτῶν ἀγριαίνοντες ἐπεγείρομεν; « Ἐὰν γάρ, φησί, μὴ ἐπιστραφῆτε, τὴν ῥομφαίαν αὐτοῦ στιλβώσει, τό τόξον αὐτοῦ ἐνέτεινε καὶ ἡτοίμασεν αὐτὸ, καὶ ἐν αὐτῷ ἡτοίμασε σκεύη θανάτου » (Ps. 7, 13), καὶ « ἐπιβρέξει ἐπὶ ἁμαρτωλοὺς παγίδα, πῦρ καὶ θεῖον καὶ πνεύματα καταιγίδος ἡ μερὶς τοῦ ποτηρίου αὐτοῦ » (Ps. 10, 6), καὶ « πῦρ καὶ χάλαζα, λιμὸς καὶ θάνατος, ῥομφαία καὶ μάστιξ ἐπὶ τοὺς ἁμαρτωλοὺς ἐκτίσθησαν ταῦτα πάντα » (Sirac. 40, 9). (34) Οὐκ ἀλλοτρίων ἡμῖν ὑποδειγμάτων χρεία εἰς τὸν οἰκεῖον σωφρονισμόν· ἡμᾶς αὐτοὺς εἰς τὴν σφῶν αὐτῶν διόρθωσιν καὶ νουθεσίαν δεῖ παραλαβεῖν τὸ πάθος ἡμῶν εἰς ἡμέτερον ἴαμα, τῶν μελλόντων τὸ προλαβόν. Ὅτε γὰρ ἀναγώγοις καὶ ἡδυπαθέσι διατριβαῖς ἐντρυφῶντες ἐκδεδιῃτήμεθα, ἵνα μὴ τὰ ἄλλα λέγω, τότε τὴν ὀργὴν κυρίου ἐφ' ἡμᾶς ὡς χαλάζης πλῆθος ἐπὶ καρπῶν συγκομιδῇ καταφερομένην ἐβλέπομεν. (35) Ἔστη ἡ θραῦσις τῇ μετανοίᾳ· μὴ κινήσωμεν αὐτὴν τῇ ἀμελείᾳ. Κατεπραΰνθη ὁ θυμὸς αὐτοῦ τοῖς τῶν δακρύων ἡμῶν ὀχετοῖς· μὴ ἀνάψωμεν πάλιν αὐτὸν βρασμῷ γέλωτος ἀκρατοῦς καὶ θυμελικῶν ἀθυρμάτων ἐνδελεχισμοῖς. Ἡ καθ' ἡμῶν ἠκονημένη συνεστάλη ῥομφαία λιταῖς καὶ δεήσεσιν ὑποχωρήσασα· μὴ στιλβώσωμεν πάλιν αὐτὴν ὕπνοις καὶ μέθαις καὶ θεραπείᾳ τῆς ἀκολάστου σχολάζοντες γαστρός. Τοῦ στεναγμοῦ τῆς καρδίας ἡμῶν καὶ τῆς βοῆς ἐκείνης ἤκουσεν ὁ θεὸς καὶ οὐχ ὑπερεῖδε· μὴ παυσώμεθα τοῦτο ποιεῖν, ἵνα διὰ παντὸς ἡμῖν ἡ θεόθεν φιλανθρωπία ἐπικουρῇ. (36) Κακὸν ἡ μέθη, κακὸν ἡ πορνεία, κακὸν τὸ ἀδικεῖν, κακὸν ἡ μισαδελφία, ἡ κατὰ τοῦ πλησίον ὀργή, ἡ ὑπεροψία, ὁ φόνος, ὁ φθόνος· κακὸν ἡ ῥαθυμία καὶ ἡ ἀμέλεια. Φύγωμεν ταῦτα πάσῃ δυνάμει, ἀγαπητοί· κοινὰ τὰ πάθη ἀρχόντων, [ἀρχομένων,] πλουσίων, πενήτων, ἀνδράσι, γυναιξί· κοινὰ γενέσθω καὶ τὰ κατορθώματα. Ταῦτα τὴν ὀργὴν ἐκκαίει τοῦ θεοῦ, ταῦτα τὴν ἀπειλὴν αὔξει, τὴν φιλανθρωπίαν ἀναστέλλει, καὶ ταπεινοὺς μὲν παρασκευάζει τοῖς ἐχθροῖς, ὑπερυψοῖ δὲ τὸ πολέμιον καθ' ἡμῶν. Ταῦτα βδελυξώμεθα καὶ ἀποστραφῶμεν ἐκ ψυχῆς, ἵνα μὴ τὴν ἀπὸ θεοῦ καταδικασθῶμεν ἀποστροφήν. (37) Καὶ γὰρ ὁ παλαιὸς Ἰσραὴλ, ὅτε τοῖς πάθεσι ἁλοὺς ἐξηλέγχετο, τότε ῥομφαίας παρεδίδοτο στόματι, Ἰσραὴλ ἐκεῖνος οὐχὶ τυχὸν ἔθνος, οὐδὲ λαὸς παρορώμενος, ἀλλ' ὃς « σχοίνισμα κληρονομίας » (Ps. 104, 11) ἐδοξάζετο, καὶ « λαὸς ἐμακαρίζετο περιούσιος » (Exod. 19, 15), ἐκεῖνος οὗτος ἁμαρτάνων μὲν ἐχθροῖς ἐμαστίζετο, κατορθῶν δὲ τούτων ἐκράτει καὶ ὑπερίσχυε, καὶ φυλακὴν μὲν τῶν ἐντολῶν μελετῶν ὅπλοις ἐκαρποῦτο τὴν ἀλλοτρίαν, ἑτέρων πόνοις αὐτὸς εὐφραινόμενος, τοῦ νόμου δὲ κατολιγωρῶν αὐτὸς ἀγόμενος δορυάλωτος τὴν οἰκείαν τοὺς ἐχθροὺς ἑώρα διακληρουμένους καὶ τὸ ἐνυάλιον παιωνίζοντάς τε καὶ πυρριχίζοντας· καὶ λίαν γε τοῦτο σοφῶς τε καὶ δικαίως· δεῖ γὰρ τὸν ἠγαπημένον καὶ οἰκειωθέντα τῷ θεῷ λαὸν οὐ τῇ ἰσχύι πεποιθέναι τῶν χειρῶν οὐδὲ τῇ ῥώμῃ μεγαφρονεῖν τοῦ βραχίονος οὐδὲ ταῖς τῶν ὅπλων παρασκευαῖς ἐπερείδεσθαι, πεπεῖσθαι δὲ κατακυριεύειν τῶν ἀνθεστηκότων καὶ κρατεῖν τῇ συμμαχίᾳ τοῦ κρείττονος, ἐκείνην δὲ πράξεων συνειδέναι ταῖς ἀρίσταις ἐπακολουθεῖν καὶ κατορθωμάτων πλήθει ἐπιφοιτᾶν. (38) Ἂν οὖν ἐξολισθήσῃ τις τοῦ καλοῦ καὶ τῆς ἀρετῆς συνολισθαίνειν πάντως ἀνάγκη καὶ τῆς συμμαχίας αὐτοῦ τοῦ θεοῦ· ἂν δὲ τοῖς ἀγαθοῖς ἔργοις κομᾷ τὸν βίον καὶ τεθωρακισμένος τὴν ἀρετὴν σύμμαχον φέρει τὴν ἄμαχον ἐπικουρίαν κατ' ἐχθρῶν. (39) Ἀλλ' ὁ μὲν τοῦ θεοῦ λαὸς τῇ ἐξ αὐτοῦ συμμαχίᾳ καὶ κρατύνεται καὶ τὴν κατὰ τῶν ἀντιπάλων νίκην τροπαιοφορεῖ· τὰ δὲ λοιπὰ τῶν ἐθνῶν, οἷς ἡ περὶ τὸ θεῖον δόξα ἡμάρτηται, οὐ ταῖς σφῶν αὐτῶν ἀγαθοεργίαις, ταῖς ἡμετέραις δὲ κακοπραγίαις αὔξει τὴν ἰσχὺν καὶ ταύταις κραταιοῦται καὶ μεγαλύνεται καθ' ἡμῶν. Μάστιγες γὰρ ὥσπερ ἐπαφίενται ἡμῖν καὶ τὰ ἡμέτερα παραπτώματα τῶν μαστίγων ὕλη γίνεται, καὶ τοσοῦτον αὐτοῖς τὸ καθ' ἡμῶν κράτος ἐγχειρίζεται, ὅσον ἂν ἡμεῖς ἑαυτῶν τοῖς πάθεσι καταστρατηγήσωμεν καὶ τῇ πρὸς τὸ κακὸν νεύσει καὶ ὑποχωρήσει τὴν τάξιν, ἐφ' ἣν ἡμᾶς ὁ σωτήριος καὶ θεῖος νόμος ἔταξεν, ἐγκαταλείψωμεν. (40) Ὅταν οὖν κατορθοῦντες μὲν οἰκειώμεθα θεῷ καὶ τὸ κρατεῖν ἡμῖν παραγίνεται τῶν ἐχθρῶν τῷ κρατεῖν τῶν παθῶν, ἁμαρτάνοντες δὲ τὴν θεόθεν εἰσπραττόμεθα ἀποστροφὴν καὶ τὸ πεσεῖν ὑποχείριοι τοῖς ἐχθροῖς. Πῶς οὐχὶ ταῦτα μὲν ἐκτρέπεσθαι καὶ βδελύττεσθαι δεῖ, τὰ κατορθώματα δὲ μεταδιώκειν καὶ τούτοις θάλλειν καὶ συναύξειν τὸν βίον διὰ παντός; Πῶς δ' ἄν τις καὶ κατισχῦσαι θαρρήσειεν ἐχθρῶν, ὅτε τοὺς ἐν αὐτῷ πολεμίους καὶ τὰς στάσεις ἔνδον θάλπει πορθοῦντας αὐτὸν, ὅτε θυμὸς ἄλογος τοῦ αὐτοκράτορος λογισμοῦ κρατεῖ καὶ κατὰ τοῦ πλησίον μηδὲν ἴσως ἠδικηκότος ἀναπείθει φονᾶν; πῶς σοι πολεμίων περιεῖναι τὸ νικᾶν ζητεῖς, ὅτε τὸ λίχνον τῆς ἐπιθυμίας ὑποχείριον λαβὸν τὸν αὐτοδέσποτον λογισμὸν ἕλκει τε καὶ μεθέλκει περιάγον καὶ δουλαγωγοῦν, ἔνθα ἂν ἐπιτάττῃ τὸ πάθος; Πῶς οὕτω πορθουμένοις τε καὶ κατηνδραποδισμένοις τὸ κατὰ τῶν πολεμίων ἔπαθλον ἔψοιτο; (41) Οὐκ ἔστιν, ὅλως οὐκ ἔστιν ὑπὸ τῶν ἐμφυλίων ἐχθρῶν δεσμευθέντα τε καὶ δουλωθέντα καὶ τοῖς πάθεσι πεπρακότα ἑαυτὸν κυριεύειν δύνασθαι τῶν ὑπαίθρων ἐχθρῶν.

em. N. || — § 37. ἐκεῖνος οὗτος] ἐκ. αὐτὸς conj. N. || — οἰκείαν] οἰκιάν cod.; em. N. || — § 40. ἡμῖν παραγίνεται .. τῷ κρατεῖν] ἡμῶν π... τῷ κράτει cod.; em. N. || — θαρρήσειεν] θαρρήσῃ cod.; em. N.

Ἂν οὖν ἐκείνους καθελεῖν ἐθελήσωμεν, πολὺ πρότερον τοὺς ἐντὸς πολεμίους ὑποτάξαι σπουδάσωμεν, τὴν τούτων στάσιν καὶ τὴν ἔριν καταλύσωμεν. Ἔστω τῶν παθῶν ὁ λογισμὸς αὐταρχῶν, καὶ τότε τῶν ἐναντίων, οἷς ἔξωθεν βάλλειν καὶ τιτρώσκειν ἄδεια, ἐγκρατεῖς γενησόμεθα. (42) Ἂν γὰρ ὃν αὐτοκράτορα λογισμὸν ἔλαβες ἐκ θεοῦ, τοῦτον ταῖς ἡδοναῖς προπιὼν ὡς ἀνδράποδον ὑπέταξας αὐταῖς αὐτὸν, πῶς πολεμίων ἔξωθεν ἐπιτιθεμένων γενέσθαι κύριος ἐπιθυμεῖς; Πῶς δυσμενῶν σκυλεύσεις ἀποσκευὴν ὁ ταῖς ἐγκολπίοις στάσεσι καὶ ταῖς ἐπιβουλαῖς καθ' ἑκάστην σκυλευόμενος τὸν νοῦν; (43) Ἐκφυλλοφορήσωμεν πρότερον τοὺς ἐμφυλίους τῶν λογισμῶν, καὶ τότε λαφυραγωγήσομεν τῶν ἀλλοφύλων εὐχερῶς τὴν ἰσχύν. Οὐχ ὁρᾷς καὶ τὸν Ἰσραὴλ, ὡς ἐπειδὰν μὲν ἐκράτει παθῶν, ἐκράτει καὶ τῶν ἐχθρῶν; συνεστρατήγει γὰρ αὐτῷ ὁ θεός· ὅτε δὲ τῇ ἁμαρτίᾳ ἐδεδούλωτο, τότε καὶ τοῖς ἐχθροῖς ἐξεδίδοτο· ἐγκατελελοίπει γὰρ αὐτοὺς ἡ συστρατηγοῦσα θεία ἰσχύς. (44) Οὗτος εὐαρεστῶν θεῷ διὰ Μωυσέως τὰς τῶν Αἰγυπτίων φοβερὰς καὶ βαρείας χεῖρας ἐξέφυγε, καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ἡ ἀγριαίνουσα θάλασσα αὐτοῖς μὲν εἰς εὐθεῖαν τρίβον ὑπὲρ λόγον κατηυτρέπιστο, τάφος δ' αἰώνιος τοῖς τῶν Αἰγυπτίων ἐπιδιώκουσιν ἀνεῴγνυτο, αὐτοῖς ἵπποις, αὐτοῖς ἅρμασι, αὐτῷ Φαραῷ τερατουργοῦσα τὸν ὄλεθρον· ἐν οἷς ὁ ἠγαπημένος τῷ θεῷ λαὸς ηὐφράνθη τε καὶ ἠγαλλιάσατο καὶ τῷ στρατηγῷ καὶ νικοποιῷ θεῷ ᾠδὴν ἀνεκρούσατο ἐν χαρᾷ τὴν ἔξοδιον. (45) Ἀλλ' οὗτοι πάλιν ἐπειδὰν ὑπεσύρησαν ἁλῶναι γογγυσμῷ καὶ δίχα προστάγματος θεοῦ ἐπὶ πολέμου παρασκευὴν ἐξηρτύσαντο καὶ τὴν ἐν χειρῶν νόμῳ πεποίθησιν τοῦ θείου προτεθεικέναι συνθήματος ἐξηνέχθησαν, κραταιῶς καταπολεμηθέντες ἡττήθησαν, τῷ οἰκείῳ παραπτώματι τῶν ἀντιπάλων τὸ κράτος ὀγκώσαντες καὶ τὸ κλέος ἀνυψώσαντες. (46) Πάλιν δὲ νόμῳ θεοῦ στρατηγούμενοι καὶ τοῖς Μωυσέως λόγοις πειθαρχούμενοι πολλὰς μὲν τῶν πολεμίων πόλεις ἐξεπόρθησαν, πολλῶν δὲ σωμάτων ἐκράτησαν, πολλὴν δὲ λείαν ἐλαφυραγώγησαν, καὶ πολλῆς θυμηδίας καὶ χαρᾶς ἐνεπλήσθησαν. Καὶ παρέμεινεν ἂν αὐτοῖς ἡ ἐπὶ τῇ νίκῃ θυμηδία καὶ τέρψις, εἰ μὴ ἀχαριστίᾳ τοὺς ὄφεις καθ' ἑαυτῶν ἐπεστράτευσαν, ἐπεὶ μὴ παρῆν ἔθνος ὃ τὴν ἐπὶ τῇ ἀχαριστίᾳ δικαίαν ἀγανάκτησιν τοῦ θεοῦ διὰ ξίφους ἀνεπλήρου καὶ ἀνεδείκνυτο. (47) Οὕτω μαστίζεται λαὸς ἁμαρτάνων ἢ ξίφεσι πολεμίων θεριζόμενοι ἢ θηρίων ὀδοῦσι κατεσθιόμενοι ἢ κλόνῳ γῆς καὶ βρασμῷ βιαίῳ παιδευόμενοι ἢ σκηπτοῖς οὐρανίοις ἀπανθρακούμενοι ἢ καρπῶν ἀφορίᾳ πιεζόμενοι ἢ ἀέρος φθόρῳ συμφθειρόμενοι. Καὶ τρόπος κολάσεως οὐχ ἐξαπορεῖται κατάλληλος τῷ τοῦ σφάλματος ἐπιτηδεύματι, καὶ τοῦτό τις διαφυγὼν ἐκείνῳ περιεπάρη, κἀκεῖνο πάλιν ἄλλος ἴσως διαδρὰς ὑπὸ τοῦ ἑτέρου συνηνέχθη, καὶ ὁ παρανόμως βιοὺς καὶ τὰς εὐθύνας ὠφληκὼς, τὴν δίκην φυγεῖν οὐ δυνήσεται. (48) Τί γάρ μοι δεῖ καταλέγειν τὰ ἐπίλοιπα τοῦ Ἰσραὴλ, τὰς κατ' ἐχθρῶν νίκας, ὅτε ἐσωφρόνει, τὰς ἀπροσδοκήτους ἥττας, ὅτε πάλιν παρεφρόνει, τὴν αἰχμαλωσίαν, τὴν ἐπάνοδον, τὴν ἐπανάστασιν, πάλιν τὴν ἀποκατάστασιν, αὐτὴν τὴν καταστροφὴν τῆς Ἱερουσαλὴμ, τὴν ἀνοικοδομὴν πάλιν. Ὧν τὰ μὲν χρηστὰ χρησταῖς ἐπήνθει πράξεσι, μοχθηρῶν δὲ ἦσαν εἰσπράξεις τὰ δυσχερῆ. (49) Ἔχοντες οὖν, ἀγαπητοί, τὰ ἐφ' ἡμᾶς αὐτοὺς συνενεχθέντα εἰς ἡμῶν αὐτῶν ἐπανόρθωσιν τὰ κατὰ τὸν Ἰσραὴλ πάλαι προϋποδειχθέντα, μισήσωμεν τὴν ἁμαρτίαν καὶ ἀνθεξώμεθα τῶν ἀρετῶν. Φύγωμεν τὰ ἐγκύκλια ταῦτα καὶ ψυχοβλαβῆ πλημμελήματα, μέθην, πορνείαν, φθόνον, καταλαλιὰν, πλεονεξίαν, ἀδικίαν, ἀλαζονείαν, μισαδελφίαν, τὰ τούτων ἔκγονα, ὡς ἂν καὶ τῆς ἐν πολέμοις τροπαιοφορίας εὐτυχήσωμεν καὶ τῆς οὐρανίου κληροδοσίας μὴ ἀστοχήσωμεν. (50) Ἀλλ' ἐπειδὴ τῆς ἀπειλῆς ἐρρύσθημεν καὶ τὴν μάχαιραν διεφύγομεν καὶ παρῆλθεν ἡμᾶς ὁ ὀλοθρευτὴς τῆς μητρὸς τοῦ λόγου τῇ περιβολῇ σκεπασθέντας τε καὶ διασημανθέντας, κοινῇ πάντες σὺν αὐτῇ τῷ ἐξ αὐτῆς τεχθέντι Χριστῷ τῷ θεῷ ἡμῶν εὐχαριστηρίους ᾠδὰς ἀναπέμψωμεν, πᾶς οἶκος, ὃς τὸ ξίφος διέφυγεν, ἡλικία πᾶσα, γυναῖκες, παῖδες, νέοι καὶ πρεσβῦται· οἷς γὰρ κοινὸς ὁ ὄλεθρος ἐπεκρέματο, οὗτοι [καὶ] κοινὸν τὸν ὕμνον ἐξοσιοῦν καὶ προσάγειν θεῷ καὶ τῇ τούτου μητρὶ κεχρεωστήκασι. Κοινῆς ἐλευθερίας ἀπηλαύσαμεν, κοινὴν τὴν εὐχαριστίαν προσοίσωμεν. (51) Εἴπωμεν τῇ μητρὶ τοῦ λόγου καὶ γνώμης εὐθύτητί καὶ ψυχῆς καθαρότητι· « ἡμεῖς τὴν πρὸς σὲ πίστιν καὶ τὸν πόθον ἀδιστάκτως φυλάττομεν· αὐτὴ τὴν σὴν πόλιν, ὡς οἶδας, ὡς βούλει, περίσωσον. Ὅπλα σὲ καὶ τεῖχος καὶ θυρεοὺς καὶ στρατηγὸν αὐτὸν προβαλλόμεθα· αὐτὴ τοῦ λαοῦ σου ὑπερμάχησον. Ἡμεῖς σοι τὰς καρδίας καθαρὰς, ὅση δύναμις, ῥύπου καὶ παθῶν ἑαυτοὺς ἐξαρπάσαντες παραστῆσαι σπουδάσομεν· αὐτὴ τὰς βουλὰς τῶν καθ' ἡμῶν ἐξωφρυωμένων διασκέδασον. Ἂν γάρ τι καὶ παρασφαλῶμεν τῶν ἐπηγγελμένων ἡμῖν, σόν ἐστι τὸ διορθώσασθαι, σόν ἐστι τὸ χεῖρα τοῖς ἐπὶ γόνυ κλιθεῖσι παρασχεῖν καὶ ἀναστῆσαι τοῦ πτώματος. » (52) Εἴπωμεν ταῦτα τῇ παρθένῳ καὶ μὴ ψευσώμεθα, ἵνα μὴ τῆς καλῆς ἡμῶν ἐλπίδος διαψευσθῶμεν, ἵνα τῆς προσδοκίας μὴ παρασφαλῶμεν, ἵνα σάλου καὶ κυμάτων καὶ ζάλης τῶν ἐν τῷ βίῳ κακῶν ὑπερανασχόντες τῆς σωτηρίας ἡμῶν τῷ λιμένι ἐγκαθορμισθῶμεν καὶ τῆς ἐπουρανίου δόξης καταξιωθῶμεν χάριτι καὶ φιλανθρωπίᾳ Χριστοῦ τοῦ

§ 42. σκυλεύσεις] σκυλεύεις cod.; em. N. || — § 43. λαφυραγωγήσωμεν cod.; em. N. || — § 47. παιδευόμενοι] Vix recte habet. An σαλευόμενοι? || — πάλιν ἄλλος] π. ἄλλως cod. || — συνηνέχθη] συνελίχθη? συνεσχέθη? || — § 49. ἡμῶν αὐτῶν]

ἀληθινοῦ θεοῦ ἡμῶν, ᾧ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις ἅμα τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι, τῇ ὁμοουσίῳ καὶ ζωαρχικῇ τριάδι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας. Ἀμήν.

ὑμῶν α. cod.; em. N. Dein pro ἀστοχ σωμεν... ἀναπέμψωμεν Nauckius mavult ἀτυχήσωμεν... ἀναμέλψωμεν. || — § 50. καὶ ante κοινὸν addidi. || — § 51. φυλάττομεν] φυλάττωμεν vel φυλάξομεν conj. N.

ANONYMI

PERIPLUS PONTI EUXINI.

PARS EJUS MEDIA E CODICE LONDINIENSI DESCRIPTA.

XLII. § 1. Ἀπὸ οὖν Ἀρχάβεως ποταμοῦ ἕως Ὀφιοῦντος ποταμοῦ πρώην ᾤκουν ἔθνος οἱ λεγόμενοι Ἐχχειριεῖς (νῦν δὲ οἰκοῦσι Μαχέλωνες καὶ Ἡνίοχοι)· ἀπὸ δὲ Ἀψάρου ποταμοῦ ἕως Ἀρχάβεως ποταμοῦ πρώην ᾤκουν οἱ λεγόμενοι Βύζηρες (νῦν δὲ οἰκοῦσι Ζυδρεῖται).

2. Ἀπὸ δὲ Ἀψάρου ποταμοῦ εἰς Ἄκαμψιν ποταμὸν ναυσίπορον στάδια ιε′, μίλια δύο. Ἀπὸ δὲ τοῦ Ἀκάμψιος ποταμοῦ εἰς Βαθὺν ποταμὸν στάδια οε′, μίλια ι′. Ἀπὸ δὲ τοῦ Βαθέος ποταμοῦ εἰς Κίνασον ποταμὸν στάδια ϟ′, μίλια ιβ′. Ἀπὸ δὲ Κινάσου ποταμοῦ εἰς Ἶσιν ποταμὸν ναυσίπορον στάδια ϟ′, μίλια ιβ′. Ναυσίποροι δέ εἰσιν ὅ τε Ἄκαμψις καὶ ὁ Ἶσις, καὶ αὔρας τὰς ἑωθινὰς ἰσχυρὰς ἐκπέμπουσιν. Ἀπὸ δὲ Ἴσιος ποταμοῦ εἰς Μόγρον (ἤτοι Νύγρον) λεγόμενον πόρος ναυσὶ σταδίων ϟ′, μιλίων ιβ′.**

XLII. § 1. Ab Archabi fluvio usque ad Ophiuntem fluvium pridem populus Ecchiriensium habitabat (nunc ibi Machelones et Heniochi degunt). Ab Apsaro autem fluvio usque ad Archabim fluvium Byzeres qui vocantur habitabant (nunc vero Zydritæ habitant) [*E Menippo*].

2. Ab Apsaro fl. ad Acampsin fluvium navigabilem stadia 15, milliaria 2. Ab Acampsi fl. ad Bathyn fl. stadia 75, mill. 10. A Bathy fluvio ad Cinasum stadia 90, mill. 12. A Cinaso fl. ad Isin fluvium navigabilem stadia 90, mill. 12. Acampsis et Isis fluvii navigabiles sunt et validas matutino tempore auras emittunt. Ab Iside ad Mogrum (sive Nygrum) fluvium navigatio est stadiorum 90, mill. 12. [*Inde ad Phasin sunt stadia* 90, *mill.* 12.] (*Ex Arriano* § 9 p. 375.)

Anonymi Periplum Ponti Euxini hucusque non noveramus nisi ex duobus codicibus, quorum alter, Vaticanus, primam libri partem, alter, Palatinus, ultimam exhibebat. Desiderabatur pars media, oræ maritimæ descriptionem continens, quæ ab Ophiunte fluvio ad fauces paludis Mæoticæ pertinet. Eam nunc damus secundum codicem Musei Britannici, qui librum continet integrum. Inserenda est in Geographorum minorum volumine primo pag. 412 post § 42. Ceterum constat periplum istum consarcinatum esse ex Arriano et Menippo vel potius epitomatore Menippei peripli Marciano et ex periegesi iambica, quæ sub Scymni nomine circumfertur, et ex Pseudo-Scylace. Excerptis nonnulla de suo penu auctor addidit, quibus cum priscis locorum nominibus recentiora componuntur. Haud levis hæc momenti sunt et a viro Bosporano de vicinis patriæ regionibus bene docto profecta esse videntur.

§ 1. Codex Vaticanus desinit in verba : νῦν δὲ οἰκοῦσι Μαχέλωνες καὶ Ἡνίοχοι. || — ἕως Ὀφιοῦντος ποτ. πρώην] εἰς Ὀφιοῦντα ποταμὸν πρῶτον cod. Vat. || — Μαχέλωνες] Sic codex Londin. tum hoc loco, tum infra § 18, tum in antecc. p. 378, 25 et 379, 1, ubi ex cod. Vat. editur Μαχέλονες... Μαχελόνων, sicut apud Dionem Cassium 68, 19, ubi : Τραϊανὸς... Ἀγχίαλον τὸν Ἡνιόχων καὶ Μαχελόνων βασιλέα δώροις ἠμείψατο. Ceterum verba νῦν δὲ οἰκοῦσι Μαχέλωνες καὶ Ἡνίοχοι et deinde νῦν δὲ οἰκοῦσι Ζυδρεῖται Anonymus addidit cum Menippo Arrianum componens. Menippus Heniochos et Machelones inter Achæos et Sanniches habitare statuit, ut liquet ex § 18. Similiter plerique auctores antiquiores, quibus etiam Ptolemæus se addixit, de Heniochorum sedibus statuerunt. De Machelonibus minus liquet. Nescio an ad eos pertineat Μεχλεσσός (ut editur) vel potius Μαχλεσσός (ut in optimis codd. Florent. et Mediolan. legitur) urbs, quam in mediterraneis Colchidis Ptolemæus habet. Ibidem Ptolemæus Ζάδριν urbem collocat, quam cum Zydrytis ab uno Arriano memoratis componendam esse censeo. Quod Eccheirienses Menippi attinet, monendum est vicinos iis ab occasu fuisse Bechires, quibus Menippus oræ tractum ab Ophiunte ad Trapezuntem usque pertinentem assignavit. In antecedentibus enim (p. 411, 7 ed. nostr.) codex Londiniensis Vaticano integrior ita habet : Ἀπὸ οὖν Ὀφιοῦντος ποταμοῦ [ἕως Τραπεζουντίων πρώην ᾤκουν ἔθνος Βέχειρες (Βοχ. cod.) λεγόμενοι, νῦν δὲ οἰκοῦσι Κόλχοι. Μέχρι οὖν τοῦ Ὀφιοῦντος ποταμοῦ] τὰ ἔθνη τῶν δύο Πόντων ἐστὶ κτλ. Uncis inclusa in Vaticano libro exciderunt. De Bechiribus sive Bechiris inter Ecchirienses et Macrones mediis cf. Scylax § 8 4 p. 63 ibique not. || — ἕως Ἀρχάβεως] ἕως χόβεως codex. || — Βύζηρες] Βούσηρες codex An. sicuti codex Scylacis § 82, p. 63, ubi vide. Deinde Ζυδρεῖται ex Arriano dedi pro Ζυδρίται, quod codex An. habet. Inter Archabim et Apsarum sec. Arrianum nonnisi 60 stadia intercedunt, adeo ut Byzeres perexiguum oræ maritimæ spatium obtinuissent, siquidem in Arriani stadiasmo acquiescendum esset.

§ 2. Στάδια ιε′] Acampsis est hodiernus *Tchorok*, fluvius hujus tractus longe maximus compluribusque ostiis in mare se eructans. Ab Archabi (h. *Archawi*) ad *Tchorok* fluvii os orientale sunt stadia 205-210, Arrianus autem errore manifesto nonnisi 75 stadia computat, quorum 60 pertinent ab Archabi ad Apsarum, 15 ab Apsaro ad Acampsin. Sexaginta stadiis ab Archabi deducimur ad fluviolum *Khoppa-Sou*; hunc igitur esse Apsarum Arriani olim statue-

3. Οὗτος δὲ ὁ Φᾶσις ποταμὸς ἔχει τὸ ῥεῦμα φερόμενον ἐκ τῆς Ἀρμενίας· οὗ πλησίον οἰκοῦσι μεταστάντες ἐξ Ἰβηρίας εἰς Ἀρμενίαν Ἴβηρες. Εἰσιόντων δὲ εἰς ποταμὸν ἀριστερὰ τοῦ Φάσιδος παράκειται Μιλησίων πόλις Ἑλληνὶς Φᾶσις λεγομένη, εἰς ἣν λέγεται καταβαίνειν ἔθνη ἑξήκοντα διαφόροις χρώμενα φωναῖς, ἐν οἷς τινας λέγουσιν ἀπὸ τῆς Ἰνδικῆς καὶ Βακτριανῆς συναφικνεῖσθαι βαρβάρους. Μεταξὺ δὲ τούτων βάρβαρός ἐστιν ἡ Κοραξική, ἧς τὰ ἐχόμενα ἡ Κωλικὴ καλουμένη, τὸ νῦν Μελαγχλαίνων καὶ Κόλχων ἔθνος.

4. Ἔχει δὲ καὶ ἀνάπλουν ὁ ποταμὸς σταδίων ρ', μιλίων δ'. Ἐν ᾧ ἔστι πόλις μεγάλη Αἶα λεγομένη, ὅθεν ἡ Μήδεια ἦν.

3. Hic Phasis fluvius ex Armenia defluit. Prope eum Iberes degunt, qui ex Iberia in Armeniam transmigrarunt. Ingredientibus Phasin ad sinistram fluvio adjacet urbs græca, Milesiorum colonia, Phasis dicta, in quam gentes sexaginta diversis linguis utentes descendere dicunt, inter easque etiam ex India et Bactriana barbaros nonnullos advenisse perhibent. Horum in medio est barbara regio Coraxica, quam excipit Colica quæ vocatur; nunc ibi Melanchlænorum et Colchorum gens (*E periegesi iamb.*).

4. Navigatio per adversum fluvium patet in stadia 100 [180?] mill. 4 [24?]. Apposita fluvio est Æa urbs magna, unde Medea oriunda erat (*E Scylacis periplo*).

---

bam cum Kieperto, Rittero (*Erdkunde* tom. 18, p. 92 an. 1858), aliis plurimis, erroremque quærebam in numero ιε'. Quod haud commisissem, si notum tunc fuisset, quod nunc video ex tabulis nauticis (*Carte de la mer noire, 4me feuile, du Cap Idokopas au Cap Zefiros. Dépôt des cartes de la marine.* 1861), *Tchorok* fluvium compluribus ostiis exire, quorum media inter se quindecim fere stadiis distant. Quo cognito, verissimum esse censeo quod Ritterus l. l. p. 938 conjecit fortasse apud Arrianum Apsari nomine significari *Tchorok* fluvii ostium occiduum, alteri autem Acampsis nomen dari. Comprobatur hoc eo quod apud Ptolemæum Apsarus ex junctis Lyco et Glauco fluviis nascens et ab Archabi 230 fere stadiis distans permagnus est fluvius, cui cum *Khoppa* rivulo nihil negotii esse potest. Deinde vero in Tabula Peutingeriana ab Archabi ad Apsarum fl. millia 27 sive 216 stadia computantur, quæ ab *Archawi* ad *Tchorok* fluvium pertinent. Denique ex Plinio (6, 14) colligitur Apsarum fluvium insignem fuisse, quippe quem in colligendo Ponti stadiasmo inter παραπήγματα memorat: *Flumen Apsarum cum castello cognomine in faucibus a Trapezunte* 140 *m. p.* (= 1120 stadia; reapse sunt fere 1020)... *Ab Apsaro ad os Phasidis* 70 *m.* (= 560 stadia; revera 370). Idem Plinius deinde inter fluvios etiam Acampsin memorat, sive alio ex fonte, sive inter Apsarum et Acampsin eodem quo Arrianus modo distinguens. Præterea monendum est in *Tchorok* fluvii situm satis quadrare quæ infra § 11 Arrianus refert : Ὁ δὲ Ἄψαρος πέρας ἐφάνη μοι εἶναι κατὰ μῆκος τοῦ Πόντου· ἔνθεν γὰρ ἤδη πρὸς ἄρκτον ὁ πλοῦς ἡμῖν ἐγένετο. Procopius De bell. Goth. 4, 2 p. 464 sq. de Apsaro urbe et de Acampsi fluvio prope eam exeunte verba facit, Apsari vero fluvii hoc certe nomine non meminit. || — εἰς Κίνασον] Arriani codex ὁ Ἀκίνασις ... ἀπὸ Ἀκινάσου. Aliunde nomen fluvii non notum. Intelligendus est *Chorouk-Sou* in mare exiens inter castella *Kintrich* et *Tsikinsir*, quorum hoc fortasse veteris nominis servat vestigium. || — Μόγρον] Μῶγρον Arriani codex. Quid præstet, haud liquet, quum nemo alius scriptor græcus fluvii mentionem injecerit. — ἤτοι Νύγρον] Hoc e Menippo auctor addiderit. *Nigro* habes in Tab. Peutingeriana. Quod apud Plinium 6, 12 legebatur *Mogrus*, Pintianus ex Arriano intulit; codices præbent *Magrus* et *Nogrus*, quorum hoc recepit Otto Ianus. Deinde in Anonymo excidit nota distantiæ, quæ est a Chobo ad Phasin.

§ 3. Ἐκ τῆς Ἀρμενίας] Eodem modo Eratosthenes ap. schol. Apoll. Rhod. 2, 400 et Strabo p. 498 (427, 20 ed. Did.) et Dionys. Perieg. 691 : Φᾶσις ... ἀρξάμενος ἀπ' οὔρεος Ἀρμενίοιο. Eodem redit quod nonnulli (Apoll. l. l. et Vib. Seq. p. 16.) Phasin defluere dixerunt de Amarantis montibus Colchidis. De aliorum sententiis v. Ukert. 3, 2, p. 208. || — Μιλησίων πόλις Ἑλληνίς] Cf. Scylax § 81 : Φᾶσις, Ἑλληνὶς πόλις. Heraclides Pont. fr. 18 (Fr. Hist. 2, p. 218) : Φᾶσιν τὸ ἐξ ἀρχῆς Ἡνίοχοι κατῴκουν, ... ἔπειτα Μιλήσιοι. Steph. Byz. : Φᾶσις, ἐκτίσθη ὑπὸ Μιλησίων. || — ἔθνη ἑξήκοντα] De Dioscuriade hoc narrat Strabo p. 498 (427, 12 Did.) : συνέρχεσθαι γοῦν ἐς αὐτὴν ἑβδομήκοντα, οἱ δὲ καὶ τριακόσια ἔθνη φασὶ, οἷς οὐδὲν τῶν ὄντων μέλει, πάντα δ' ἑτερόγλωττα. Plinius 6, 15 : *Dioscurias quondam adeo clara ut Timosthenes in eam CCC nationes dissimilibus linguis descendere prodiderit, et postea a nostris CXXX interpretibus negotia gesta ibi.* || — ἀπὸ τῆς Ἰνδικῆς] Camaritas gentes cum Baccho ex India reduce in regiones Ponticas venisse narrat Dionysius Per. 700, ubi vid. not. || — Κωλικὴ] κολ. cod. Cf. Scylax p. 61. || — Κόλχων] λόγχων cod. Hucusque quæ in hoc segmine leguntur, depromta sunt ex periegesi iambica, cujus versus hunc fere in modum refingere licet :

Φᾶσις ποταμὸς ἔχει τὸ ῥεῦμα φερόμενον
ἐξ Ἀρμενίας, οὗ πλησίον Ἴβηρές ποτε
ἐκστάντες ἐξ Ἰβηρίας οἰκοῦσι νῦν.
Ἐσιοῦσι ποταμὸν ἀριστερὰ τοῦ Φάσιδος
Μιλησίων ἐστὶ παρακειμένη πόλις
ἑλληνὶς, Φᾶσις λεγομένη, ἐς ἣν ἔθνη
κατέβαινον ἑξήκοντα φωναῖς διάφορα,
ἐν οἷς τινὰς λέγουσιν ἀπὸ τῆς Ἰνδικῆς
καὶ Βακτριανῆς συναφικέσθαι βαρβάρους.
Μεταξὺ τούτων βάρβαρος Κοραξικὴ,
ἧς ἐχομένη γῆ Κωλικὴ καλουμένη,
τὸ νῦν Μελαγχλαινῶν τε καὶ Κόλχων ἔθνος.

§ 4. Scylax § 81 p. 62 : Φᾶσις ποταμὸς καὶ Φᾶσις ἑλληνὶς πόλις καὶ ἀνάπλους ἀνὰ τὸν ποταμὸν σταδίων ρπ' εἰς [Αἶαν] πόλιν (Μάλην) μεγάλην βάρβαρον, ὅθεν ἡ Μήδεια ἦν. In his excidisse Αἶαν ex Anonymo jure conjeceris. Quod codex

5. Πάνυ δὲ κουφότατον ὕδωρ ἔχων ὁ Φᾶσις ἐπιπλεῖ τῇ θαλάσσῃ, καὶ οὐ συμμίγνυται· καὶ ἔστι μὲν κατὰ τοῦ ἐπιρρέοντος γλυκύτατον ἀνιμήσασθαι, εἰ δὲ εἰς βάθος τις καθῆκε τὴν κάλπιν, ἁλμυρόν. Καίτοι ὁ πᾶς Πόντος πολύ τι γλυκυτέρου τοῦ ὕδατός ἐστιν ἤπερ ἡ ἔξω θάλασσα· καὶ τούτου τὸ αἴτιον οἱ ποταμοί εἰσιν, οὔτε πλῆθος οὔτε μέγεθος σταθμητοὶ ὄντες. Τεκμήριον δὲ τῆς γλυκύτητος, εἰ τεκμηρίων δεῖ ἐπὶ τοῖς αἰσθήσει φαινομένοις, ὅτι πάντα τὰ βοσκήματα οἱ προσοικοῦντες ἐπὶ τὴν θάλασσαν κατάγουσι καὶ ἐν ταύτῃ ποτίζουσι· τὰ δὲ ἡδέως πίνοντα [ὁρᾶται], καὶ λόγος κατέχει ὅτι καὶ ὠφέλιμον αὐτοῖς [τοῦτο τὸ ποτόν] ἐστι τοῦ γλυκέος μᾶλλον. Ἡ δὲ χροιὰ τοῦ Φάσιδος ἐξηλλαγμένη, οἷα ἀπὸ μολίβδου ἢ κασσιτέρου βεβαμμένου τοῦ ὕδατος· καταστὰν δὲ καθαρώτατον γίνεται. Οὐ τοίνυν νενόμισται εἰσκομίσαι ὕδωρ εἰς τὸν Φᾶσιν τοὺς εἰσπλέοντας· ἀλλ' ἐπειδὰν ἤδη εἰσβαίνωσιν εἰς τὸν ῥοῦν, παραγγέλλεται ἅπαν ἐκχέαι τὸ ἐνὸν ὕδωρ ἐν ταῖς ναυσίν· εἰ δὲ μή, λόγος κατέχει ὅτι οὐκ εὐπλοοῦσι. Τὸ δὲ ὕδωρ τοῦ Φάσιδος οὐ σήπεται, ἀλλὰ μένει ἀκραιφνὲς καὶ ὑπὲρ δέκατον ἔτος, πλήν γε δὴ [ὅτι] εἰς τὸ γλυκύτερον μεταβάλλει.

6. Ἀπὸ δὲ τοῦ Φάσιδος ποταμοῦ εἰς Χαρίεντα ποταμὸν ναυσίπορον στάδια ϟ', μίλια ιβ'. Ἀπὸ δὲ Χαρίεντος ποταμοῦ εἰς Χόβον ποταμὸν ναυσίπορον στάδια ϟ', μίλια ιβ'. Ἀπὸ δὲ Χόβου ποταμοῦ εἰς Σιγάμην (τὸν καὶ Ζίγανιν λεγόμενον) ποταμὸν στάδια σι', μίλια κη. Ἀπὸ δὲ Ζιγάνεως εἰς Ταρσούραν ποταμὸν (τὸν [νῦν] λεγόμενον Μοχή) στάδια ρκ', μίλια ις'. Ἀπὸ δὲ Ταρσούρα ποταμοῦ εἰς Ἵππον ποταμὸν (τὸν νῦν λεγόμενον Λαγουμψᾶν), στάδια ρν', μίλια κ'. Ἀπὸ δὲ τοῦ Ἵππου ποταμοῦ εἰς Ἀστέλεφον ποταμόν, ([τὸν] νῦν λέγομενον Εὔριπον· εἴσπλους

5. Phasis aquam longe levissimam habens innatat mari neque cum eo commiscetur; ex superficie perdulcem aquam haurire licet, sin urnam in profundum demiseris, salsam habes. Ceterum universus Pontus longe dulcioris est aquæ quam mare exterum, propter immensam scilicet fluviorum multitudinem magnitudinemque. Argumentum dulcedinis (si modo argumentis opus est in iis quæ sensu percipiuntur), quod accolæ pecora omnia ad mare ducunt et ex eo aquantur, illa vero libenter bibere cernuntur, et fama obtinet dulci salubriorem eis hunc potum esse. Color Phasidi singularis est, similis aquæ plumbo vel stanno infectæ, quæ tamen ubi subsedit, purissima evadit. Quam ob rem mos obtinuit, ut ingredientes Phasin nihil aquæ invehant, sed simulac flumen ingressi fuerint, præcipitur ut quidquid in navibus sit aquæ, effundatur; sin minus, fama invaluit haud felicem fore navigationem. Aqua Phasidis a putredine est immunis, ac plus quam decem annis incorrupta manet, nisi quod in dulciorem abit (*Ex Arriano*, § 10 *p.* 375, 11-36).

